

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΜΕΓΑΣ
ΑΘΑΝΑΣΙΟΣ

(ΜΕΡΟΣ [illegible])

35

Printed in Greece
Athens 1964

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΠΕΜΠΤΟΣ

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ

(ΜΕΡΟΣ ϛ')



ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1964

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ

(ΜΕΡΟΣ Ϛ′)

ΚΕΙΜΕΝΑ

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ᾼΣΜΑ ᾼΣΜΑΤΩΝ

ΑΠΟΣΠΑΣΜΑΤΑ *

«Ἐπ᾽ ἀγέλαις ἑταίρων σου ὡς ῥεμβομένη.[1]»

Αὐτὸς πρὸς αὐτήν· Γνῶθι σεαυτὴν πρῶτον, ἵνα καὶ ἐμὲ γνῶναι δυνηθῇς. Ἐὰν μὴ γνῷς ἑαυτήν· εἰ οὐκ ἔγνως· εἰ μὴ οἶδας, ἔξελθε σὺ ἐν πτέρναις κατ᾽ ἴχνη καὶ ποίμαινε τὰς ἐρίφους σου· καὶ θρέψῃς ἁμαρτίας ἀντὶ ἀρετῶν. «Ἐπὶ σκηνώμασι τῶν ποιμένων·[2]» ἐν ταῖς ἐπιθυμίαις τῶν ἐναντίων δυνάμεων τῶν ποιμαινόντων σε.

«Ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου. Ἀναστήσομαι καὶ κυκλώσω ἐν τῇ πόλει.[3]»

«Ἀθανασίου.» Ἀναγνώσομαι τὸν νόμον, ἀναγνώσομαι τοὺς προφήτας, ἐρευνήσω τὰ Εὐαγγέλια. Ταῦτα δὲ κατανυγεῖσα τῷ θείῳ πόθῳ φησί· «Ἐπὶ κοίτην μου ἐν νυξίν.[4]» Κοίτην ὀνομάζει τὴν τελειοτέραν τοῦ ἀγαθοῦ μετουσίαν καὶ νύκτα λέγει τὸν τῆς κοίτης καιρόν. Διὰ δὲ τοῦ ὀνόματος τῆς νυκτὸς ἐνδείκνυται τῶν ἀοράτων τὴν θεωρίαν, καθ᾽ ὁμοιότητα Μωϋσέως, τοῦ ἐν τῷ γνόφῳ γεγονότος ἐν ᾧ ἦν ὁ Θεός.

Τοῦ αὐτοῦ.

Οὐ γὰρ ᾔδειν τίς ἦν ὁ τρώσας με. Θεογνωσίαν μοι κοιμωμένῃ ἐνέσπειρεν ὁ Λόγος. Ταχέως διαναστᾶσα, ζητῶ τὸν τρώσαντα καὶ παρακαλῶ αὐτῷ ὀφθῆναί μοι καὶ περιέρχομαι ζητοῦσα τὸν ἀδελφιδοῦν μου.

«Ἐξέλθετε καὶ ἴδετε, θυγατέρες Σιών, ἐν τῷ βασιλεῖ Σολομών.[5]»

Ἰουδαίους ἐντρέπει λέγουσα, «Ἐξέλθετε», ἀντὶ τοῦ, Ἕως πότε τῇ σκιᾷ παρακάθησθε; ἰδοὺ γὰρ ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος, ἀγάπην ἀπὸ θυγατέρων Ἱερουσαλήμ. Τὸ στερεὸν τῶν λογισμῶν, ἢ οἱ ἐσωτέρω λίθοι ἅγιοι. «Ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ.[6]» «Ἔθηκας» γάρ, φησί, «ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.[7]»

«Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ.[8]»

Πνεῦσόν μοι, ὦ Λόγε, καὶ δίδαξόν με τὰ λόγιά σου καὶ τὰ προστάγματά σου κατάγραψον ἐπὶ τὸ πλάτος τῆς καρδίας μου. Ἑτοίμη γέγονα λοιπόν· δύναμαι, τῇ σῇ χάριτι βοηθουμένη καὶ κυβερνω-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 27, σ. 1348 κέξ.

1. ᾎσμ. 1, 7. 2. ᾎσμ. 1, 8. 3. ᾎσμ. 3, 1-2. 4. ᾎσμ. 3, 1. 5. ᾎσμ. 3, 11. 6. ᾎσμ. 3, 11. 7. Ψαλμ. 20, 4. 8. ᾎσμ. 6, 2.

μένη τῇ ἀοράτῳ σου καὶ παντοδυνάμῳ χειρί, καὶ λόγων ἀκοῦσαι θείων καὶ μυστηρίων μέτοχος γενέσθαι.

Τοῦ αὐτοῦ Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων.

1. Ποθητοὶ οἱ λόγοι καὶ ἐράσμιοι καὶ εἰς οὐρανοὺς ἀνάγοντες καὶ πτεροποιοῦντες τοὺς πιστούς. Πτεροποιοῦσι γὰρ ἀληθῶς αἱ θεῖαι Γραφαὶ τοὺς πιστοὺς τῷ πόθῳ τῶν οὐρανίων. Τοῦτον γὰρ τὸν πόθον ἔχων εἷς τις τῶν ἁγίων ἔλεγε· «Τίς δῴη μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι καὶ καταπαύσω;[1]» Ὁ πόθος τῶν οὐρανίων αὐτὸν εἷλκε καὶ ἐπτεροποιεῖτο αὐτὸν τῶν ἁγίων ὁ νοῦς, ἐπιλανθανομένων τῶν γηίνων καὶ τῶν ἐπουρανίων μεριμνώντων. Τὸν γὰρ νοῦν ἑαυτῶν δόντες εἰς τὸν οὐρανὸν καὶ ποθοῦντες τὰ οὐράνια, ἐπελανθάνοντο τῶν γηίνων. Τοῦτον γὰρ τὸν πόθον ἔχων καὶ Παῦλος ὁ ἀπόστολος ἔλεγε· «Κατὰ σκοπὸν διώκω εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως.[2]» Ὁρᾷς τοὺς ἁγίους πτεροποιουμένους; Πτεροποιοῦσι γὰρ αὐτοὺς ἀληθῶς οἱ λόγοι οὗτοι. Τίνων γὰρ οὐκ ἐπτεροποιήθη ὁ νοῦς ἀκηκοότων τοῦ ἀναγνώσματος; Ἰδὲ γὰρ τὸν πόθον τῆς μακαρίας ψυχῆς ταύτης λεγούσης· «Ἐξεγέρθητι, βορρᾶ καὶ ἔρχου, νότε, διάπνευσον κῆπόν μου καὶ ῥευσάτωσαν ἀρώματά μου.[3]» Ἰδὲ τὴν πεποίθησιν τῆς μακαρίας ταύτης ψυχῆς, πῶς θαρροῦσα ἑαυτῇ ἐκκαλεῖται τοὺς πειρασμοὺς πρὸς δοκιμασίαν ἑαυτῆς. «Ἐξεγέρθητι», λέγει, «βορρᾶ καὶ ἔρχου, νότε.» Ὃ λέγει τοιοῦτόν ἐστιν· Ἐγὼ ἐστήριγμαι ἐπὶ τὴν πέτραν, ἐρχέσθωσαν οἱ ἄνεμοι καὶ προσβαλλέτωσάν μοι, ὁ μὲν εἷς ἐν τούτῳ τῷ μέρει καὶ ὁ ἄλλος ἐν τῷ ἄλλῳ μέρει· ἐγὼ οὐ φοβοῦμαι οὐδένα· ἔχω τὴν πέτραν τὴν βαστάζουσάν με· τὴν γὰρ οἰκίαν μου ἐπὶ τὴν πέτραν ᾠκοδόμησα καὶ ἐν τῷ ἐλθεῖν τοὺς ἀνέμους οὐκ ἐφοβήθην. Θέλεις δὲ γνῶναι τίς ἐστιν ἡ πέτρα, ἐφ' ἧς ἕστηκεν αὕτη ἡ μακαρία ψυχή; ἄκουε τοῦ Παύλου πῶς ἑρμηνεύει αὐτὴν καὶ λέγει· «Ἡ δὲ πέτρα ἦν ὁ Χριστός.[4]» Ἐπὶ ταύτης τῆς πέτρας στήκουσα οὐ πτοεῖται, ἀλλὰ καὶ τὸν ἀπὸ βορρᾶ ἐρχόμενον διάβολον οὐ φοβεῖται, οὐδὲ πάλιν τὸν ἐκ νότου. Ὅσον γὰρ τεθεμελίωμαι καὶ ἕστηκα ἐπὶ τὴν πέτραν, οὐδὲν φοβοῦμαι· κἂν ἀπειλῇ μοι θάνατον, οὐ πτοοῦμαι, οὐ φοβοῦμαι διωγμόν. Ἕτοιμός εἰμι τοῦ ὁμολογῆσαι· οὐ φοβοῦμαι λιμόν, ἔχων τὸν ἐνδυναμοῦντά με Λόγον· καὶ λέγω κἀγὼ κατὰ τὸν μακαριώτατον Παῦλον· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με, Χριστῷ.[5]» Θλίψις μοι ἐὰν ἔλθῃ, ὑπομένω αὐτήν· διωγμὸς ἐὰν ἔλθῃ μοι, μαρτυρῶ· λιμὸς ἐὰν ἔλθῃ μοι, ἔχω τὸν τρέφοντά με Λόγον· μάχαιρα ἐὰν ἔλθῃ, ἔχω τὸν ὑπὲρ πᾶσαν μάχαιραν δίστομον τὸν διικνούμενον μέχρις ἁρμῶν τε καὶ μυελῶν· ἡδονὴ σαρκὸς ἐὰν ἔλθῃ μοι, τῇ διστόμῳ μα-

---

1. Ψαλμ. 54, 7. 2. Φιλιπ. 3, 14. 3. Ἆσμ. 4, 16. 4. Α' Κορ. 10, 4. 5. Φιλιπ. 4, 13.

χαίρᾳ ἀποτέμνω αὐτὴν καὶ ἀποβάλλω καὶ εὐνουχίζω ἐμαυτόν· οὐ μάχαιραν ἐπιβάλλων, καθάπερ τινὲς τῶν ἀνθρώπων ποιοῦσιν, ἀλλά, καθὼς εἶπεν ὁ Κύριος, ὅτι «Εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν.[1]» Ἄνθρωποι μὲν γὰρ ἀνθρώπους εὐνουχίζουσιν οὐ διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλὰ διὰ τὴν βασιλείαν τῶν γυναικῶν ἑαυτῶν καὶ διὰ τήρησιν καὶ διὰ ὑπερηφανίαν. Θέλεις δὲ ἀκοῦσαι τίνες εἰσὶν οἱ εὐνουχίσαντες ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν; ἰδοὺ Ἰωσὴφ διὰ τὴν βασιλείαν τῶν οὐρανῶν εὐνούχισεν ἑαυτόν· κρατηθεὶς γὰρ ὑπὸ τῆς δεσποίνης εἰς τὸν κοιτῶνα, καὶ μηδενὸς ὄντος ἐν τῷ τόπῳ, κἀκείνης ἀναγκαζούσης τοῦ τελέσαι τὴν ἑαυτῆς ῥᾳθυμίαν, αὐτὸς εὐνούχισε μὴ συγκαταθέμενος αὐτῇ.

2. Τοῦτο δὲ καὶ ἡ μακαρία Σουσάννα πεποίηκεν, εὑρεθεῖσα μόνη ἐν τῷ παραδείσῳ· κατασχόντες γὰρ αὐτὴν οἱ δύο πρεσβύτεροι, θέλοντες μοιχευθῆναι αὐτήν, παράνομοι γέροντες οἱ μισητοὶ παρὰ τῷ Κυρίῳ· τούτοις δὲ καὶ Σολομὼν ἔλεγεν, μᾶλλον δὲ ὁ Κύριος διὰ Σολομῶντος, ὅτι «Τρία εἴδη ἐμίσησεν ἡ ψυχή μου, γέροντα μοιχὸν καὶ πτωχὸν ὑπερήφανον καὶ πλούσιον ψεύστην·[2]» ὁρᾷς, ὅτι μισητοὶ ὄντως παρὰ τῷ Κυρίῳ ἐκεῖνοι οἱ γέροντες; ὅτε οὖν ἐπανέστησαν τῇ μακαρίᾳ Σουσάννῃ, μηδενὸς ὑπάρχοντος ἐν τῷ τόπῳ, θέλοντες τὴν ῥαθυμίαν ἑαυτῶν ἐκτελέσαι, αὕτη, συμβουλευσαμένη ἐν ἑαυτῇ τῷ λογισμῷ, εὐνούχισεν ἑαυτὴν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ἄνθρωπος μὲν γὰρ ἄνθρωπον τηρῆσαι οὐ δύναται· οὐδὲ μήτηρ θυγατέρα ἑαυτῆς, οὐδὲ παιδίσκη κυρίαν, ἐὰν μὴ ὁ εὐσεβὴς λογισμὸς φύλαξ γένηται τοῦ ἀνθρώπου. Διὰ τοῦτο, ὦ ἄνερ, εὐνουχίσας σεαυτὸν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν καὶ σύ, ὦ γύναι, ἔτι ἀσφαλέστερον νοήσασα τὸ ῥητόν, ἐπισκεψαμένη, δοκίμασον σεαυτὴν λέγουσα τό· «Ἐξεγέρθητι, βορρᾶ, καὶ ἔρχου, νότε· διάπνευσον κῆπόν μου καὶ ῥευσάτωσαν ἀρώματά μου.[3]» Ὅτε γὰρ Κύριος καὶ Σωτὴρ ἡμῶν ἐσταυρώθη, ὅτε ὁ ἥλιος ἐσκότασεν καὶ ἡ γῆ ἐσείετο, ὅτε αἱ πέτραι ἐσχίζοντο καὶ τὰ μνημεῖα ἀνοίγοντο· φόβος συνεῖχε τότε τοὺς μαθητάς, μὴ εἰδότας τό· «Πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης·[4]» τότε οἱ μαθηταὶ διὰ τὸν φόβον τῶν Ἰουδαίων ὁμοθυμαδὸν ἦσαν εἰς κελλίον κρυπτόμενοι. Μὴ παρὼν δὲ ἐνταῦθα Ἰουδαῖος χλευαζέτω, μηδὲ ἀκούων Ἕλλην γελάτω. Ἐν τούτῳ γὰρ τὴν ἐλπίδα ἔχομεν· διὰ τοῦτο καὶ παρρησιαζόμενος λαλῶ. Οὗτος γὰρ ὁ κρεμάμενος ἐπὶ ξύλου, αὐτός ἐστιν ἡ σωτηρία ἡμῶν· ἡ γὰρ τούτου σταύρωσις κάθαρσις ἁμαρτιῶν ἦν. Καὶ ἦν θέαμα μέγα τότε γιγνόμενον, ὅτι, τοῦ σώματος σταυρουμένου, ἡ ἁμαρτία ἔπιπτεν. Εἰ μὴ γὰρ ἦν οὗτος ἐσταυρωμένος ἄχρι τοῦ νῦν, εἴλομεν τοὺς μώλωπας καὶ τὰς ἀσθενείας ἐν τῷ σώματι. Καὶ θεωρῶν ἡμῶν ὁ διάβολος τὸ ἀσθενὲς

---

1. Ματθ. 19, 12. 2. Σοφ. Σειρ. 25, 2. 3. Ἆσμ. 4, 16. 4. Ματθ. 26, 31.

κατεγαυρία ἡμῶν ἐπανιστάμενος καθ' ἡμῶν. «Εἶπε» γὰρ «ὁ ἐχθρός· Διώξας καταλήψομαι.[1]» Διὰ τοῦτο ὁ Κύριος, κατελθών, πρὸς οὐδένα ἦλθεν εἰ μὴ πρὸς τὸν διάβολον· ἐκεῖνος γὰρ ἦν ὁ διδοὺς ἡμῖν τὰ τραύματα καὶ διαφθείρας ἡμᾶς ἐν ταῖς ἀσθενείαις. Διὰ τοῦτό φησι ὁ Κύριος λέγων· «Ἰδοὺ ἐγὼ πρὸς σέ, τὸ ὄρος τὸ διεφθαρμένον, τὸ διαφθεῖρον πᾶσαν τὴν γῆν.[2]» Διὰ τοῦτο οὖν φησι· Μὴ γελάτω Ἰουδαῖος, τῶν μαθητῶν κρυπτομένων καὶ τοῦ σώματος σταυρουμένου. Τοῦ γὰρ σώματος κινουμένου ἐν τῷ σταυρῷ, ὁ Λόγος ἐσκύλευσε τὸν ᾅδην· καὶ οἱ θυρωροὶ τοῦ ᾅδου βλέποντες ἔπτησσον· τότε αἱ γυναῖκες παρεκάθηντο τῷ σώματι ἐν τῷ μνημείῳ κλαίουσαι.

3. Τότε οἱ μαθηταὶ τοῦ Κυρίου ἔσω ἐν τῷ κελλίῳ κρυπτόμενοι λεγέτωσαν· «Ἐξεγέρθητι, βορρᾶ, καὶ ἔρχου, νότε· διάπνευσον κῆπόν μου καὶ ῥευσάτωσαν ἀρώματά μου.» Τὸ μὲν σῶμα τὸ ἐν τῷ βορρᾷ κείμενον ἐξεγειρέσθω, ὁ δὲ Λόγος ἐκ τοῦ νότου ἐρχέσθω. Ἆρ' οὖν ἐν τῷ βορρᾷ ἔκειτο τὸ σῶμα τοῦ Κυρίου; Καὶ γεγόναμεν ἐν τῷ τόπῳ ἐκείνῳ ἐν ᾧ ἦν σταυρωθεὶς ὁ Κύριος καὶ ἦν ἐκ βορρᾶ τῆς Ἱερουσαλήμ. Διὰ τοῦτο ὁ Δαυὶδ παρατετηρημένως ἔλεγεν· «Ὄρη Σιών, τὰ πλευρὰ τοῦ βορρᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.[3]» Διὰ τοῦτο καὶ ἡμεῖς, ὅτε γεγόναμεν ἐν τῷ τόπῳ ἐκείνῳ ὅπου ἐσταυρώθη ὁ Χριστὸς καὶ ἦμεν ἑστῶτες ἐν τῇ ἀνατολῇ καὶ προσευχόμενοι καὶ ἦν βορεινὸς ὁ τόπος ὅπου ἦν σταυρωθεὶς ὁ Κύριος. Διὰ τοῦτο οὖν οἱ μαθηταὶ ἐν τῷ κελλίῳ ἔσω κρυπτόμενοι λεγέτωσαν· «Ἐξεγέρθητι, βορρᾶ, καὶ ἔρχου, νότε, ἐξεγέρθητι σὺν βορρᾷ», τουτέστιν, ἐκ τοῦ νότου εἰς τὸ σῶμα. Τοῦτο γὰρ καὶ ἐν τοῖς προφήταις γέγραπται, ὅτι «Ὁ Θεὸς ἐκ Θεμὰν ἥξει.[4]» Τριημέρου δὲ κειμένου τοῦ σώματος ἐν τῷ βορρᾷ, ἔρχεται ὁ Σωτὴρ ἐκ τοῦ νότου καὶ λαμβάνει τὸ σῶμα τὸ ἐν τῷ βορρᾷ κείμενον καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς ἐν τῷ τόπῳ ὅπου ἦσαν. Τότε λοιπόν, εἰσελθόντος τοῦ Ἰησοῦ, ἔπνευσεν ὁ κῆπος καὶ ἔρρευσαν τὰ ἀρώματα. Τότε λεγέτωσαν οἱ μαθηταὶ τῷ Κυρίῳ· Ὦ Κύριε, ὅτε σὺ ἐσταυρώθης, καὶ ἐσκύλευες τὸν ᾅδην, ἡμεῖς ἦμεν ἐν κελλίῳ ὁμοθυμαδὸν συνερχόμενοι καὶ ζητοῦντες τὸ παρὰ σοῦ φῶς· φῶς δὲ ἡμῖν ἡ σὴ παρουσία. Μὴ βλέποντες δὲ τὴν σὴν παρουσίαν, ἦμεν ἐν σκότει πολλῷ συνεχόμενοι· καὶ ἐλέγετο καθ' ἡμῶν τοῦτο, ὅτι, «Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο.[5]» Ἐν κακοῖς γὰρ ἦμεν τότε, οὐκ ἐβλέπομέν σε· νῦν δὲ ὅτε εἴδομεν, ὅτι ἐξηγέρθη ὁ βορρᾶς καὶ ἦλθεν ὁ νότος, τότε ἔπνευσεν ὁ κῆπος καὶ ἔρρευσαν τὰ ἀρώματα.

4. Τότε προσερχέσθω ὁ Θωμᾶς κατανοῆσαι τὸ σῶμα καὶ ἰδεῖν τοὺς τύπους τῶν ἥλων καὶ ἐν τῷ κατανοῆσαι αὐτὸν καὶ ἰδεῖν τοὺς τύπους τῶν ἥλων λεγέτω· Ἔπνευσεν ὁ κῆπος καὶ ἔρρευσαν τὰ ἀρώματα. Ἀρώματα δὲ ἡμῶν ἡ ἀφθαρσία τοῦ σώματος, ἣν ἐνεδύσατο.

1. Ἔξ. 15, 1. 2. Ἱερ. 28, 25. 3. Ψαλμ. 47, 3. 4. Ἀββ. 3, 3.
5. Ψαλμ. 106, 26.

Διὰ τοῦτο γὰρ καὶ ὁ Παῦλος ἔλεγεν· «Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.[1]» Πότε δὲ ἐνεδύσατο τὸ σῶμα τὴν ἀφθαρσίαν εἰ μὴ διὰ τῆς ἀναπαύσεως τοῦ Λόγου; ἀμέλει γε ὅτε ἀνέστη ὁ Σωτὴρ καὶ ἦλθον αἱ γυναῖκες ἅψασθαι αὐτοῦ, ἔλεγεν αὐταῖς· «Μή μου ἅπτεσθε· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου.[2]» Διὰ τοῦτο, εἰ εὐνούχισας σεαυτόν, ὦ ἄνερ, καὶ σύ, ὦ γύναι, ἀκούσατε τὸν πόθον τῆς μακαρίας ταύτης ψυχῆς, πῶς ποθοῦσα τοῦ Λόγου λέγει· «Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ.[3]» Τότε μὲν γὰρ παρεκάλει τὸν Λόγον καταβῆναι εἰς τὸν κῆπον καὶ φαγεῖν καρπὸν ἀκροδρύων αὐτοῦ· πρὸς μὲν γὰρ τὸν κῆπον τὸν κόσμον εἶναι, ἐφ' ὃν παρεκάλει αὐτὸν καταβῆναι καὶ φαγεῖν καρπὸν ἀκροδρύων αὐτοῦ· τὰ δὲ ἀκρόδρυα εἶναι τοὺς ἀνθρώπους· τὸν δὲ καρπὸν εἶναι τῶν ἀκροδρύων τὰς πράξεις τοῦ νόμου· ὃν παρεκάλει αὐτὸν καταβῆναι καὶ φαγεῖν. Οὕτω καὶ ἡμεῖς εἰ ἔχομεν ἑτοίμους τοῦ νόμου ἀποδοῦναι τοὺς καρποὺς τῷ Κυρίῳ, παρακαλῶμεν καὶ ἡμεῖς τὸν Λόγον καταβῆναι καὶ φαγεῖν τὸν καρπὸν τῶν ἀκροδρύων αὐτοῦ· αὐτοῦ γάρ ἐσμεν ἀκρόδρυα καὶ ποιήματα κτισθέντες ἐπ' ἔργοις ἀγαθοῖς.

5. Διὰ τοῦτο καὶ παρακαλῶμεν αὐτόν. Πῶς δὲ αὐτὸν παρακαλοῦμεν; Διὰ δεήσεων καὶ προσευχῶν, οὐχ ἵνα τῷ στόματι κράζωμεν, ἀλλὰ τῷ λογισμῷ ἐν ἑαυτοῖς εὐχόμενοι. Τί γὰρ εὐχόμενος κράζεις, ὡς τοῦ Θεοῦ κοιμωμένου; «Ἰδοὺ γὰρ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.[4]» Τοῦτο δὲ καὶ Ἱερεμίας ἔλεγεν· «Ἐγρηγόρησεν ἐπὶ τὰ ἀσεβήματά μου·[5]» τοῦτο δὲ καὶ Ἡσαΐας ἔλεγεν· «Ἔτι σου λαλοῦντος ἐρῶ· Ἰδοὺ πάρειμι.[6]» Οὐ γὰρ ἀναμένει ὁ Θεὸς τοὺς ἐκ τῶν χειλέων λόγους. Ἀμέλει γε ὁ Σωτὴρ ἐν τῷ Εὐαγγελίῳ ἔλεγεν, ὅτι «Οἶδεν ὁ Θεὸς ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν.[7]» Διὰ τοῦτο μὴ ὡς ἐξ ἔργου εὐχόμενοι κράζωμεν· ἀλλ' εἰ καὶ τῷ στόματι εὔχῃ, εὔχου καὶ τῷ νοΐ· τοῦτο γὰρ καὶ ὁ Παῦλος ἔλεγε· «Ψαλῶ τῷ πνεύματι, ψαλῶ καὶ τῷ νοΐ.[8] Ἐκ βαθέων » γάρ, φησί, «ἐκέκραξά σοι, Κύριε.[9]» Διὰ τοῦτο καὶ ἡ γυνὴ ἐν ταῖς Βασιλείαις ὅτε ηὔχετο κράζουσα, ὁ ἱερεὺς ἐφίμωσε τὸ στόμα αὐτῆς, ἡγησάμενος αὐτήν, ὅτι ἐμέθυεν·[10] καὶ ὅμως ἐκείνη, τῷ νοΐ εὐχομένη, καὶ εἰσηκούσθη, καὶ ἔτεκε τὸν Σαμουήλ. Διὰ τοῦτο καὶ σὺ τί εὐχόμενος κράζεις, ὡς τοῦ Θεοῦ μὴ ἀκούοντος; Ἄκουε τοῦ λέγοντος, ὅτι «Ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει;[11]» Εἰ μὲν γὰρ σὺ ἔχων ὦτα ἀκούεις, πόσῳ μᾶλλον ὁ ποιητὴς ὤτων; Διὰ τοῦτο παρὰ Κυρίῳ μὴ εὐχόμενοι κράζωμεν, ὡς τοῦ Θεοῦ μὴ ἀκούοντος· καὶ γὰρ σιωπώντων ὁ Θεὸς ἀκούει. Θεωρεῖς γὰρ τὸν πόθον τὸν ἐν ταύτῃ τῇ μακαρίᾳ ψυχῇ, πῶς, παρακαλούσης

---

1. Α' Κορ. 15, 53. 2. Ἰω. 20, 17. 3. Ἆσμ. 4, 16. 4. Ψαλμ. 120, 4. 5. Θρ. 1, 14. 6. Ἡσ. 58, 9. 7. Ματθ. 6, 8. 8. Α' Κορ. 14, 15. 9. Ψαλμ. 129, 1. 10. Α' Βασ. 1, 14 ἑξ. 11. Ψαλμ. 93, 9.

αὐτῆς καὶ λεγούσης· «Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ·[1]» πῶς εὐθέως λέγει ὁ Λόγος· «Εἰσῆλθον εἰς κῆπόν μου, ἀδελφή μου νύμφη;[2]» ὡς οὐδὲν ταχύτερον· ἔτι γὰρ αὐτῆς λαλούσης, εὐθέως ὑπήκουσε· θεωρεῖς τὸ γεγραμμένον· «Ὅτι καὶ ἔτι λαλοῦντός σου ἐρῶ, Ἰδοὺ πάρειμι;[3]» Ἅμα γὰρ ἐν τῷ αὐτὴν παρακαλεῖν καὶ λέγειν· «Κατάβηθι», ὦ Λόγε, «εἰς τὸν κῆπόν σου καὶ φάγε τὸν καρπὸν τῶν ἀκροδρύων σου», εὐθέως ὑπήκουσεν αὐτῇ λέγων· «Εἰσῆλθον εἰς τὸ κῆπόν μου, ἀδελφή μου νύμφη.»

6. Διὰ τί δὲ καὶ νύμφην καὶ ἀδελφὴν αὐτὴν ὀνομάζει; Πᾶς γὰρ νυμφίος οὐκ ὀνομάζει τὴν νύμφην αὐτοῦ ἀδελφήν· ὧδε δὲ καὶ ἀδελφὴν καὶ νύμφην αὐτὴν ὀνομάζει, ἵνα δείξῃ, ὅτι οὐκ ἔστιν ὁ θάλαμος ἐπαδόμενος σαρκός. Ὅταν μὲν γὰρ ὀνομάζῃ αὐτὴν νύμφην, διὰ τὸν Λόγον, τὸν μνηστευθέντα τὴν ψυχήν. Τοῦτο γὰρ καὶ Παῦλος ἔλεγεν· «Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ.[4]» Ὅταν δὲ καὶ ἀδελφὴν αὐτὴν ὀνομάζῃ, διὰ τὴν σάρκα ἣν ἐφόρεσε. Τοῦτο γὰρ εἷς τῶν προφητῶν σημαίνων περὶ αὐτοῦ ἔλεγεν· «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου.[5]» Διὰ τοῦτο μηδεὶς νομιζέτω σαρκικοὺς εἶναι τοὺς λόγους τούτους. Ὅτε μὲν γὰρ παρεκάλει αὐτὸν ἡ μακαρία αὕτη ψυχὴ λέγουσα· «Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ», ὅταν μὲν γὰρ ἀκούσῃ ψυχήν, μὴ μίαν ψυχὴν ὑπολάμβανε, ἀλλ' ὅλον τὸν κόσμον. Διὰ τοῦτο τοίνυν παρακαλοῦμεν αὐτὸν λέγοντες· «Κατάβηθι», ὦ Λόγε, «εἰς τὸν κῆπόν σου καὶ φάγε τὸν καρπὸν τῶν ἀκροδρύων σου·» καὶ εὐθέως αὐτὸς ἐπήκουσεν· «Εἰσῆλθον εἰς κῆπόν μου, ἀδελφή μου νύμφη· ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων μου.» Πότερον παρεκάλεσάς με καταβῆναι καὶ φαγεῖν τοὺς καρπούς; Ἰδοὺ καταβέβηκα· δός μοι τοὺς καρπούς. Ὁ μὲν οὖν τῶν Ἰουδαίων λόγος εὐθέως φέρει ἀντὶ σταφυλῶν ἀκάνθας καὶ ἀντὶ συκῶν τριβόλους. Πότε δὲ προσήνεγκαν αὐτῷ τούτους τοὺς καρπούς, εἰ μὴ ὅτε ἐσταυροῦτο; Ἤτησε γὰρ πιεῖν ἐκ τῶν καρπῶν τῆς ἀμπέλου καὶ ἀντὶ οἴνου προσήνεγκαν αὐτῷ ὄξος. Ὁρᾷς τὸν καρπὸν αὐτῶν ὅτι ὤξηκε; Λεγέτω τοίνυν ὁ Σωτήρ· Παρεκάλεσάς με καταβῆναι καὶ φαγεῖν ἀπὸ τῶν ἀκροδρύων, καὶ ἰδοὺ ἦλθον διψῶν καὶ ὄξος μοι προσήνεγκας· καὶ ἦλθον πάλιν πεινῶν ἐπὶ τὴν συκῆν καὶ φύλλα μόνον εὗρον. Εἴθε δὲ κἂν φύλλα μόνον εὑρίσκειν καὶ μὴ τὸ ξύλον ξηρόν· διὰ τοῦτο γὰρ καὶ κατηρασάμην αὐτήν. Καταβέβηκα γὰρ φαγεῖν τοὺς καρποὺς τῶν ἀκροδρύων καὶ ἰδοὺ καταβὰς εὗρον αἵματα ἐφ' αἵμασιν μισγόμενα, πορνεύοντας καὶ μοιχεύοντας, καὶ αἵματα ἀθῶα ἐκχυνόμενα. Εὗρον ὑμᾶς γλύφοντας λίθους καὶ Θεὸν ὀνομάζοντας· καὶ λοιπὸν ἀντὶ ἀκροδρύων σμύρναν· καὶ εἰς θάνατον ἄγομαι διὰ σέ. «Καταβέβηκα τοῦ φαγεῖν τοὺς καρποὺς τῶν ἀκρο-

1. Ἆσμ. 4, 16. 2. Ἆσμ. 5, 1. 3. Ἠσ. 58, 9. 4. Β' Κορ. 11, 2. 5. Ψαλμ. 21, 23.

δρύων·» καὶ ἰδοὺ θάνατον τρυγῶ διὰ σέ· σμύρναν τρυγῶ μετὰ ἀρωμάτων. Ἀλλ' εἴθε τρυγήσαντός μου τὴν σμύρναν σωθέντες ἦτε καὶ πεπαυμένοι τῶν κακῶν, καὶ μὴ λεγέτω καθ' ὑμῶν τὸ ἐν τῷ εἰκοστῷ ἐνάτῳ ψαλμῷ λεγόμενον· «Τίς ὠφέλεια ἐν τῷ αἵματί μου ἐν τῷ καταβῆναί με εἰς διαφθοράν; [1]» Καταβέβηκα γὰρ διὰ σὲ καὶ θάνατον ἐτρύγησα καὶ σμύρναν· ἀλλ' οὐ μόνον τὴν σμύρναν, ἀλλὰ μετὰ ἀρωμάτων. Πῶς δὲ καὶ μετὰ ἀρωμάτων; Ὅτε γὰρ ἐτρύγησα τὴν σμύρναν, τουτέστι τὸν θάνατον· ὅτε ἐτέθη ἐν τῷ μνημείῳ καὶ ἀνέστησεν τὸ σῶμα ἄφθαρτον, τότε ἐφάνησαν τὰ ἀρώματα· ἀρώματα δὲ ἦν ἡ ἀφθαρσία τοῦ σώματος.

7. Διὰ τοῦτο καλῶς λέγει· «Ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων μου· ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου· ἔπιον οἶνόν μου μετὰ γάλακτός μου.[2]» Θεωρεῖς τὸν Λόγον τὸν πρὸς πᾶσαν ἡλικίαν γιγνόμενον; καὶ τοῖς Ἰουδαίοις νηπίοις οὖσιν διδοὺς τροφὴν μέλι καὶ γάλα· μέλι δὲ καὶ γάλα ἐὰν ἀκούσῃς, τὸν νόμον νόμιζε· ὡς γὰρ νηπίοις αὐτοῖς οὖσιν ἐδόθη τὸ γάλα· τοῖς δὲ τελείοις ὁ ἄρτος καὶ ὁ οἶνος δίδοται· στερεὰ γάρ ἐστι τροφὴ καὶ ὁ ἄρτος καὶ ὁ οἶνος, τουτέστι τὸ Εὐαγγέλιον. Διὰ τοῦτο τοίνυν καλῶς λέγει ὁ Σωτήρ· «Ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου, ἔπιον οἶνόν μου μετὰ γάλακτός μου.» Θεωρεῖς πῶς πανταχοῦ λέγει; Αὐτοῦ γάρ ἐστι καὶ ἡ Καινὴ καὶ ἡ Παλαιά. Διὰ τοῦτο οὐαὶ τοῖς Ἰουδαίοις τοῖς τὸ μέλι καὶ γάλα ἐσθίουσιν. Ὡσαύτως δὲ καὶ οἱ Μανιχαῖοι τὸν ἄρτον καὶ τὸν οἶνον ἐσθίουσιν· ἡ δὲ Καθολικὴ Ἐκκλησία τὰ δύο ὁμοῦ ἐσθίει, τὸν ἄρτον μετὰ τοῦ μέλιτος, καὶ πίνει τὸν οἶνον μετὰ τοῦ γάλακτος· καὶ ἐσθίοντες μὲν τὸν ἄρτον συναναλίσκομεν τῷ λόγῳ καὶ τὸ μέλι. Καὶ τὸ πρόβατον γέγραπται ἐσθίειν τὸ Πάσχα. Λαμβάνω τὸ πρόβατον καὶ συναναλίσκω αὐτὸ τῷ Λόγῳ· καὶ οὐκ ἐσθίω τὸ πρόβατον μόνον, ἀλλὰ καὶ τὸν ὡς πρόβατον ἐπὶ σφαγὴν ἀγόμενον Λόγον. Διὰ τοῦτο καλῶς λέγει· «Ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου καὶ ἔπιον οἶνόν μου μετὰ γάλακτός μου· καὶ εὐθέως λέγει· «Φάγετε, οἱ πλησίον μου, καὶ πίετε καὶ μεθύσθητε, ἀδελφοί.[3]» Ἰδὲ τὸν Σωτῆρα πῶς νηπίοις παραγγέλλει φαγεῖν· τοῖς δὲ μείζοσι λέγει, «Καὶ πίετε·» τοῖς δὲ τελείοις ἔλεγεν, ὅτι «Καὶ μεθύσθητε, ἀδελφοί.» Ἀμέλει γε Παῦλος, τέλειος ὢν καὶ μεμεθυσμένος τὴν θείαν ταύτην μέθην, ἔλεγεν· «Εἴτε γὰρ ἐξέστημεν Θεῷ, εἴτε σωφρονοῦμεν ὑμῖν.[4]» Μὴ νομίσῃς δὲ αὐτόν, ὅτι ἀπὸ οἴνου ἦν ἐξιστάμενος· αὐτὸς γὰρ παρήγγειλε· «Μὴ μεθύσκετε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία [5]» ἀλλ', «Ὀλίγῳ οἴνῳ χρῶ διὰ τὸν στόμαχόν σου [6]», Τιμοθέῳ γράφει· εἰ δὲ ἄλλοις παραγγέλλει, πόσῳ μᾶλλον ἑαυτῷ; Ἐκεῖνος γὰρ μεμεθυσμένος ἦν καλὴν καὶ θείαν ἀπὸ τοῦ Λόγου μέθην. Γένοιτο δὲ καὶ ἡμᾶς συναριθμηθῆναι μετ' αὐτοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

---

1. Ψαλμ. 29, 10. 2. Ἆσμ. 5, 1. 3. Ἆσμ. 5, 1. 4. Β' Κορ. 5, 13. 5. Ἐφεσ. 5, 18. 6. Α' Τιμ. 5, 23.

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΑΠΟΣΠΑΣΜΑΤΑ *

«Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ.»

Καὶ ἱερεὺς καὶ βασιλεὺς ὁ Χριστὸς ἐτύγχανεν· ἱερεὺς μὲν ὡς προσαγαγὼν θυσίαν ὑπὲρ ἡμῶν, βασιλεὺς δὲ ὡς κατὰ τῆς ἁμαρτίας καὶ θανάτου βασιλεύσας.

«Γενεαὶ δεκατέσσαρες»

Καὶ πῶς ἐνταῦθα ἐπὶ τῶν γενεῶν, δώδεκα προσώπων κειμένων, δεκατέσσαρες γενεαὶ εὑρίσκονται;[1] Οἶμαι, ὅτι καὶ τὴν μετοικεσίαν αὐτὴν ἀντὶ προσώπου ὁ εὐαγγελιστὴς τέθεικε· καὶ ἀντὶ τῆς ἑτέρας δὲ τὸν Χριστόν.

Ἀθανασίου Ἀλεξανδρ. βίβλος τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου.

«Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ.[2]» Εἰ δὲ ἦν καθ' ἕκαστον ἄνθρωπον ἀστὴρ ἐν τῷ οὐρανῷ, πῶς τῇ τρίτῃ ἡμέρᾳ ὁ οὐρανὸς κατέγεμε τῶν ἀπείρων καὶ ἀναριθμήτων ἄστρων, τοῦ Ἀδὰμ πλασθέντος τῇ ϛ' ἡμέρᾳ·

Et interjectis quibusdam ex Chrysostomo.

Ὅτι γὰρ οὔτε εἱμαρμένη, οὔτε γένεσις, οὔτε δρόμος ἀστέρων τὰ καθ' ἡμᾶς διοικεῖ, ἐντεῦθεν δῆλον. Εἰ γὰρ ἐκεῖθεν ἤρτηται τὰ γινόμενα πάντα, καὶ οὐ τῆς προαιρέσεως τῶν ἀνθρώπων, τίνος ἕνεκεν μαστιγοῖς τὸν οἰκέτην κεκλοφότα; τίνος ἕνεκεν μοιχευθεῖσαν τὴν γυναῖκα εἰς δικαστήριον ἕλκεις; τίνος ἕνεκεν αἰσχύνῃ πονηρὰ πράττων; τίνος ἕνεκεν οὐδὲ τὰ ῥήματα φέρεις ὀνειδιζόμενα, ἀλλ' ἐάν τίς σε καλέσῃ μοιχόν, ἢ πόρνον, ἢ μέθυσον, ἤ τι τοιοῦτον, ὕβριν τὸ πρᾶγμα καλεῖς; Εἰ γὰρ μὴ τῆς σῆς γνώμης τὸ ἁμαρτάνειν, οὔτε ἔγκλημα τὸ γινόμενον, οὔτε ὕβρις τὸ λεγόμενον. Νῦν δὲ καὶ δι' ὧν τοῖς ἁμαρτάνουσιν οὐ συγγινώσκεις καὶ δι' ὧν αὐτὸς αἰσχύνῃ τὰ κακὰ πράττων καὶ λανθάνειν σπουδάζεις καὶ δι' ὧν τοὺς ταῦτά σοι προσφέροντας ὑβριστὰς νομίζεις· διὰ πάντων ὁμολογεῖς, ὅτι οὐκ ἀνάγκῃ δέδεται τὰ ἡμέτερα, ἀλλὰ προαιρέσεως ἐλευθερίᾳ τετίμηται. Τοῖς γοῦν ἀνάγκῃ συνεχο-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 27, σελ. 1364 ἑξ.

1. Πρβλ. Ματθ. 1, 17. 2. Ματθ. 2, 2.

μένοις συγγινώσκειν οἴδαμεν· κἂν ὑπὸ δαίμονός τινος ὀχλούμενός τις τὸν χιτῶνα διαρρήξῃ τὸν ἡμέτερον, ἢ πληγὰς ἐπενέγκῃ, οὐ μόνον οὐκ ὀνειδίζομεν, ἀλλὰ καὶ ἐλεοῦμεν καὶ συγγινώσκομεν. Τί δήποτε; ὅτι οὐχὶ τῆς προαιρέσεως ἐλευθερία, ἀλλ' ἡ τοῦ δαίμονος βία εἰργάσατο ταῦτα. Ὥστε, εἰ καὶ τὰ ἄλλα ἁμαρτήματα ἀπὸ τῆς ἀνάγκης τῆς κατὰ τὴν εἱμαρμένην ἐγίνοντο, συνέγνωμεν ἄν· ἐπειδὴ δὲ ἴσμεν, ὅτι οὐκ ἔστιν ἀνάγκης, διὰ τοῦτο οὐ συγγινώσκομεν, οὔτε δεσπόται οἰκέταις, οὔτε ἄνδρες γυναιξίν, οὔτε γυναῖκες ἀνδράσιν, οὔτε διδάσκαλοι μαθηταῖς, οὔτε πατέρες παισίν, οὔτε ἄρχοντες ἀρχομένοις· ἀλλὰ πικροὶ τῶν τετολμημένων ἐξετασταὶ καὶ τιμωροὶ γινόμεθα καὶ δικαστήρια καταλαμβάνομεν καὶ πληγαῖς ὑποβάλλομεν καὶ ἐπιτιμήσεσι χρώμεθα καὶ πάντα πράττομεν ὅπως ἀπαλλάξωμεν αὐτοὺς τῶν κακῶν.

Τό, «Ἤλθομεν προσκυνῆσαι αὐτῷ», σημεῖον τῆς τῶν μάγων ἐπιεικείας καὶ πίστεως. Οἱ γὰρ τοιοῦτον διάστημα διανύσαντες διὰ τὸ προσκυνῆσαι τὸν Χριστόν, τί οὐκ ἂν ἐποίησαν, εἰ ἐν τῇ ἐκείνων χώρᾳ τὸ τοιοῦτον μυστήριον γεγένητο; Ἀποδεκτέοι οὖν οἱ ἄνδρες τῆς πίστεως καὶ ἐπαινετέοι τῆς ἀρετῆς κατὰ πάντα τρόπον.

Ἀθανασίου Ἀλεξανδρείας ἐκ τῆς κατὰ Ματθαῖον ἑρμηνείας.

Περὶ τῶν ἐννέα ἀνιάτων παθῶν τῆς τοῦ Ἡρώδου τελευτῆς.

«Ἐγερθεὶς παράλαβε τὸ παιδίον.[1]»

Οὗτος ὁ λόγος ἔλεγχός ἐστιν ἀκριβὴς τῆς τοῦ Ἀπολλιναρίου ἀθεότητος, εἰπόντος μὴ λαβεῖν τὸν Χριστὸν ψυχὴν νοεράν, ἀλλ' εἶναι σῶμα μόνον ἄνευ ψυχῆς καὶ λόγου.

«Ἡ δὲ τροφὴ ἦν ἀκρίδες καὶ μέλι ἄγριον.[2]» Ὅτι δὲ καὶ ἡ βοτάνη τίς ἐστιν ἀκρὶς λεγομένη, ὁ Σολομὼν ἡμᾶς διδάσκει λέγων· «Ἀνθήσει τὸ ἀμύγδαλον καὶ παχυνθήσεται ἡ ἀκρίς.[3]» Ἀλλ' οὐδὲ πόα τίς ἐστι τὸ μέλι ἄγριον, ἀλλὰ μέλι ὄντως ἄγριον, πικρότατον ὂν καὶ πάσῃ γεύσει πολέμιον.

Τό, «Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ[4]», τοῦτο δηλοῖ, ὅτι καθαριεῖ ὑμᾶς· διὰ τὸ μὴ δύνασθαι τὸ τοῦ Ἰωάννου βάπτισμα τοῦτο ποιῆσαι. ἀλλὰ τὸ τοῦ Χριστοῦ, ὃς καὶ ἀφιέναι ἁμαρτίας ἐξουσίαν ἔχει.

«Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ.[5]» Διὰ τί καθ' ἑκάστην πεῖραν τοῦτο ἐρωτᾷ τὸν Χριστὸν ὁ διάβολος, λέγων· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ;» Καθ' ὁμοιότητα τοῖς πρότερον αὐτῷ λελεγμένοις ἐν τῷ παραδείσῳ ταῦτα φθέγγεται. Εἶπε γὰρ πρὸς τὸν Ἀδάμ. «Ἧ δ' ἂν ἡμέρᾳ φάγητε, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί·[6]» δεικνύων αὐτοῖς δῆθεν, ὡς ἠπατημέ-

---

1. Ματθ. 2, 20. 2. Ματθ. 3, 4. 3. Ἐκκλ. 12, 5. 4. Ματθ. 3, 11. 5. Ματθ. 4, 3. 6. Γεν. 3, 5.

νοι εἰσὶ ὑπὸ τοῦ Θεοῦ. Διὸ καὶ συνεχῶς ἐπιφέρει ἐνταῦθα καθ' ἕκαστον τῶν ἑαυτοῦ λόγων, τό, «Εἰ Υἱὸς εἶ Θεοῦ», τουτέστιν, εἰ ἡ φωνὴ ἀληθής ἐστιν ἡ καλέσασά σε Υἱόν, τί οὐ ταύτην βεβαιοῖς τῷ πράττειν ἅ σοι λέγω;

«Διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν.[1]» Φανερῶς ὁ Χριστὸς καὶ μετὰ παρρησίας διδάσκει· ἵνα πιστεύσωσιν, ὅτι ἃ διδάσκει, οὐκ ἐναντία τυγχάνει τῷ νόμῳ· ὃ δὴ καὶ τοὺς Ἰουδαίους μᾶλλον ἐξέμηνε κατ' αὐτοῦ.

«Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην.[2]» Πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην λέγει τοὺς μετὰ προθυμίας καὶ ὀρέξεως τὴν δικαιοσύνην ποιοῦντας. «Χορτασθήσονται» γάρ, φησί, καὶ ἐνταῦθα ὡς ὀλίγοις ἀρκούμενοι· πολλῷ δὲ πλέον ἐν τῇ μελλούσῃ ζωῇ, ὡς ἀεὶ μετὰ Χριστοῦ διάγοντες· ἔνθα οὔτε λύπη οὔτε στεναγμός ἐστιν.

«Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ Θεὸν ὄψονται.[3]» Ὅτι ὁ πάσης ἐμπαθοῦς διαθέσεως τὴν ἑαυτοῦ καρδίαν ἀποκαθάρας ἐν τῷ ἰδίῳ κάλλει τῆς θείας φύσεως καθορᾷ τὴν εἰκόνα. Ἱκανὴ γὰρ ἡ τῆς ψυχῆς καθαρότης ἐστὶ τὸν Θεὸν δι' ἑαυτῆς κατοπτρίζεσθαι.

Ἀθανασίου Ἀλεξανδρείας,

Περὶ τοῦ, «Οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς[4]», τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου λόγου ς'.

Ἀλλ' οὔτε ἴσασιν οἱ αἱρετικοὶ τό, «Οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μία ἡμέρα ὁ βίος αὐτοῦ» ὅτι ἐρρέθη περὶ τοῦ φυσικοῦ ῥύπου, ὃ ἐπικομίζεται τὸ βρέφος ἐξερχόμενον ἐκ τῆς νηδύος τῆς μητρὸς αὐτοῦ. Διὸ καὶ ὁ νομογράφος Μωϋσῆς ἔφη τὴν τίκτουσαν γυναῖκα εἶναι ἀκάθαρτον, ἐπὶ μὲν τῷ ἄρρενι μ' ἡμέραις, ἐπὶ δὲ τῷ θήλει π' διὰ τὸ ὑγρότερον τῆς φύσεως.[5] Εἰ δὲ οὐκ ἔστιν οὕτως ὡς ἔχει ὁ νόμος Μωϋσέως, καὶ ἡ φυσικὴ ἀκολουθία δώσει λόγον ἐξεναντίας· ποίαν δύναται ποιῆσαι τὸ παιδίον ἁμαρτίαν, οὗ μία ἡμέρα ἡ ζωὴ αὐτοῦ; Μοιχείαν; οὐ πάντως· οὐ γὰρ ἀκμάζει ἐν τῇ ἡδονῇ. Πορνείαν; οὐδὲ οὕτως, ὄντα ἐκτὸς τῆς τοιαύτης ὀρέξεως. Φόνον; ἀλλ' ἀμηχανεῖ βαστάσαι ὅπλον θανάτου. Ἐπιορκῆσαι; ἀλλὰ τέως λείπεται τῆς ἐνάρθρου φωνῆς. Πλεονεκτῆσαι; ἀλλ' οὐκ ἔχει γνῶσιν τῶν ἀλλοτρίων χρημάτων, ἀλλ' οὔτε τῶν ἰδίων. Τῆς δὲ ἀνεξικακίας εἰσὶ πεπληρωμένα τὰ νήπια· ἕως γὰρ ἀνδρωθῶσι καὶ τυπτόμενα παρακαλεῖ καὶ διωκόμενα οὐκ ἀμύνεται. Ὅθεν καὶ ὁ Κύριος ἔφη τοῖς πιστεύουσιν εἰς αὐτόν· «Ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.[6]» Ἐπεὶ οὖν τούτων τῶν ἁμαρτημάτων τὰ βρέφη ἀμύητα ὑπάρχει, ποίαν ἁμαρτίαν ἔχει τὸ ἀνθημερινὸν παιδίον, εἰ

1. Ματθ. 4, 23. 2. Ματθ. 5, 6. 3. Ματθ. 5, 8. 4. Ἰὼβ 14, 4-5. 5. Πρβλ. Λευϊτ. 12, 2-5. 6. Ματθ. 15, 3.

καθὼς ἔφημεν τὸν σωματικὸν ῥύπον· οὔτε μὴν ὁ λέγων ἔφη· «Οὐδεὶς καθαρὸς» ἀπὸ ἁμαρτίας, ἀλλ' «ἀπὸ ῥύπου».

Ἀθανασίου Ἀλεξανδρείας,

Πῶς νοητέον τό, «Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.[1]»

Μοιχεύει γυναῖκα τῇ καρδίᾳ ἐκεῖνος, ὁ συνδιατιθέμενος τῇ πράξει, ἀπεκώλυσε δὲ τὸν τοιοῦτον, ἢ τόπος, ἢ χρόνος, ἢ φόβος τῶν Ῥωμαϊκῶν νόμων. Ὅτι δὲ πολλοί, μὴ δράσαντες τὴν ἀσέβειαν, ὡς μοιχοὶ ἐκολάσθησαν, ῥαδίως ἐστὶ τοὺς πάντας πληροφορηθῆναι ἐκ τοῦ Ὁλοφέρνους. Σπεύδοντος γὰρ δρᾶσαι τὸ μύσος, ἡ Ἰουδίθ, ὡς νόμος δικαιοσύνης, σπασαμένη τὸ ξίφος ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν, ἐπικαλεσαμένη εἰς βοήθειαν καὶ ὑπερασπισμὸν τὸν δοτῆρα τῶν νόμων Θεόν, καὶ συνεργὸν τῆς σωφροσύνης. Ὡσαύτως καὶ οἱ δύο πρεσβύτεροι, εἰρηκότες τῇ Σωσσάνῃ, «Ἰδοὺ ἐν ἐπιθυμίᾳ σού ἐσμεν[2]», καίπερ τοῦτο μὴ πράξαντες, ὡς μοιχοὶ ἐκολάσθησαν καὶ τὴν ζημίαν ἔσχον θάνατον. Ἐὰν οὖν καὶ ἄρτι τίς ἐστι τοιοῦτος, ἀκόλαστος, ἀκρατής, ἐπιθυμῶν ἀλλοτρίων γυναικῶν, κατὰ διάνοιαν μοιχεύει· ὁ γὰρ ἡγεμονεύων τῶν παθῶν, καθαρεύων ἀπὸ ὀφλήματος, ἀπὸ αἰσχρολογίας, οὗτος οὐκ ἔστι μοιχός, ἀλλὰ παθοκρατορικός· ἀναστέλλων τὸ ἐπαχθὲς τῆς ἡδονῆς τῷ θεϊκῷ φόβῳ ὡς κῦμα θαλάσιον ἀνακοπτόμενον ὑπὸ ἰσχυρᾶς καὶ στερεᾶς πέτρας.

«Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ[3]», καὶ τὰ ἑξῆς. Βαδίζοντες τὴν ἀπλανῆ καὶ ζωηφόρον ὁδόν, ὀφθαλμὸν μὲν ἐκκόψωμεν σκανδαλίζοντα· μὴ τὸν αἰσθητόν· καὶ γὰρ πηροὶ μοιχοί· ἀλλὰ τὸν νοητόν. Οἷον ἐὰν ὁ ἐπίσκοπος ἢ ὁ πρεσβύτερος, οἱ ὄντες ὀφθαλμοὶ τῆς Ἐκκλησίας, κακῶς ἀναστρέφωνται καὶ σκανδαλίζωσι τὸν λαόν, χρὴ αὐτοὺς ἐκβάλλεσθαι. Συμφέρον γάρ ἐστιν ἄνευ αὐτῶν συναθροίζεσθαι εἰς εὐκτήριον οἶκον, ἢ μετ' αὐτοὺς ἐμβληθῆναι, ὡς μετὰ Ἄννα καὶ Καϊάφα, εἰς τὴν γέενναν τοῦ πυρός. Ὁμοίως δὲ καὶ ἡ χείρ, ὁ διάκονος, ἐὰν ἀναξίως τι πράττῃ, χωριζέσθω τοῦ θυσιαστηρίου. Ὁ δὲ πούς, ὁ ὑπηρέτης, ἐὰν κακῶς τρέχῃ εἰς τὸ ψεῦδος καὶ τὴν λῆψιν τῶν χρημάτων κατὰ τὸν Γιεζῆ[4], δεῖ καὶ τοῦτον τῆς λειτουργίας ἀποξενοῦσθαι ὡς χαλεπὸν καὶ ἀσύνετον ἄνθρωπον· ἵνα ἡ Ἐκκλησία ἀσκανδαλίστως συναγομένη διαφυλαχθήσηται.

Ἀθανασίου Ἀλεξανδρείας,

Βιβλίου τῆς ἑρμηνείας τοῦ ἁγίου Εὐαγγελίου.

«Προσέχετε δὲ τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε

1. Ματθ. 5, 28. 2. Δαν. (Σωσ.) 20. 3. Ματθ. 5, 29. 4. Πρβλ. Δ' Βασ. 5, 20-25.

παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς.[1]» Συμβουλεύει δὲ ἡμῖν ὁ Μονογενὴς μὴ ποιεῖν τὴν ἐλεημοσύνην ἔμπροσθεν τῶν ἀνθρώπων· οὐχ ἵνα μέλλωμεν περιστέλλεσθαι τοὺς ἀδελφοὺς ἐν τῷ εὖ ποιεῖν τοῖς δεομένοις· ἀλλ' ἵνα μὴ μέλλωμεν θηρεύειν παροῦσαν δόξαν κατὰ τοὺς κενοδόξους Φαρισαίους· ἐκδέχεσθαι δὲ μᾶλλον παρὰ Θεοῦ τὴν ἀμοιβὴν ἐν τῷ μέλλοντι τῆς πιστῆς καὶ περισπουδάστου ἐλεημοσύνης, ὃς καὶ χαίρει οὐ τοσοῦτον ἐπὶ τῷ δόματι, ὅσον ἐπὶ τῇ πλουσίᾳ καὶ ἀγαθῇ προαιρέσει τοῦ μεταδιδόντος, ὡς ἔστι πληροφορηθῆναι ἐκ τῆς πενιχρᾶς χήρας βαλούσης τὰ δύο λεπτὰ εἰς τὸ γαζοφυλάκιον.

«Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω», φησίν, «ἡ ἀριστερὰ χεὶρ τί ποιεῖ ἡ δεξιά.[2]» Τουτέστι μὴ εἰδένα τὰ τῆς σαρκὸς θελήματα τὴν σκέψιν τοῦ ἁγίου Πνεύματος. Πῶς δὲ καὶ οἷόν τέ ἐστι τοῦ ποιοῦντος τὴν ἐλεημοσύνην, τὴν ἀριστερὰν χεῖρα μὴ συνεργεῖν εἰς τὸ ἔργον τῆς εὐποιίας; Χρὴ γὰρ παντὶ πάντως τὰς ἑκατέρας χεῖρας συνεργεῖν ἀλλήλαις εἰς τὴν εὐποιίαν. Τῆς γὰρ ἀριστερᾶς χειρὸς κατεχούσης τὸ χρῆμα, ἤτοι τὸ βαλάντιον, ἡ δεξιὰ χεὶρ σπείρει τὸν καλὸν σπόρον εἰς τὴν χώραν τῆς καρδίας τῶν πενήτων, ἵνα θερίσῃ στάχυν μὴ καλάμῃ προσανατεταμένον, ἀλλὰ τὴν προηρτημένην τῷ σταυρῷ ἀΐδιον καὶ ἀθάνατον ζωήν. Οὐ βούλεται δὲ ὁ Μονογενὴς εἰδέναι τοὺς σαρκικοὺς λογισμοὺς τί ποιεῖ ἡ δεξιὰ χεὶρ τοῦ ἁγίου Πνεύματος, ἵνα μή ποτε τῇ ἀγαθῇ προθέσει καὶ τῇ πλουσίᾳ προαιρέσει προσεμποδίζωσι λέγοντες· 'Οφείλομεν ἔχειν πολλῶν ἐτῶν τροφὴν καὶ ἀναλώματα, ἱμάτια διάφορα, οἴκους κεκαλλωπισμένους, παράθεσιν ἀργυρέαν, χρυσίον ἐναπόθετον, ἀνδράποδα εἰς ὑπηρεσίαν, χωρία καὶ ἀγροὺς εἰς προσόδους. Τὰ γὰρ δεξιὰ μέρη τοῦ ἁγίου Πνεύματος οὐδὲν τούτων φροντίζουσιν ἢ ἐνθυμοῦνται τὸ σύνολον, πιστεύοντα τῇ δεσποτικῇ φωνῇ· «Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.[3]» Καὶ οὕτω δ' ἂν οὐ γνώσεται ἡ ἀριστερὰ τί ποιεῖ ἡ δεξιά. Ὅταν γὰρ ὁ νοῦς ἀμετεωρίστῳ καὶ τεταμένῃ ἐπιθυμίᾳ τῆς πρὸς Θεὸν εὐαρεστήσεως, ἐξ ὁλοκλήρου ἀγωνιῶν μὴ ἐκπέσῃ τοῦ προσήκοντος, ἀγωνίζεται νομίμως· τότε οὐδενὸς οὔτε μέλους ἑτέρου λαμβάνει ἔννοιαν, εἰ μὴ μόνον τοῦ χρησιμεύοντος εἰς τὸ προκείμενον, ὡς ὁ τεχνίτης καθ' ἕκαστον καιρόν, ἐμβλέπων μόνῳ τῷ χρησιμεύοντι αὐτῷ σκεύει. Ἔτι εἰ οὐδεὶς ἀπιστίας ἐν τῇ πίστει λόγος, οὐδὲ σκότους αἴτιον κατὰ φύσιν ὑπάρχει τὸ φῶς, οὐδὲ Χριστῷ συνενδείκνυσθαι πέφυκεν ὁ διάβολος· δῆλον, ὡς οὐδὲ τῷ λόγῳ συνυπάρχει τὸ παρὰ παντὶ παράλογον. Εἰ δὲ τῷ λόγῳ συνεῖναι παντελῶς οὐ δύναται τὸ παράλογον, ὁ πρὸς τὸν λόγον τῶν ἀρετῶν ἀναχθεὶς τὴν παρὰ τὸν λόγον οὐκ ἐπίσταται θέσιν, μόνην δὲ γινώσκει τὴν ἀρετήν· καὶ διὰ τοῦτο οὔτε δεξιὰν διὰ τῆς ὑπεροχῆς, οὔτε ἀριστερὰν διὰ τῆς ἐλλείψεως ἐπίσταται. Ἐπ' ἀμφοῖν γὰρ θεωρεῖται σαφῶς τὸ παράλογον.

1. Ματθ. 6, 1. 2. Ματθ. 6, 3. 3. Ματθ. 6, 33.

«Προσευχόμενοι δὲ μὴ βαττολογήσητε.[1]» Μακρὰς ἐνταῦθα ἀποτρέπεται εὐχάς· ἀλλ' οὐ πολλάς. Ἀδιαλείπτως γὰρ κελεύει προσεύχεσθαι.

Ἀθανασίου Ἀλεξανδρείας,

Περὶ τοῦ μὴ θησαυρίζειν ἐπὶ γῆς, βίβλος τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον, λόγος Θ'.

«Μὴ θησαυρίζητε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς», φησὶν ὁ Χριστός, «ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι. Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανοῖς· ὅπου σὴς καὶ βρῶσις οὐκ ἀφανίζει καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν.[2]» Οἱ δὲ ἐπακούσαντες τούτων τῶν ῥημάτων εἶπον· Καλή ἐστι σφόδρα ἡ συμβουλία καὶ ἀπόδεκτος ἡ γνώμη, τοῦ παρὰ τὴν γῆν μᾶλλον ἐν οὐρανοῖς ἀποθησαυρίζειν τὰ παρόντα τοῦ βίου. Ἀλλὰ πῶς θήσομεν τὸ χρυσίον καὶ τὸ ἀργύριον ἐν οὐρανοῖς, ἀμηχανοῦμεν. Ἔστι γὰρ σφόδρα ὑψηλὸς ὁ οὐρανὸς καὶ οὐ δυνάμεθα τῇ χειρὶ ἐφικέσθαι αὐτοῦ. Οὔτε δὲ ὁρῶμεν ἐκείνην τὴν κλίμακα, ἣν ἐθεάσατο ὁ πατριάρχης Ἰακώβ, ἵνα δι' αὐτῆς ἀνελθόντες ἀποθησώμεθα ἐν τῷ οὐρανῷ τὰ ὑπάρχοντα ἡμῶν. Ὁ δὲ Κύριος· Κἂν ὁ οὐρανός ἐστι σφόδρα ὑψηλός, δύνασθε εἰς αὐτὸν ἀποθησαυρίσαι τὸν ἀσυλαγώγητον θησαυρὸν τῆς δικαιοσύνης. Δὸς πτωχῷ καὶ πένητι ὧν χρῄζει καὶ εὑρήσεις αὐτὰ ἀποκείμενα ἐν τῷ οὐρανῷ σῶα, ἀμόλυντα, ἀδιάφθορα. Ἔχεις δὲ καὶ κλίμακα διήκουσαν ἀπὸ γῆς εἰς οὐρανόν, τὸν σωτήριον σταυρόν· ἀναβαθμίδας δὲ τὰ δόγματα τῶν ἀχράντων Εὐαγγελίων. Ἀνάβηθι οὖν δι' αὐτῶν εἰς τὰς ἐπουρανίους μονάς, ἵνα δοξασθῇς εἰς τὸν αἰῶνα. Πρόσεχε δὲ καὶ τῷ λεγομένῳ παρ' ἐμοῦ· «Ὁ λύχνος τοῦ σώματός σου ἐστὶν ὁ ὀφθαλμός σου. Εἰ ὁ ὀφθαλμός σου ἁπλοῦς ἐστιν, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρός ἐστιν ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται.[3]» Γίνεται δὲ τὸ σῶμα σκοτεινόν, τοῦ ὀφθαλμοῦ πονηροῦ ὄντος, οὐ παρὰ τὴν αἰτίαν τοῦ δημιουργοῦ· πάντα γὰρ ὅσα ἐποίησεν ὁ Θεὸς καλὰ λίαν· ἀλλὰ παρὰ τὸν μοχθηρὸν καὶ ἐθελόκακον τρόπον τοῦ κεκτημένου αὐτόν. Ὀφθαλμὸν δὲ πονηρὸν ἀκούων, συνετὲ ἀκροατά, νόει εἶναι μὴ τὸν ὄντα ἐν τῇ κεφαλῇ, ἀλλὰ τὸν ὑπάρχοντα πονηρὸν λογισμὸν ἐν τῇ ἀφωτίστῳ καρδίᾳ. Εἰ δὲ καὶ συμβαίη τὸν σωματικὸν ὀφθαλμὸν σκοτισθῆναι ἐκ πολλῆς φορᾶς ῥεύματος καὶ ὀδύνης τοῦ κρανίου, ἀλλ' οὔτε ἡ σωματικὴ τύφλωσίς τινα ἀποξενοῖ τῶν μελλόντων καὶ ἀιδίων ἀγαθῶν.

Ἀθανασίου,

Εἰς τό· «Οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος;[4]»

Διαφέρει δὲ ἡ ψυχὴ τῆς τροφῆς καθὸ αὕτη μέν ἐστι πνεῦμά τι

1. Ματθ. 6, 7. 2. Ματθ. 6, 19-20. 3. Ματθ. 6, 22. 4. Ματθ. 6, 25.

ζωτικόν· ἡ δὲ τροφὴ γηΐνη καὶ εὐδιάλυτος· τὸ σῶμα τοῦ ἐνδύματος, ἐπεὶ τὸ μέν ἐστιν ἔργον θεϊκῶν χειρῶν, τὸ δὲ πόκος ἀλόγου βοσκήματος. Πολλοὶ δέ, ἀκούοντες ψυχὴν ἐσθίουσαν, ξενίζονται ἐπὶ τῷ λόγῳ, ὁρῶντες τὴν χεῖρα τῷ στόματι κομίζουσαν τὰ σιτία. Ἀλλὰ σύ, ἀγαπητέ, μὴ ξενισθῇς ψυχὴν ἀκούων ἐσθίουσαν. Καὶ γὰρ οὕτως ἐστὶ καὶ οὐκ ἄλλως πως. Ἐσθίει δὲ ψυχὴ τὰ παραπεμπόμενα τῷ στόματι· ἐπεί ἐστι τὴν φύσιν θερμὴ κατὰ τὸν λόγον τῆς Σοφίας· «Ψυχὴ θερμὴ ὡς πῦρ καιόμενον.[1]» Ὥσπερ οὖν τὸ πῦρ τὰ βαλλόμενα εἰς τὸν λέβητα ἕψει, οὕτως καὶ ἡ πυρώδης ψυχὴ τὰ παραπεμπόμενα σιτία τῇ κοιλίᾳ λεπτύνει καὶ δαπανᾷ. Κἂν δὲ ψυχὴ λέγηται, οὐ λέγεται διὰ τὸ εἶναι ψυχρὰ τῇ οὐσίᾳ, ὥς τινες τῶν ἁπλουστέρων ᾠήθησαν, ἀλλὰ διὰ τὸ ἐκ πολλῆς θερμότητος ἀναξεραίνειν αὐτὴν τὰ ὑγρά, ὡς ἔστιν πληροφορηθῆναι καὶ ἐκ τῆς ἐνεργείας τοῦ ἡλίου· ὢν γὰρ θερμὸς καὶ πυρώδης, πηλὸν ξηραίνει καὶ πᾶν ὑγρὸν ἀνιμᾶται. Ὅτι δὲ ἡ ψυχὴ θερμή ἐστι κατὰ φύσιν, πείθου, ἀδελφέ, καὶ ἐκ τῶν ἀποθνησκόντων. Ἢ γὰρ ἀποχωρισθῇ ἡ ψυχὴ ἀπὸ τοῦ σώματος, πάντα τὰ μέλη εὑρίσκονται κρυσταλλώδη καὶ οὐδὲν ἧττον πάγου χειμερίου ἢ χιόνος ψυχρότερα. Καὶ δὴ ἀπὸ τῶν λιμῶν ἔστι δοκιμάσαι τὸ λεγόμενον· ἕως γὰρ ἔχει ἡ ψυχὴ τὴν τροφὴν εἰς ἀφθονίαν, τὸ σῶμα θάλλει καὶ ἁδρύνεται· ὁπηνίκα δὲ ἀπορήσει σιτίων, αὐτὸ τὸ σῶμα κατεσθίει καὶ φθείρει. Οὐ γὰρ δύναται τὸ σῶμα ἄνευ τροφῆς ἀντέχειν πρὸς τὴν θερμότητα τῆς ψυχῆς, ὡς οὔτε ἀγγεῖον χαλκοῦν ἑστὼς ἐπὶ κλιβάνου οὐ δύναται ἄνευ ὕδατος φέρειν τὴν σφοδρότητα τοῦ πυρός· ἐκφρύγεται γὰρ καὶ διαλύεται τέλειον. Οὕτω γοῦν καὶ ὁ λέβης τοῦ σώματος, μὴ ἔχων τὴν τροφήν, παρὰ τῆς πυρώδους ψυχῆς ὑπολικμώμενος ἀπόλλυται παντάπασι. Κεφάλαιον δὲ πᾶν ἐπὶ πᾶσι τὸ λεχθὲν πρὸς τοῦ Κυρίου· «Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, ἢ τῷ σώματι τί ἐνδύσησθε·[2]» ἐπεὶ πλεῖόν ἐστιν ἡ ψυχὴ τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος. Εἰ τοίνυν τῶν κρειττόνων καὶ μειζόνων ἠξιώθημεν τῇ χάριτι τοῦ κρείττονος, πολλῷ μᾶλλον τῶν βραχυτέρων καὶ καταδεεστέρων ἐμπλησθῶμεν.

«Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ.[3]» Βασιλεία Θεοῦ οὐδὲν ἄλλο ἐστὶν ἀλλ' ἢ τῶν μελλόντων ἀγαθῶν ἡ ἀπόλαυσις· τουτέστιν ἡ τοῦ Θεοῦ θεωρία τε καὶ γνῶσις, ὅσον ἐφικτὸν τῇ ἀνθρωπίνῃ ψυχῇ.

Περὶ τοῦ μὴ κρίνειν, τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, τοῦ μακαρίου Ἀθανασίου.

«Μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε· ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.[4]» Λέγει δὲ ὁ Κύριος τὰ αὐτὰ καὶ τὰ ἴσα πάσχειν τὸν κρίνοντα καὶ τὸν μετροῦν-

1. Σοφ. Σειρ. 23, 16. 2. Ματθ. 6, 25. 3. Ματθ. 6, 33. 4. Ματθ. 7,1.

τα, οὐ καθὼς φασιν αἱρετικῶν παῖδες ψευδόμενοι ἑαυτοὺς καὶ «μὴ εἰδότες τί λέγουσιν, ἢ περὶ ὧν διαβεβαιοῦνται.[1]» Οὗτοι γὰρ ἐμπορευόμενοι τὰ χρήματα διὰ τῶν ἀνοήτων καὶ ἐπιζημίων μετανοιῶν θέλουσι λέγειν, ὅτι οὐ δεῖ κρίνειν τὸν δράσαντα θανατικὰς ἁμαρτίας. Εἶπε γὰρ ὁ Κύριος· «Μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε.» Εἰ δὲ οὕτως ἦν καθὼς ἐκεῖνοι δισχυρίζονται, πάντως ἂν ὁ δίκαιος Νῶε κατεκρίθη κρίνας τὸν χλευαστὴν Χὰμ τοῦ εἶναι δοῦλον τῶν ἀδελφῶν.[2] Ὁ δὲ Μωϋσῆς, κρίνας τὸν συλλέξαντα τὰ ξύλα ἐν τῷ σαββάτῳ, ἐκέλευσεν ἔξω τῆς παρεμβολῆς λίθοις αὐτὸν ἀποθανεῖν·[3] ὁ δὲ διάδοχος αὐτοῦ Ἰησοῦς, κρίνας καὶ τὸν Ἄχαρ διὰ τῆς κλοπῆς πανοικὶ ἐξωλόθρευσεν.[4] Ὁ δὲ Φινεὲς διὰ τὴν πορνείαν τὸν Ζαμβρὶ κρίνας, σειρομάστῃ ἐξεκέντησε.[5] Καὶ ὁ Σαμουὴλ τὸν Ἀγὰγ τὸν βασιλέα τῶν Ἀμαληκιτῶν ἀνεῖλεν ἐνώπιον Κυρίου.[6] Ὁ δὲ Ἠλίας κρίνας τοὺς ψευδοπροφήτας, ὡς χοίρους ἐν τῷ χειμάρρῳ ἀπέσφαξεν.[7] Καὶ ὁ Ἐλισσαῖος, κρίνας τὸν Γιεζῆ διὰ τὴν λῆψιν τῶν χρημάτων, λεπρὸν ἀνέδειξεν.[8] Ὁ δὲ Δανιήλ, κρίνας τοὺς ἀκολάστους γέροντας ἕνεκεν τῆς συκοφαντίας, νόμῳ Μωσαϊκῷ ἐτιμωρήσατο.[9] Καὶ ὁ Πέτρος, λαβὼν τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν[10], τὸν Ἀνανίαν μετὰ τῆς γυναικὸς νοσφισαμένους ἐκ τοῦ ἰδίου κτήματος, κρίνας, παραυτὰ ἐποίησεν αὐτοὺς ἀποψύξαι.[11] Καὶ ὁ Παῦλος ἔκρινεν Ἀλέξανδρον τὸν χαλκέα εἰπών· «Ἀποδώσει αὐτῷ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ.[12]» Ὑμεναῖον δὲ καὶ Φιλητὸν παρέδωκε τῷ Σατανᾷ, ἵνα παιδευθῇ μηκέτι βλασφημεῖν. Αἰτιᾶται δὲ καὶ μὴ κρινούσας Ἐκκλησίας τῶν Κορινθίων φήσας· «Οὐκ ἔστιν ἐν ὑμῖν σοφὸς ὃς δυνήσεται κρῖναι ἀναμέσον τοῦ ἀδελφοῦ αὐτοῦ; ἢ ὅτι οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν;[13]» Εἰ τοίνυν πάντες οἱ δίκαιοι, κρίναντες, οὐ κατεκρίθησαν, μᾶλλον δὲ ἐκλεγέντες εἰς τὴν πνευματικὴν διακονίαν ἐξελέγησαν· πῶς οὐ δεῖ κατ' αὐτοὺς κρίνειν; Εἶπεν οὖν ὁ Κύριος· «Μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε·» οὐχ ἵνα μέλλωμεν ἀκρίτως τι πράττειν ἢ ποιεῖν, ἀλλὰ διὰ τὸ τοὺς Φαρισαίους καὶ Γραμματεῖς κρίνειν μὲν ἀλλήλους, ἑαυτοὺς δὲ μὴ διορθοῦσθαι. Οἷον ἔκριναν τὸν φονέα ἀποθανεῖν κατὰ τὸν νόμον, αὐτοί τε καὶ προφήτας παρανόμως θανατοῦντες· ἔκριναν τὸν μοιχὸν ὡς μοιχὸν κολασθῆναι καὶ αὐτοὶ ὡς ἵπποι θηλυμανεῖς ἐχρεμέτιζον ἐπὶ τὰς ἀλλοτρίας γυναῖκας·[14] ἔκριναν τὸν κλέπτην, αὐτοὶ ὄντες συλωταὶ τῶν ἀλλοτρίων χρημάτων. Ἦσαν δὲ καὶ «κώνωπα διυλίζοντες καὶ τὴν κάμηλον καταπίνοντες.[15]» Ὅτι δὲ τοιοῦτοι ἦσαν οἱ Φαρισαῖοι καὶ οἱ Γραμματεῖς, φανερὸν ἐκ τοῦ λέγειν τὸν Κύριον διὰ τῶν ἑξῆς πρὸς ἕνα ἕκαστον αὐτῶν· «Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλ-

---

1. Α' Τιμ. 1, 7. 2. Πρβλ. Γεν. 9, 26. 3. Πρβλ. Ἀριθ. 15, 35. 4. Πρβλ. Ἰ. Ναυῆ 7, 25. 5. Πρβλ. Ἀριθ. 25, 8. 6. Πρβλ. Α' Βασ. 15, 35. 7. Πρβλ. Γ' Βασ. 18, 40. 8. Πρβλ. Δ' Βασ. 5, 27. 9. Πρβλ. Δαν. (Σωσ.) 62. 10. Πρβλ. Ματθ. 16, 19. 11. Πρβλ. Πράξ. 5, 1-10. 12. Β' Τιμ. 4, 14. 13. Α' Κορ. 6, 53. 14. Πρβλ. Ἱερ. 15, 8. 15. Ματθ. 23, 24.

μῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ὀφθαλμῷ σου οὐ κατανοεῖς; Ἢ πῶς λέγεις τῷ ἀδελφῷ σου· Ἄφες ἐκβαλῶ τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ σου; Ὑποκριτά, ἔκβαλε πρῶτον ἐκ τοῦ ὀφθαλμοῦ σου τὴν δοκὸν καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.[1]» Εἰ δὲ αὐτὸς ἔχεις τὴν δοκὸν ἐν τῷ ὀφθαλμῷ σου τῆς ἀκολασίας, ὢν τυφλός, πῶς δύνασαι ἀποστρέψαι τὸν πλησίον σου ἀπὸ τοῦ κάρφους τῆς μικρᾶς ἁμαρτίας; Ὁ δὲ θεσπέσιος Παῦλος, γράφων Ῥωμαίοις, καὶ αὐτὸς λέγει περὶ τῶν τοιούτων ὑποκριτῶν καὶ σχηματιζομένων τὴν εὐσέβειαν· «Ὁ διδάσκων τὸν ἕτερον, ἑαυτὸν οὐ διδάσκεις· ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις· ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις· ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς· ὃς ἐν νόμῳ καυχᾶσαι διὰ τῆς παραβάσεως τοῦ νόμου, τὸν Θεὸν ἀτιμάζεις·[2]» καὶ πάλιν· «Ἐν ᾧ γὰρ κρίματι κρίνεις τὸν ἕτερον, ἑαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων.[3]» Ὡς καὶ οἱ παραβάται τοῦ Πάσχα διὰ τῆς παραβάσεως τοῦ Πάσχα τὸν Χριστὸν ἀτιμάζουσιν, οὗ ἐστι τὸ Πάσχα. Ἐν ᾧ οὖν τις κρίνει τὸν ἕτερον καὶ δρᾷ τὰ αὐτά, ἑαυτὸν κρίνει· ὡς καὶ οἱ δύο πρεσβύτεροι· κρίναντες γὰρ τὴν Σωσάνναν ὡς μοιχαλίδα, ἐκρίθησαν ὄντες αὐτοὶ μοιχοὶ κατὰ τὸν Μωσαϊκὸν νόμον. Ὁ δὲ Φαραὼ ἐν ᾧ μέτρῳ ἐμέτρησεν ἀπεμετρήθη αὐτῷ· ἀποπνίξας γὰρ τὰ βρέφη ἐν τῷ ποταμῷ καὶ αὐτὸς ὑποβρύχιος ἀπώλετο ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Οἱ δὲ ἀρχιερεῖς, φονεύσαντες τὸν Ζαχαρίαν παρὰ τὸ θυσιαστήριον καὶ αὐτοὶ ὑποκάτω τοῦ θυσιαστηρίου παρὰ τῶν Ῥωμαίων ἐσφάγησαν· ἵνα μάθῃς ὅτι ᾧ μέτρῳ τις μετρεῖ, τούτῳ καὶ ἀντιμετρεῖται αὐτῷ· δι' ὧν δὲ καί τις ἁμαρτάνει, διὰ τούτων καὶ κολάζεται.

Ἀθανασίου,
Περὶ τῶν ἀχράντων μυστηρίων.

«Μὴ δότε τὰ ἅγια τοῖς κυσί, μηδὲ βάλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν των χοίρων[4]», φησὶν ὁ Χριστός. Καὶ γὰρ τοῦτο κρίσεώς ἐστιν ὀρθῆς. Οὔτε δὲ ἔφησεν ὁ Κύριος ἀδιορίστως ἢ χωρὶς διαστολῆς· Δότε τὰ ἅγια καὶ τοὺς μαργαρίτας τοῖς πᾶσιν· ἀλλά· «Μὴ δότε τὰ ἅγια τοῖς κυσί», τοῖς κακοῖς ἐργάταις, λέγοντος τοῦ Ἀποστόλου· «Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τοὺς χοίρους[5]», οἵτινές εἰσιν οἱ ἀκόλαστοι. Τοῖς δὲ χοίροις παραβάλλονται οἱ ἀκόλαστοι οὐκ ἀπεικότως, ἀλλ' οἰκείως καὶ προσηκόντως. Ὥσπερ γὰρ τὸν χοῖρον ἐάν τις ἀποσπάσῃ τοῦ βορβόρου καὶ νομίζει ζημιοῦσθαι, οὕτω καὶ τὸν ἀκόλαστον ἐάν τις ἀποστρέψῃ ἀπὸ τοῦ βορβόρου τῆς ἡδονῆς, λογίζεται τὸν συμβουλεύοντα τὴν σωφροσύνην εἶναι ἔχθραν, ἤπερ φίλον. Μὴ βάλωμεν οὖν τοὺς μαργαρίτας ἡμῶν τῶν ἀχράντων μυστηρίων ἔμπροσθεν τῶν χοιροτρόπων

1. Ματθ. 7, 3-5. 2. Ῥωμ. 2, 21-24. 3. Ῥωμ. 2, 1. 4. Ματθ. 7,6. 5. Φιλιπ. 3, 2.

ἀνθρώπων. Ἀλλά φησι· Θέλουσι μεταλαμβάνειν τῶν ἁγίων· καί εἰσι κύνες ἀναιδεῖς καὶ χοῖροι ἐγκαλινδούμενοι τῇ ἡδονῇ. Ἀλλὰ σὺ μὴ δῷς. Καὶ γὰρ οἱ νοσοῦντες ὕδατος ἐπιθυμοῦσιν· ἀλλ' οἱ ἰατροὶ οὐκ ἐπιτρέπουσι· καὶ οἱ τύραννοι ποθοῦσι τὴν βασιλικὴν πορφύραν· ἀλλ' οἱ φυλάσσοντες αὐτὴν οὐ παρέχουσιν ὑφορώμενοι τὸν κίνδυνον. Βλέπε οὖν καὶ σύ, διάκονε, μὴ ἀναξίοις ἐπιδώσῃς τὴν πορφύραν τοῦ ἀναμαρτήτου σώματος· ἵνα μὴ εὐθυνθῇς οὐ κατὰ τοὺς Ῥωμαϊκοὺς νόμους, ἀλλὰ κατὰ τοὺς δεσποτικοὺς λόγους. «Μὴ δότε οὖν τὰ ἅγια τοῖς κυσί, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς τοῖς ποσὶν αὐτῶν», τοῖς ἀλογίστοις λογισμοῖς, «καὶ στραφέντες ῥήξωσιν ὑμᾶς[1]», ποιήσαντες σχίσματα καὶ αἱρέσεις.

Ἀθανασίου Ἀλεξανδρείας,
Περὶ ψευδοπροφητῶν.

«Εἶπεν ὁ Κύριος· Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύματι προβάτου, ἔνδοθεν δὲ εἰσι λύκοι ἅρπαγες·ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.[2]» Ἐὰν οὖν τινα ἴδῃς, ἀδελφέ, ὅτι ἔχει σχῆμα σεμνοπρεπές, μὴ πρόσχῃς, ὅτι ἐνδέδυται κώδιον προβάτου, ὅτι ὄνομα ἔχει πρεσβυτέρου, ἢ ἐπισκόπου, ἢ διακόνου, ἢ ἀσκητοῦ· ἀλλὰ τὰς πράξεις αὐτοῦ περιέργασαι· εἰ ἔστι σώφρων, εἰ ἔστι φιλόξενος, ἢ ἐλεήμων, ἢ ἀγαπητικός, ἢ ἐν προσευχαῖς καρτερικός, ἢ ὑπομονητικός· εἰ ἔχει κοιλίαν θεὸν καὶ τὸν φάρυγγα ᾅδην, νοσῶν χρήματα, καὶ καπηλεύων τὴν θεοσέβειαν, ἄφες αὐτόν. Οὐ γάρ ἐστι ποιμὴν ἐπιστημονικός, ἀλλὰ λύκος ἁρπακτικός. Εἰ δὲ οἶδας τὰ δένδρα δοκιμάζειν ἀπὸ τῶν καρπῶν, ποῖά ἐστι τῇ φύσει, τῇ γεύσει, τῇ πιότητι· πολλῷ μᾶλλον ἀπὸ τῶν ἔργων ὀφείλεις δοκιμάζειν τοὺς χριστεμπόρους· ὅτι, φέροντες φημάριον εὐλαβείας, ψυχὴν κέκτηνται διαβολικήν. Εἰ δὲ καὶ ἀπὸ ἀκανθῶν οὐ συλλέγεις σταφυλάς, ἢ ἀπὸ τριβόλων σῦκα, τί ὑπολαμβάνεις, ὅτι ἀπὸ παραβατῶν ἔχεις τι ἀγαθὸν ἀκοῦσαι, ἢ ἀπὸ προδοτῶν μαθεῖν τι χρήσιμον; Ἐκείνους τοίνυν ἀποστρέφου ὡς λύκους Ἀραβικοὺς καὶ ἀκάνθας παρακοῆς καὶ τριβόλους ἀδικημάτων καὶ δένδρα πονηρά. «Ἐὰν ἴδῃς συνετόν», κατὰ τὴν συμβουλεύουσαν Σοφίαν, «ὄρθριζε πρὸς αὐτὸν καὶ σταθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου[3]», ἵνα παρ' αὐτοῦ διδαχθῇς νόμου σκιαγραφήματα καὶ χαρίτων δωρήματα. Οὔτε δὲ λόγος σοφιστικός, ἢ σχῆμα ἐπιθετικὸν εἰσάγουσιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλὰ πίστις τελεία καὶ ἀπερίεργος μετὰ τῆς ἐναρέτου καὶ διαλαμπούσης προνοίας.

Τοῦ ἁγίου Ἀθανασίου.

«Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός

1. Ματθ. 7, 6. 2. Ματθ. 7, 15-16. 3. Σοφ. Σειρ. 6, 36.

εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.[1]» Ἐντεῦθεν ὠφελημένος ὁ θεῖος Ἀπόστολος, «ὀγκώδη» τὴν ἁμαρτίαν ὠνόμασε «καὶ εὐπερίστατον.[2]» Τί γὰρ βαρύτερον καὶ βλαβερώτερον ἁμαρτίας; ὥσπερ ἐκ τοῦ ἐναντίου, τί τῆς ἀρετῆς ἐλαφρότερον; «Ἡ μὲν» γὰρ «ἁμαρτία», ὡς ἐν Παροιμίαις γέγραπται, «πολλοὺς τρώσασα, καταβάλλει τῷ βάρει[3], Σειραῖς τε τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται·[4]» ἡ δὲ ἀρετὴ τοὺς ἀντιποιουμένους αὐτῆς ζωοποιεῖ καὶ εἰς ὕψος αἴρει, λέγοντος τοῦ Παροιμιαστοῦ· «Ξύλον ζωῆς ἐστι τοῖς ἀντιποιουμένοις αὐτῆς·[5]» τοῦ δὲ Ψαλμῳδοῦ· «Ἀναλαμβάνων πραεῖς ὁ Κύριος.[6]» Διὰ τοῦτο ἡ μὲν ἁμαρτία συμβολικῶς ἐπὶ ταλάντου διαμολίβδου καταιρομένη θεωρεῖται·[7] ἐπειδὴ τοὺς χρωμένους αὐτῇ βυθίους καταφέρει εἰς τὸν ᾅδην· καὶ οἷς ἐνυπάρχουσιν οἱ σαρκικοὶ ὄγκοι καὶ αἱ τῆς σαρκὸς ἐπιθυμίαι καὶ οὓς ἡ ἁμαρτία περίσταται, τούτοις οὐκ ἔστιν ἐλεύθερον πρὸς τὸν Θεὸν τὸ ὄμμα. Ὁ ζυγὸς τοίνυν τοῦ Σωτῆρος χρηστὸς καὶ τὸ φορτίον ἐλαφρόν. Καὶ πῶς, φησίν, ἐλαφρόν, ὅταν λέγῃ· «Ἐὰν μή τις μισῇ πατέρα ἢ μητέρα·[8] καί, «Ὃς οὐκ αἴρει τὸν σταυρὸν καὶ ἀκολουθεῖ μοι, οὐκ ἔστι μου ἄξιος·[9]» καί, «Ὃς οὐκ ἀποτάσσεται πᾶσιν αὐτοῦ τοῖς ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής·[10]» ὅταν κελεύῃ καὶ αὐτὴν ἐκδοθῆναι τὴν ψυχήν; Διδασκέτω σε Παῦλος λέγων· «Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται·[11]» καὶ πάλιν· «Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀνακαλυφθῆναι εἰς ἡμᾶς.[12]»

Τοῦ ἁγίου Ἀθανασίου.

«Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται αὐτοῖς. Καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Πνεύματος ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι.[13]» Ἐνταῦθα καλὸν τὸ τοῦ Ἀποστόλου εἰπεῖν· ὅτι «Τὸ γράμμα ἀποκτείνει, τὸ δὲ Πνεῦμα ζωοποιεῖ.[14]» Πολλὰ γὰρ τῶν θείων Γραφῶν ἐὰν κατὰ τὸ γράμμα νοήσωμεν, εἰς ἀθέσμους βλασφημίας περιπεσούμεθα· οἷόν ἐστι καὶ τὸ νῦν προκείμενον τοῦ Κυρίου λόγιον· ἐὰν γὰρ κατὰ ξηροῦ τὰς λέξεις ἐκλάβωμεν, οὐ μόνον εἰς ἀθεμίτους ἐννοίας κατενεχθησόμεθα, ἀλλὰ καὶ αὐτὸν τὸν Κύριον ἐναντιούμενον ἑαυτῷ εὑρήσομεν. «Ἐὰν γὰρ ὃς εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ, ἀφεθήσεται αὐτῷ·» πῶς

---

1. Ματθ. 11, 29-30. 2. Πρβλ. Ἑβρ. 12, 1. 3. Παρμ. 7. 26. 4. Παρμ. 5, 22. 5. Παρμ. 3, 18. 6. Ψαλμ. 146, 6. 7. Πρβλ. Ζαχ. 5, 7. 8. Λουκ. 14, 26. 9. Ματθ. 10, 38. 10. Λουκ. 14, 33. 11. Β' Κορ. 4, 17. 12. Ῥωμ. 8, 18. 13. Ματθ. 12, 31-32. 14. Β' Κορ. 3, 6.

αὐτὸς ὁ Υἱὸς εἶπεν, ὅτι «Ὁ ἀπαρνησάμενος αὐτὸν [ἐνώπιον τῶν ἀνθρώπων] ἀπαρνηθήσεται ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ; [1]» Καὶ πάλιν ἐὰν πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, πῶς καὶ ὑπὲρ ἀργοῦ λόγου ἀπολογίαν δώσομεν; [2] πῶς ὁ λέγων τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός; [3] πῶς δέ φησι καὶ Παῦλος· «Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὐ λοίδοροι, οὐ μέθυσοι, οὐχ ἅρπαγες, βασιλείαν Θεοῦ οὐ μὴ κληρονομήσουσι; [4]» Καὶ εἰ ταῦτα οὕτως ἔχει, πῶς λοιπόν, εἰπέ μοι, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις; Καὶ ἐὰν πάλιν τοῦτο ἀληθές, διὰ τί λοιπὸν ἐγκαλεῖται ὁ ἄθλιος Ὠριγένης, τέλος κηρύττων τῆς κολάσεως, ὡς συγχώρησιν πάσης ἁμαρτίας γενέσθαι καὶ τοῖς ἀνθρώποις καὶ τοῖς δαίμοσι παρὰ Θεοῦ; Πάλιν δὲ ἐὰν ἡ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημία οὐκ ἔχει συγχώρησιν, τί μέμφεται ἡ Ἐκκλησία Ναυάτον ἀποβαλλόμενον τὴν μετάνοιαν; Τὸ δὲ σκοτεινότερον καὶ δυσκατάληπτον ἐκεῖνό ἐστιν, ὅτι ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Πνεύματος, οὐκ ἀφεθήσεται αὐτῷ· ὥστε ἐλάττων ἐστὶν ὁ Υἱὸς παρὰ τὸ Πνεῦμα καὶ τὸν Πατέρα. Καὶ τί λοιπὸν ἀποβαλλόμεθα τοὺς μυσαροὺς Ἀρειανούς, τοὺς σμικρύνοντας καὶ καταβιβάζοντας τὸν Υἱὸν παρὰ τὸ Πνεῦμα; Καὶ πῶς ὁ Υἱὸς λέγει· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· [5]» καί, «Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα· [6]» καὶ πάλιν ἐνταῦθά φησιν· «Ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ, ἀφεθήσεται αὐτῷ; [7]» Ἆρα οὖν, εἰπέ μοι, ἡ εἰς τὸν Υἱὸν βλασφημία συγχωρηθήσεται τοῖς Ἀρειανοῖς καὶ Σιμωνιανοῖς καὶ Σαβελλιανοῖς καὶ Φωτεινιανοῖς καὶ τοῖς λοιποῖς πᾶσι τοῖς εἰς τὴν τοῦ Υἱοῦ σάρκωσιν βλασφημήσασιν; Ἄπαγε τῆς ἀτοπίας. Εἰ γὰρ ὁ λέγων τῷ ἀδελφῷ αὐτοῦ, Μωρέ, ἔνοχός ἐστιν εἰς τὴν γέενναν τοῦ πυρός, εἰς ποίαν λοιπόν, εἰπέ μοι, γέενναν γεέννης ἐκβληθήσεται ὁ λέγων τὸν Θεὸν αὐτοῦ κτίσμα καὶ οὐχὶ Θεοῦ Υἱόν, ἀλλὰ δοῦλον καὶ ὑπουργὸν καὶ μικρόν; Καὶ εἰ ὅστις εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ, ἀφεθήσεται αὐτῷ, πῶς αὐτὸς ὁ Υἱὸς εἶπεν, ὅτι «Ὁ μὴ τρώγων μου τὴν σάρκα καὶ μὴ πίνων μου τὸ αἷμα, οὐκ ἔχει ζωὴν αἰώνιον; [8]» Πῶς δὲ καὶ δύναταί τις, ἀτιμάζων τὸν Υἱόν, μὴ βλασφημεῖν εἰς τὴν ἁγίαν Τριάδα; Ὁ δὲ εἰς αὐτὴν βλασφημῶν δηλονότι ἀπαρνεῖται τὸ ἅγιον βάπτισμα· ὁ δὲ τοῦτο ἀπαρνούμενος, τὸ Πνεῦμα τὸ ἅγιον ἀποδύεται. Καὶ ὥσπερ ἐπὶ τοῦ αἰσθητοῦ ἡλίου, ἐὰν τὴν θέρμην ἢ τὴν ἀκτῖνα αὐτοῦ καθυβρίσῃς, εἰς ὅλην τὴν φύσιν αὐτοῦ ἀνατρέχει ἡ ὕβρις· οὕτως καὶ ἐπὶ τοῦ τρισηλίου τῆς ἁγίας Τριάδος φωτὸς καὶ μυστηρίου ἡ τῆς μιᾶς ὑποστάσεως ἀτιμία παντὸς τοῦ πληρώματος τῆς θεότητός ἐστιν ἀτιμία. Τί οὖν ἐστι τὸ πρὸς Ἰουδαίους λεγόμενον, ὅτι «Πᾶσα

1. Λουκ. 12, 9. 2. Πρβλ. Ματθ. 12, 36. 3. Ματθ. 5, 22. 4. Α' Κορ. 6, 9-10. 5. Ἰω. 10, 30. 6. Ἰω. 5, 23. 7. Ματθ. 12, 32. 8. Ἰω. 6, 54.

ἁμαρτία καὶ βλασφημία τοῖς ἀνθρώποις ἀφεθήσεται· ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Πνεύματος ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι.[1]» Νουνεχῶς ἀκούσωμεν καὶ μὴ πλανηθῶμεν. Διττὸν εἶναι τὸν Χριστὸν μετὰ τὴν ἄφραστον ἕνωσιν, φημὶ δὲ ἐκ θεότητος καὶ ἀνθρωπότητος, αἱ ἱεραὶ ἡμῖν διαβοῶσι Γραφαί· «Ὁ» γὰρ «Λόγος σὰρξ ἐγένετο.[2]» Τὴν γοῦν τοῦ Λόγου θεότητα ὁ αὐτὸς Χριστὸς Πνεῦμα ἅγιον ὀνομάζει, καθὰ καὶ πρὸς τὴν Σαμαρεῖτιν ἔλεγε, «Πνεῦμα ὁ Θεός·[3]» τὴν δὲ ἀνθρωπότητα αὐτοῦ Υἱὸν ἀνθρώπου· «Νῦν» γάρ, φησίν, «ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου.[4]» Οἱ οὖν ἀεὶ τῷ Θεῷ προσκρούοντες Ἰουδαῖοι διττὴν πρὸς Χριστὸν τὴν βλασφημίαν ἐκέκτηντο· αἱ μὲν γὰρ τῇ σαρκὶ αὐτοῦ, ἤγουν τῷ Υἱῷ τοῦ ἀνθρώπου προσκόπτοντες, προφήτην αὐτόν ἀλλ' οὐ Θεὸν εἶναι ἐνόμιζον καὶ φάγον αὐτὸν καὶ οἰνοπότην ἐκάλουν[5], οἷς καὶ συγγνώμην ἔδωκεν· ἀρχὴ γὰρ ἦν τοῦ κηρύγματος καὶ οὔπω ἐχώρει ὁ κόσμος Θεὸν πιστεύειν γενόμενον ἄνθρωπον. Διό φησιν ὁ Χριστός, ὅτι «Ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου», ἤγουν τοῦ σώματος αὐτοῦ, «ἀφεθήσεται αὐτῷ.» Τολμῶ γὰρ λέγειν, ὅτι οὐδὲ αὐτοὶ οἱ μακάριοι μαθηταὶ τὸ τέλειον περὶ τῆς αὐτοῦ θεότητος εἶχον φρόνημα, ἕως τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῖς τῇ Πεντηκοστῇ ἐπεφοίτησεν. Ἐπεὶ καὶ μετὰ τὴν ἀνάστασιν ἰδόντες αὐτόν, οἱ μὲν προσεκύνησαν, οἱ δὲ ἐδίστασαν· ἀλλ' οὐκ ἐκ τούτου κατεκρίθησαν. Οἱ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἤγουν εἰς τὴν τοῦ Χριστοῦ θεότητα, βλασφημήσαντες καὶ λέγοντες, ὅτι «Ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια[6]», οὐκ ἀφίενται οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι. Ἐπισημειώσασθαι δὲ χρή, ὅτι οὐκ εἶπεν ὁ Χριστός, Τῷ βλασφημήσαντι καὶ μετανοήσαντι οὐκ ἀφεθήσεται· ἀλλὰ Τῷ βλασφημοῦντι, εἴτ' οὖν ἐπιμένοντι τῇ βλασφημίᾳ. Ἡ γὰρ ἀξιόλογος μετάνοια πάντα λύει τὰ ἁμαρτήματα. Τὸ δὲ μήτε ἐνταῦθα ἀφίεσθαι τῷ εἰς τὸ Πνεῦμα βλασφημήσαντι μήτε ἐν τῷ μέλλοντι, τινὲς ἐξετάζοντές φασι τέσσαρας εἶναι τρόπους δι' ὧν συγχώρησις ἁμαρτημάτων γίνεται· δύο ἐνταῦθα καὶ δύο ἐν τῷ μέλλοντι. Ἐπειδὴ γὰρ οὐκ ἀφικνεῖται ἡ μνήμη ὅλου χρόνου μνημονεύειν τὰ σφάλματα, ἵνα ἐνταῦθα μετανοήσῃ ὁ ἄνθρωπος, ᾠκονόμησε φιλανθρώπως ὁ Κύριος ἡμῶν μὴ μετανοούντων τρόπους μετανοίας ἐν μὲν τῷ μέλλοντι, ὡς εἴρηται, δύο· ὅταν τις ἀδιαφόρως ἀγαθοεργήσας, εἴτε εἰς οἶκτον καὶ συμπάθειαν πρὸς τὸν πλησίον κινηθείς, ἢ ὅσα ἄλλα φιλανθρωπίας ἐχόμενα· ταῦτα ἐν τῷ μέλλοντι αἰῶνι κατὰ τὸν καιρὸν τῆς κρίσεως ζυγοστατούμενα, ἐφ' ἃ τὴν ῥοπὴν ἔχει, συγχώρησις γίνεται. Καὶ οὗτος μὲν ὁ εἷς τρόπος· δεύτερος δὲ οὗτος· ὅταν ταῖς ἁμαρτίαις συνεχόμενος, ἀκούων δὲ τοῦ Κυρίου λέγον-

1. Ματθ. 12, 31-32. 2. Ἰω. 1, 14. 3. Ἰω. 4, 24. 4. Ἰω. 13, 31. 5. Πρβλ. Ματθ. 11, 19. 6. Λουκ. 11, 15.

τος· «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε» φοβούμενος οὐδένα κρίνει ἐν τῇ ἐξετάσει τῶν βεβιωμένων· ὡς φύλαξ τῆς ἐντολῆς οὐ κρίνεται. Τῆς γὰρ αὐτοῦ ἐντολῆς οὐκ ἐπιλήσμων ὁ ἀψευδέστατος. Οἱ δὲ ἕτεροι δύο τρόποι ἐνταῦθα τὴν συγχώρησιν ἔχουσιν· ὅταν τις ἐν ἁμαρτίαις ὤν, οἰκονομεῖται ἐκ τῆς προνοίας ἐν συμφοραῖς, ἐν ἀνάγκαις, ἐν νόσοις· ὡς οὐκ οἶδε γὰρ διὰ τῶν τοιούτων καθαίρει αὐτὸν ὁ Θεός. Καὶ εἰ μὲν εὐχαριστεῖ πειραζόμενος, τὸν ἐπὶ τῇ εὐχαριστίᾳ μισθὸν λαμβάνει· εἰ δὲ ἀχαριστεῖ, δι' ἃς μὲν ἁμαρτίας παιδεύεται, ἐκ τῶν τοιούτων κρίνεται· τὴν δὲ ὑπὲρ τῆς ἀχαριστίας εἰσπράττεται ποινήν. Ἐπεὶ οὖν ἅτινα εἰς ἀνθρώπους τις ἁμαρτάνει, πολλὰς ἔχει προφάσεις συγχωρήσεων· ἁμαρτάνων γάρ τις εἰς ἄνθρωπον, ἄλλον δὲ ἄνθρωπον εὖ ποιῶν, εἰς ἣν φύσιν ἥμαρτεν, αὐτῇ καὶ ἀπελογήσατο. Ἡ δὲ εἰς τὸ Πνεῦμα βλασφημία (ἔτι δὲ ἀπιστία, μὴ ἔχουσα ἑτέραν πρόφασιν συγχωρήσεως, εἰ μὴ τὸ γενέσθαι πιστόν), οὔτε ἐνταῦθα οὔτε ἐν τῷ μέλλοντι ἀφεθήσεται τῆς ἀθεΐας καὶ ἀπιστίας ἡ ἁμαρτία.

Ἀθανασίου Ἀλεξανδρείας,
Περὶ σεληνιαζομένων.

«Κύριε, ἐλέησόν μου τὸν υἱόν, ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει.[1]» Οἱ σεληνιαζόμενοι, οὐχ ὡς τῆς σελήνης παραιτίας γινομένης τῆς αὐτῶν φρενοβλαβείας· οὔτε μὴν ἡ σελήνη ἐκτίσθη εἰς κακοποιίαν, ἢ πρὸς βλάβην τῆς ἀνθρωπίνης φύσεως, ἀλλ' εἰς συνεργίαν καλῶν καὶ ὠφελίμων πραγμάτων. Οὖσα γὰρ κατὰ φύσιν ὑγρά, τοῖς σώμασι τὸν ἥδιστον ὕπνον προξενεῖ, τῆς δὲ νυκτὸς τὸ σκότος παραμυθεῖται, οὖσα γαλακτοφαής· τῷ δὲ ξηρῷ καὶ τῷ θερμῷ τῷ ἡλίῳ ἀντιταλαντεύουσα, τῇ ὑγρότητι καὶ τῇ ψυχρίᾳ πάντα τὰ φυτὰ καὶ τοὺς λειμῶνας καὶ πᾶσαν πόαν καὶ βοτάνην, ὡς μήτηρ γνησία διὰ τῆς νυκτὸς ἐναγκαλιζομένη, ἀναζωπυρεῖ καὶ ἀναθάλλει· ὥστε ὑπὸ τὴν ἕω ὁρᾶσθαι καὶ τὰ δένδρα τοῖς φύλλοις πεπυκνωμένα, τοὺς δὲ λειμῶνας βαστάζοντας ὑπεράνω τῶν ἀνθῶν τὸ μέλι τῆς ἐργασίας τῆς σοφῆς καὶ ἀόκνου μελίσσης, τὴν δὲ πόαν ἀγλαϊζομένην, πᾶσαν δὲ βοτάνην ηὐξημένην ἱλαρῷ προσώπῳ. Ὅθεν καὶ γαλακτοφαής ἐστιν, ὅτι, ὡς μήτηρ τῷ γάλακτι τρέφει τὸ νήπιον, οὕτω καὶ αὕτη τῇ πιότητι καὶ τῇ δρόσῳ μεγαλύνει τὰ σύμπαντα. Οὖσα δὲ ἐν τῷ οὐρανῷ, σημαίνει ἐνιαυτῶν κύκλους, μηνῶν ἐκπληρώσεις, καιρῶν καὶ χρόνων τροπάς, τὸν προσήκοντα καιρὸν τοῦ ἀληθινοῦ καὶ βεβαίου Πάσχα, λεγούσης τῆς Σοφίας, «Ἀπὸ σελήνης σημεῖον ἑορτῆς·[2]» καὶ ὅτι φωστὴρ μειούμενος καὶ αὐξούμενος, «μὴν» τὸ ὄνομα αὐτοῦ ἐστιν. Ἡ βίβλος τῆς Γενέσεως διηγεῖται. «Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω φῶς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, εἰς φαῦσιν ἐπὶ τῆς γῆς καὶ ἀρχὴ τῆς ἡμέρας καὶ τῆς νυκτός· καὶ ἔστω εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς·

---

1. Ματθ. 17, 15. 2. Σοφ. Σειρ. 43, 7.

καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, φαίνειν ἐπὶ τῆς γῆς.[1]» Πάντα δὲ ταῦτα ἠναγκάσθην παραγνῶναι τῇ εὐλαβείᾳ ὑμῶν, ἵνα δείξω ἐξ αὐτῶν τῶν πραγμάτων καὶ τῶν θεοπνεύστων Γραφῶν μὴ εἶναι τὴν σελήνην αἰτίαν φρενοβλαβείας, ἀλλὰ τὸν κακομήχανον καὶ δόλιον διάβολον. Οὗτος γὰρ ὑπάρχει ἐν κακοῖς τεχνίταις· μὴ δυνάμενος ἄλλως πως τὰ κτίσματα ἐκθειάσασθαι, ἢ καταναγκάσαι τοὺς ἀνθρώπους εἰς τὴν εἰδωλοποιίαν, ἐπιτηρεῖ τὴν νεομηνίαν τῆς σελήνης, ἢ ὅταν ἔχῃ ε΄, καὶ τότε ποιεῖ τὸν ἐπιληπτικὸν κράζειν, ἀφρίζειν, βάλλειν ἑαυτὸν κατὰ πυρός, ἢ ὕδατος, ἵνα οἱ γεννήτορες αὐτοῦ, ἢ οἱ ἀδελφοί, ἢ οἱ προσγενεῖς ἀναγκασθήσωνται τῇ σελήνῃ προσκυνῆσαι, νομίσαντες, ὅτι αὕτη ἔπεμψε τὸν δαίμονα τῷ νεανίσκῳ. Ὅθεν καὶ οἱ Ἕλληνες βασίλισσαν αὐτὴν προσαγορεύουσι τοῦ οὐρανοῦ, οὖσαν δουλίδα τῆς νυκτὸς καὶ ὑπηρέτριαν τῆς ἀνθρωπίνης φύσεως· οὐ μέντοι δέσποιναν ἢ ἄρχουσαν. Διὰ τοῦτο καὶ Ἰησοῦς ὁ διάδοχος Μωϋσέως ἐκέλευσεν αὐτοῖς εἰπών· «Στήτω ὁ ἥλιος κατὰ Γαβαὼν καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλώμ[2], ἕως τοὺς πέντε βασιλεῖς τῶν Ἀμορραίων τροπώσομαι.» Ὁ τοίνυν ἐπιτάσσων ἄνθρωπος τῇ σελήνῃ, πῶς οἷόν τέ ἐστι παρ' αὐτοῖς κακοποιεῖσθαι αὐτὸν ἢ δεσποτεύεσθαι; Ἄπαγε οὖν ἀφ' ἑαυτοῦ τὰ μηχανήματα τοῦ ἀποστάτου δράκοντος καὶ τὴν Ἑλληνικὴν πλάνην καὶ δεισιδαιμονίαν.

«Ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν.[3]» Ὁ δὲ Λουκᾶς λέγει· «Ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως[4]», τουτέστι τὴν εἰς Χριστὸν πίστιν, ὡς προοδοποιοῦσαν εἰς τὴν γνῶσιν τῆς ἀληθείας καὶ τῆς διδασκαλίας αὐτοῦ. Ἥντινα κλεῖδα ἦραν ἀπὸ τῶν μελλόντων δι' αὐτῆς εἰσέρχεσθαι.

1. Γεν. 1, 14-15, 2. Ἰησ. Ν. 10, 12. 3. Ματθ. 23, 13. 4. Λουκ. 11, 52.

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΑΠΟΣΠΑΣΜΑΤΑ *

«Καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν.[1]» Οὐ συγγινώσκει δὲ τῷ Ζαχαρίᾳ ὁ ἄγγελος ἀπιστήσαντι δικαίως· διότι εἶχεν ἐκεῖνος εἰς ὑπόδειγμα καὶ ἄλλας στείρας πρὸ αὐτοῦ γενομένας καὶ τεκούσας, ὡς αἱ θεῖαι Γραφαὶ διδάσκουσιν. «Διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ.[2]» Οὐχ ἁπλῶς δὲ «τὸ γεννώμενόν» φησι πρὸς τὴν Παρθένον ὁ ἄγγελος, ἵνα μὴ ἔξωθεν ἐπεισαγόμενον αὐτῇ σῶμα νομισθῇ· ἀλλ' ἐπήγαγεν καὶ τό, «ἐκ σοῦ», ἵνα ἐξ αὐτῆς φύσει τὸ γεννώμενον εἶναι πιστευθῇ. Ἅγιον δὲ κληθησόμενον, οὐχ ὡς ἔνοικον ἔξοντα τὸν Υἱὸν τοῦ Θεοῦ καὶ ἐκ μετοχῆς ἁγιασθησόμενον, ἀλλ' ὡς ὄντα κατὰ φύσιν ἅγιον, τῷ τὸν αὐτὸν Υἱὸν ὑπάρχειν Θεοῦ καὶ ἕνα εἶναι. «Καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου.[3]» Συγγενῆ δὲ τῆς παναγίας Παρθένου τὴν Ἐλισάβετ εἶπεν ὁ ἄγγελος, εἴτε ὡς ἐξ ἑνὸς προπάτορος τοῦ Ἰακὼβ ὑπαρχούσας, εἴτε διὰ τὸ πρὸ τῆς νομοθεσίας λαβεῖν τὸν Ἀαρών, ἐκ τῆς τοῦ Λευῒ φυλῆς ὄντα, γυναῖκα τὴν Ἐλισάβετ, θυγατέρα οὖσαν τοῦ Ἀμιναδάμ, τὴν ἀδελφὴν Ναασσῶν[4], ἐκ τῆς τοῦ Ἰούδα φυλῆς ὑπάρχοντος. Καὶ γὰρ ἐνταῦθα συνήφθη ἡ βασιλικὴ τοῦ Ἰούδα φυλή, ἐξ ἧς ἦν ἡ παναγία Παρθένος, τῇ ἱερατικῇ τοῦ Λευῒ φυλῇ, ἐξ ἧς ὑπῆρχεν ἡ Ἐλισάβετ. Διὸ καὶ παραδόξως ἡ πάνσοφος τοῦ παναγίου Πνεύματος ᾠκονόμησε χάρις καὶ ταύτην τὴν Ζαχαρίου γυναῖκα Ἐλισάβετ προσαγορεύεσθαι, ὥσπερ καὶ τὴν τοῦ Ἀαρών· ὅπως διὰ τοῦ ὀνόματος ἐναργῶς μάθωμεν, ὡς ἐξ ἐκείνης τῆς Ἐλισάβετ ἡ πρὸς τὴν Παρθένον καὶ πρὸς τὴν μητέρα τοῦ προδρόμου Ἐλισάβετ ὑπάρχει συγγένεια.

Εἰποῦσα δὲ ἡ παναγία Παρθένος· «Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου·[5]» τοῦτο ἐδήλωσεν· Πίναξ εἰμί, φησίν, γραφόμενος ὃ βούλεται ὁ γραφεύς. Γραφέτω, ποιείτω ὃ θέλει ὁ τοῦ παντὸς Κύριος. Δεξάμενος δὲ ὁ ἄγγελος τῆς παναγίας Παρθένου τὴν ὁμολογίαν τῆς πίστεως, ἀπῆλθεν ἀπ' αὐτῆς,

«Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.[6]» Ὥσπερ γὰρ τὸ δοξάζειν τὸν Θεὸν οὐκ ἔξωθεν εὔκλειαν αὐτῷ φέρειν παρίστησιν, οὐδὲ τὸ ἁγιά-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne Patrologiae, Cursus Completus, Series Graeca, τ. 27, σελ. 1392 ἐξ.

1. Λουκ. 1, 20. 2. Λουκ. 1, 35. 3. Λουκ. 1, 36. 4. Πρβλ. Ἔξ. 6, 23. 5. Λουκ. 1, 38. 6. Λουκ. 1, 46.

ζειν τὸν Κύριον προστιθέναι αὐτῷ ἁγιότητα σημαίνει, οὕτω καὶ τὸ μεγαλύνειν τὸν Θεὸν οὐκ ἐπίδοσιν μεγέθους προσάγειν αὐτῷ δηλοῖ· ἀλλ' ὁ μεγαλύνων αὐτὸν τοῦ μεγέθους αὐτοῦ μετοχὴν εἰς ἑαυτὸν δέχεται. Ὅθεν εἴρηται· «Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.» Ταῦτα δὲ οὐ δοκεῖ παράδοξα τῷ ἀκριβῶς ἐπισταμένῳ, ὡς ὁ Θεὸς οὐ δέχεται, ἀλλὰ χορηγεῖ τὰ ἀγαθά.

«Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.[1]» Ἀλλ' οἷον τὸ τῆς παρθενίας χρῆμα; Τὰς μὲν γὰρ ἄλλας ἀρετὰς ἀσκῆσαι θέλων ἕκαστος, ὑπὸ τοῦ νόμου ῥυθμίζεται· ἡ δὲ παρθενία, τὸν νόμον ὑπερβᾶσα καὶ μείζονι σκοπῷ τὴν ἀγωγὴν τῆς πολιτείας ἔχουσα, γνώρισμα μέν ἐστι τοῦ μέλλοντος αἰῶνος, εἰκὼν δὲ τῆς τῶν ἀγγέλων καθαρότητος. Πολλὰ μὲν οὖν εἰπεῖν τις ἔχοι περὶ αὐτῆς· ἵνα δὲ μὴ ἐν φανεροῖς ἐνδιατρίβω λέγων, ἓν ἀντὶ πάντων τοῦτ' εἰπών, τῆς ἀρετῆς ταύτης δείξω τὸ μέγεθος. Ὁ γὰρ Δεσπότης τοῦ παντὸς ὁ Θεὸς Λόγος, θέλοντος τοῦ Πατρὸς ἀνεγεῖραι καὶ ἀνακαινίσαι τὰ πάντα, μητέρα τοῦ σώματος οὗ ἔμελλε φορεῖν οὐδένα πλὴν παρθένον ἠθέλησε γενέσθαι καὶ γέγονε· καὶ οὕτως ἡμῖν ἄνθρωπος ἐπεδήμησεν ὁ Κύριος· ἵν' ὥσπερ τὰ πάντα δι' αὐτοῦ ἐγένετο, οὕτω καὶ ἡ παρθενία ἐξ αὐτοῦ γένηται καὶ δι' αὐτοῦ πάλιν εἰς ἀνθρώπους ἡ χάρις αὕτη δοθῇ καὶ αὔξουσα διαμείνῃ. Ὅσον τοίνυν καύχημα παρθένων ἐστὶ τοῦτο καὶ γνώρισμα τῆς ἐν αὐτῷ θεότητος, ἔξεστιν ἐκ τούτου μαθεῖν· Εἰ τῶν ἁγίων μαρτύρων οἱ γονεῖς εἰσι περίβλεπτοι διὰ τὴν τῶν υἱῶν ἀνδρίαν καὶ χαίρει Σάρρα τεκοῦσα τὸν Ἰσαάκ, καὶ μακάριοι ὅσοι ἔχουσιν ἐν Σιὼν σπέρμα καὶ οἰκείους ἐν Ἱερουσαλὴμ [2], ὥς φησιν ὁ προφήτης, πόσον ἄν τις εἴποι τὸ καύχημα τῆς ἁγίας Παρθένου καὶ θεοειδοῦς Μαρίας, ὅτι μήτηρ Λόγου κατὰ τὴν γένεσιν τῆς σαρκὸς γέγονέ τε καὶ χρηματίζει; καὶ γὰρ τὸν θεῖον τόκον τοῦτον στρατιὰ μὲν ἀγγέλων ὕμνησε· γυνὴ δὲ τὴν φωνὴν ἐπάρασα ἔλεγε: «Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε καὶ μαστοὶ οὓς ἐθήλασας.[3]» Καὶ αὐτὴ δὲ ἡ κυριοτόκος Μαρία καὶ ἀειπάρθενος, εἰδυῖα τὸ ἐν αὐτῇ γενόμενον, ἔλεγεν· «Ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.[4]» Ὃ δὲ γέγονε τῇ Μαρίᾳ, τοῦτο πάσαις ταῖς παρθένοις εἰς εὔκλειάν ἐστιν. Αὗται γὰρ ὡς ἀπὸ ῥίζης ἐκείνης λοιπὸν κλάδοι κρέμανται παρθενικαί.

«Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου· Ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται· καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν.[5]» Ὃς οὐχὶ κατὰ τοὺς ἄλλους ἀνθρώπους ἕνεκα τοῦ εἶναι καὶ ὑφεστάναι σάρκα περιβέβληται, ἀλλ' ἕνεκεν τοῦ ἁγιάζειν τὴν σάρ-

1. Λουκ. 1, 48. 2. Ἡσ. 31, 10. 3. Λουκ. 11, 27. 4. Λουκ. 1, 48. 5. Λουκ. 2, 22-24.

κα γέγονεν ἄνθρωπος. Εἰ δὲ καὶ τό, «παραστῆσαι αὐτὸν τῷ Κυρίῳ», περὶ αὐτοῦ τοῦ Κυρίου τις ἐκλάβοι, καὶ οὕτως ἐκπίπτει τοῦ εἰκότος. Πότε γὰρ ἀπεκρύβη ὁ Κύριος ἐκ τῶν ὀφθαλμῶν τοῦ Πατρός, ἵνα μὴ δυνηθῇ ὑπ' αὐτοῦ ὁρᾶσθαι; Ἢ ποῖος τόπος ἔξω τῆς αὐτοῦ δεσποτείας ὑπάρχει, ἵνα ἐκεῖ ὢν μὴ παρῇ τῷ Πατρί, εἰ μὴ εἰς Ἱεροσόλυμα ἀνηνέχθη καὶ εἰς τὸν ναὸν εἰσηνέχθη; Πῶς δὲ καὶ τὰς τυπικὰς θυσίας προσέφερεν, αὐτοῦ ὑπάρχοντος τῆς ἀληθείας; Μήποτ' οὖν οὐ δι' αὐτόν, ἀλλὰ δι' ἡμᾶς ταῦτα γέγραπται; Ὥσπερ γάρ, Θεὸς ὤν, οὐ δι' ἑαυτὸν φύσει ἄνθρωπος ἀτρέπτως γίνεται καὶ σαρκὶ περιτέμνεται καὶ βαπτίζεται καὶ τἄλλα, ἀλλὰ δι' ἡμᾶς, ἵνα ἡμεῖς, ἄνθρωποι ὄντες, θέσει διὰ τῆς χάριτος γενώμεθα θεοὶ καὶ περιτμηθῶμεν πνευματικῶς ἀλλ' οὐ νομικῶς, καὶ τὸν ῥύπον ἀπονιψώμεθα τῆς ἁμαρτίας διὰ τοῦ βαπτίσματος καὶ σταυρωθῶμεν τῷ κόσμῳ καὶ ἀναστῶμεν τῷ Θεῷ· οὕτω κἀνθάδε τὸ περὶ τοῦ καθαρισμοῦ αὐτῶν καὶ τό, «παραστῆσαι αὐτὸν τῷ Κυρίῳ», καὶ περὶ τῶν τυπικῶν θυσιῶν, οὐ δι' αὐτόν, ἀλλὰ δι' ἡμᾶς καὶ γεγένηται καὶ γέγραπται· ἵνα μάθωμεν καθαίρειν καὶ παριστάνειν ἑαυτοὺς τῷ Θεῷ, μυστικῶς προσφέροντες αὐτῷ καὶ πνευματικῶς ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. Καὶ ἡ μὲν τρυγὼν σωφροσύνης καὶ ἡσυχίας σύμβολον· φιλέρημον γὰρ τὸ ζῷον καὶ σωφρονέστατον· ὥστε τοῦ ἄρρενος ἢ τοῦ θήλεος ἀποθνήσκοντος, μηδ' ἕτερον αὐτῶν ἑτέρῳ συζεύγνυσθαι· οἱ δὲ νεοσσοὶ τῶν περιστερῶν ἀκακίας καὶ πραότητος τύπος. Ὅσοι τοίνυν διὰ σωφροσύνης καθαίρουσιν ἑαυτοὺς ἀπὸ σαρκικῶν ἡδονῶν καὶ ἐπιθυμιῶν, καὶ διὰ τῆς ἀκακίας καὶ πραότητος ἀπέχονται θυμοῦ καὶ ὀργῆς, ὄντως καλὰς θυσίας ἐπιφερόμενοι, ὀπτάνονται τῷ Θεῷ καὶ παρίστανται εἰς Ἱερουσαλὴμ τὴν ἐπουράνιον. Οὐδὲν γὰρ οὕτω Θεῷ φίλον ὡς ἀκακία καὶ σωφροσύνη. Ἀμέλει τοσοῦτον ἡμᾶς εἶναι βούλεται σώφρονας, ὡς μηδὲ μέχρις ἐπιθυμίας ἐμβλέπειν γυναικί.[1] Περὶ δὲ τῆς ἀκακίας φησίν· «Ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία[2]», οὐ κατὰ τὴν σωματικὴν ἡλικίαν, ἀλλὰ τὴν ἀκακίαν διὰ τῶν παίδων σημαίνων. Πραότητος δὲ καὶ ταπεινοφροσύνης ἑαυτὸν ὑπόδειγμα τίθησι λέγων· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.[3]» Εἰ δέ τις εἴποι· Διὰ τί δύο καὶ δύο προσφέρεσθαι τὰ εἰρημένα ζῷα ἐκέλευσε, καὶ τὰ μὲν τέλεια, τὰ δὲ νεοσσούς; φημί, ὅτι, τοῦ ἀνθρώπου διπλοῦ ὄντος, τουτέστιν ἐκ ψυχῆς καὶ σώματος, διπλῆν ζητεῖ παρ' ἡμῶν ὁ Θεὸς τήν τε σωφροσύνην καὶ τὴν πραότητα. Εἰ γὰρ κατὰ μὲν τὸ σῶμα ἀπέχομαι σαρκικῶν ἡδονῶν, κατὰ δὲ τὴν ψυχὴν πρὸς ἐπιθυμίαν τούτων κινοῦμαι, οὐκ εἰμὶ σώφρων, ἀλλὰ μοιχός. Ὁ γὰρ ἐμβλέψας, φησί, πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ.[4] Καὶ αὖθις ὁ κατὰ τὸ φαινόμενον δοκῶν εἶναι πρᾶος, κατὰ δὲ τὴν ψυχὴν κινούμενος πρὸς θυμόν, οὐκ ἔστιν ἄκακος, ἀλλ' ὑποκριτὴς

---

1. Πρβλ. Ματθ. 5, 28. 2. Ματθ. 18, 3. 3. Ματθ. 11, 29. 4. Πρβλ. Ματθ. 5, 28.

καὶ μηνιαστής, ἔχων τῆς κεκρυμμένης κακίας τὸ ἐπικάλυμμα τὴν φαινομένην καὶ δοκοῦσαν εἶναι ἀκακίαν· οὓς ὁ προφήτης αἰνιττόμενος λέγει· «Τῷ στόματι αὐτῶν εὐλόγουν καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο·[1]» καὶ αὖθις· «Τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.[2]» Τῷ δὲ τὰ μὲν τέλεια, τὰ δὲ νεοσσοὺς προσάγεσθαι προστάσσειν, δηλοῖ τὸ τὴν μὲν φρόνησιν καὶ σωφροσύνην τελείους ἡμᾶς δεῖ εἶναι· τῇ δὲ κακίᾳ νηπιάζειν, καθὼς φησιν ὁ Ἀπόστολος. Ἀλλ' ἴδωμεν ἐπὶ τίσι καὶ ποῦ καὶ πότε εἴρηται, ὅτι «Πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον Κυρίῳ κληθήσεται·» καὶ τί τοῦ νόμου τὸ αἴνιγμα.

Εἰς τό· «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Κύριε, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ.[3]» Οὐκοῦν καταφρονήσωμεν τὸν θάνατον· κἂν γὰρ δειλιάσωμεν αὐτόν, ἀλλὰ τεθνηξόμεθα πάντως κατὰ τοὺς ὁρισθέντας ἡμῖν παρὰ τῆς Προνοίας χρόνους. Βέλτιον αὐτὸν μετὰ τῆς ἀρετῆς ἐκδέχεσθαι ὡς ἀπαιτούμενον, ἢ μόνον ἀκλεῶς ἀποδοῦναι. Ὁ μὲν γὰρ ἐν θεοσεβείᾳ τελευτῶν οὐδὲ ἀποθνήσκων ἐστίν· ὁ δὲ τῷ χρόνῳ μόνον ἀπαιτούμενος, ὡς ἑαυτῷ ζήσας, ἀνάγκην ἔχει καὶ τοῦ χρόνου λόγους ἀποδοῦναι καὶ μὴ ἀποδοὺς ἀκοῦσαι· «Ἀπέλαβες τὰ ἀγαθὰ ἐν τῇ ζωῇ σου, νῦν δὲ ὧδε ὀδυνᾶσαι.[4]» Ἀνδριστέον τοίνυν, ὡς παρήγγειλεν ὁ Ἀπόστολος[5], ὥστε νεκροῦν ἤδη τὰ μέλη τὰ ἐπὶ τῆς γῆς[6], καὶ παρασκευαστέον εἰς τὴν ἔξοδον τὰ ἔργα· ἵνα, κἂν φθάσῃ τοῦ χρόνου τὸ τέλος, ἢ κληθῶμεν παρὰ τοῦ Σωτῆρος, εἴπωμεν καὶ ἡμεῖς· «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα·» ἂν δὲ καὶ αὐτὸς ὁ Κύριος ἔλθῃ, ἵνα εὕρῃ γρηγοροῦντας ἡμᾶς καὶ μὴ κοιμωμένους αἰτιάσηται λέγων· «Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι.[7]» Ὕπνος δὲ ψυχῆς ἐστιν ἡ ἀμέλεια καὶ ἡ ἀμνηστία τοῦ θανάτου.

«Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου. Καὶ ἀνέκραξε φωνῇ μεγάλῃ, λέγων· Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; Ἦλθες ἀπολέσαι ἡμᾶς. Οἴδαμέν σε τίς εἶ, ὁ Ἅγιος τοῦ Θεοῦ.[8]» Ὅ γε μὴν δαίμων ὁ εἰπών, «Οἴδαμέν σε», οὐκ ᾔδει αὐτὸν ἀληθῶς· ἀλλὰ τοῖς ῥήμασιν ὑπεκρίνετο. Καίτοι δὲ τἀληθῆ λέγοντα, ἀληθῆ γὰρ ἔλεγε, «Σύ εἶ ὁ Ἅγιος τοῦ Θεοῦ», ἐφίμου καὶ λαλεῖν ἐκώλυε· μήποτε μετὰ τῆς ἀληθείας καὶ τὴν ἰδίαν κακίαν ἐπισπείρῃ καὶ ἵνα καὶ ἡμᾶς συνεθίσῃ μηδέποτε τοῖς τοιούτοις προσέχειν, κἂν δοκῶσι τἀληθῆ λέγειν. Καὶ γὰρ ἀπρεπές, ἔχοντας ἡμᾶς τὰς θείας Γραφὰς καὶ τὴν παρὰ τοῦ Σωτῆρος ἐλευθερίαν, διδάσκεσθαι ὑπὸ τοῦ διαβόλου τοῦ μὴ τηρήσαντος τὴν ἰδίαν τάξιν, ἀλλ' ἕτερα ἀνθ' ἑτέρων φρο-

1. Ψαλμ. 61, 5. 2. Ψαλμ. 27, 3. 3. Λουκ. 2, 29. 4. Λουκ. 16,25. 5. Πρβλ. Α' Κορ. 16, 13. 6. Πρβλ. Κολ. 3, 5. 7. Μάρκ. 14, 37. 8. Λουκ. 4, 33-34.

νήσαντος. Διὰ τοῦτο καὶ λαλοῦντα αὐτὸν τὰς ἀπὸ τῶν Γραφῶν λέξεις κωλύει λέγων· «Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; [1]» Οἱ μὲν οὖν πιστοὶ δύνανται παρ' αὐτῆς τε τῆς πατρικῆς φωνῆς λεγούσης, «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός [2]», καὶ παρὰ τῶν προσκυνούντων αὐτὸν ἀγγέλων, καὶ τῶν περὶ αὐτοῦ γραψάντων ἁγίων μαθεῖν, ὅτι αὐτὸς μόνος ἐστὶν ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ. Ἀρειανοὶ δὲ ἐπεὶ τὴν διάνοιαν οὐκ ἔχουσι καθαράν, οὐδὲ δύνανται θείων ὑπακούειν καὶ θεολόγων ἀνδρῶν, παρὰ γοῦν τῶν ὁμοίων αὐτοῖς δαιμόνων μαθέτωσαν, ὅτι μὴ ὡς πολλῶν ὄντων ἀνεφώνουν, ἀλλὰ τοῦτον μόνον εἰδότες ἔλεγον· «Σύ εἶ ὁ Ἅγιος τοῦ Θεοῦ καὶ ὁ Υἱὸς τοῦ Θεοῦ.» Καὶ γὰρ ὁ τὴν αἵρεσιν αὐτοῖς ὑποβαλὼν οὐκ ἔλεγε, «Σὺ εἶ Ἅγιος τοῦ Θεοῦ», ὡς μόνου ὄντος αὐτοῦ. Καλὴ οὖν καὶ ἡ τοῦ ἄρθρου προσθήκη· εἷς γάρ ἐστιν ὁ φύσει ἅγιος οὐ κατὰ μέθεξιν καὶ οἱ ἄλλοι ἅγιοι. Οὕτω καὶ αὐτοὶ πολλάκις οἱ ἐργάται τοῦ ψεύδους, ὑπὸ τῆς ἐναργείας ἀναγκαζόμενοι, μαρτυροῦσι τῇ ἀληθείᾳ καὶ μὴ βουλόμενοι· ἐπεὶ καὶ οἱ δαίμονες οὐχὶ τῶν εὐαγγελιστῶν ἐποίουν ἔργον, ἀλλ' ἀντιβλέπειν μὴ δυνάμενοι τῷ τῆς ἀληθείας φωτί, ἐβόων· «Οἴδαμέν σε τίς εἶ, ὁ Ἅγιος τοῦ Θεοῦ.»

«Ὁ δὲ Ἰησοῦς, ἀκούσας, ἀπεκρίθη αὐτῷ λέγων· Μὴ φοβοῦ· μόνον πίστευε καὶ σωθήσεται.[3]» Πίστιν γε ἀπαιτεῖ πρῶτον τοὺς ἐπικαλουμένους αὐτὸν ὁ Κύριος· ὡς ἐπὶ τοῦ τυφλοῦ λέγων· «Πιστεύεις, ὅτι δύναμαί σοι τοῦτο ποιῆσαι; [4]» καὶ ἐπὶ τοῦ σεληνιαζομένου δέ φησιν, ὅτι «Ἐὰν πιστεύῃς, γίνεται.[5]» Ἀπαιτεῖ δὲ τοῦτο ὁ Σωτήρ, οὐκ ἐπειδήπερ ἔχρῃζε τῆς παρ' ἑτέρων συνεργίας· αὐτὸς γὰρ καὶ τῆς πίστεως κύριος καὶ χορηγός ἐστιν· ἀλλ' ἵνα μὴ ὡς προσώποις χαριζόμενος φανῇ, ἀλλ' ὅτι τοῖς πιστεύουσιν ἐπινεύει καὶ ἵνα μὴ χωρὶς πίστεως δέξωνται τὰς εὐεργεσίας καὶ τῇ ἀπιστίᾳ ταύτας ἀπολέσωσι. Θέλει γὰρ χαριζόμενος παραμένειν τὴν χάριν καὶ θεραπεύων ἀδιάπτωτον εἶναι τὴν θεραπείαν. Ἠσφαλίζετο γοῦν τὸν παραλυτικὸν λέγων· «Ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε.[6]» Καὶ ὥσπερ ἄν τις ἰατρὸς εἰσιὼν πρὸς τοὺς κάμνοντας πυνθάνοιτο πρῶτον, εἰ βούλοιντο θεραπεύεσθαι, ἵνα μή, αὐτοῦ φροντίζοντος, κἀκείνων μὴ βουλομένων, ἀνωφελὴς ἡ θεραπεία γένηται, ἐναντιουμένων τῶν καμνόντων πρὸς τὴν τοῦ ἰατροῦ τέχνην· οὕτω καὶ ὁ Κύριος τῶν θεραπευομένων ἐπυνθάνετο καὶ τοῖς πιστεύουσιν ἐχαρίζετο, ἵνα τῇ πίστει καὶ τὴν χάριν κατασχεῖν δυνηθῶσι· γνώρισμα γὰρ τῆς προαιρέσεως τῆς ψυχῆς ἡ πίστις ἐστί. Καὶ νῦν οὖν φησι· «Μόνον πίστευε καὶ σωθήσεται.»

«Ἐγένετο δέ, πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ, εἶπέ τις πρὸς αὐτόν· Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ, Κύριε. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκη-

1. Ψαλμ. 49, 16. 2. Ματθ. 3, 17. 17, 5. 3. Λουκ. 8, 50. 4. Ματθ. 9, 28. 5. Πρβλ. Μάρκ. 9, 22. 6. Ἰω. 5, 14.

νώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.[1]» Διὸ καὶ τὸν γραμματέα τοῦτον ἐπαγγελλόμενον ἀκολουθήσειν αὐτῷ, καὶ τῷ μὲν ῥήματι βοῶντα, τῇ δὲ διανοίᾳ μὴ σχολάζοντα, ἀλλ' ἐν ἑτέροις ἀφελκόμενον ὁρῶν ὁ Κύριος, ἐδυσώπει διὰ τοῦ ἐλέγχου· καὶ οὔτε ὡς ἀποτρεπόμενος τοῦτον ἐδίωκεν, οὔτε ὡς ἀγνοῶν ἐπλανᾶτο ὑπὸ τῶν τούτου ῥημάτων· ἀλλὰ καὶ ὡς εἰδὼς ἤλεγχε καὶ ὡς παιδεύων διωρθοῦτο. Μονονουχὶ γὰρ τοῦτο λέγων ἐδίδασκεν, ὡς ἄρα οὐδεὶς δύναται τῷ Λόγῳ ἀκολουθεῖν ἀναπαυόμενος ἐν ἀλόγοις, οὐδὲ τῶν ἀλόγων ὁ φίλος δύναται τὸν Λόγον δέχεσθαι, οὐδὲ ὁ τὰ ἄλογα φανταζόμενος δύναται τοῦ Λόγου μεταλαμβάνειν ἔννοιαν. Ἀμέλει ἐκ τῆς τόλμης τὸ γνώρισμα τῆς προπετείας καὶ ἀπαιδευσίας ἔξεστιν αὐτοῦ καταμαθεῖν. Εἰ γὰρ ἠπίστατο τοῦ Λόγου τὴν δύναμιν, οὐκ ἂν ὅλως φαντασίαν εἰλήφει πνευματικοῦ Λόγου, οὐκ ἂν ἄνθρωπος ὢν ἐξισοῦν ἑαυτὸν ἐτόλμα τῇ τοῦ Σωτῆρος ἀκαταλήπτῳ δυνάμει λέγων· «Ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ.» Ἀκολουθεῖν μὲν γὰρ ἁπλούστερον τῷ Σωτῆρι πρὸς τὸ τῆς διδασκαλίας αὐτοῦ ἀκούειν δυνατὸν τῇ ἀνθρωπίνῃ φύσει καὶ τοῦτο κατὰ τὴν αὐτοῦ φιλανθρωπίαν· συνεκτείνεσθαι δὲ καὶ συντρέχειν αὐτῷ πανταχοῦ, τοῦτο καὶ ἀδύνατον καὶ τολμηρὸν τῷ ἐπαγγελλομένῳ. Οὔτε γὰρ ἀναπαυομένῳ αὐτῷ παρὰ τῷ Πατρὶ συνεῖναι δυνάμεθα· πῶς γάρ, ἄλλης φύσεως τυγχάνοντες; οὔτε πανταχοῦ αὐτῷ ὄντι συνδραμεῖν οἷόν τε. Ὁ μὲν γὰρ ἀχώρητος, οἱ δὲ χωρητοί· καὶ ὁ μὲν ἐν τῷ παντὶ καὶ ἔξω τοῦ παντός ἐστιν, οἱ δὲ ἐν τῷ παντὶ μεμετρημένην ἔχομεν τὴν σύστασιν· καὶ ὁ μὲν Κύριος ἀκινήτως καὶ ἀμεταβάτως κινεῖ τὰ πανταχοῦ καὶ τὰ ὅλα διοικεῖ· ἄνθρωποι δέ, μεταβαίνοντες ἀφ' οὗ κινούμεθα, λειπόμεθα τῇ ἀπολείψει τοῦ τόπου πρὸς τὴν ἀμετάβατον πανταχοῦ τῆς θεότητος αὐτοῦ παρουσίαν. Ἀλλ' ὁ Κύριος κατ' ἀμφότερα τοῦτον διορθοῦται καὶ τὸ μὲν ἀνέτοιμον τῆς προθέσεως διελέγχει, τὴν δὲ τῆς θεότητος αὐτοῦ μεγαλειότητα παιδεύει, λέγων· «Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι», καὶ τὰ ἑξῆς. Ἴσον δὲ τούτῳ εἰπεῖν ἐστι, τὰ μὲν γενητὰ πάντα χωρητὰ τυγχάνει, καὶ τόποις διΐσταται, ὁ δὲ Λόγος ὁ τοῦ Θεοῦ ἀχώρητον ἔχει τὴν δύναμιν· ὥστε τοῦ μὲν λέγειν, ὅτι «Ὅπου ἐὰν ἀπέρχῃ ἀκολουθήσω σοι», παῦσαι· εἰ δὲ μαθητεύεσθαι θέλεις, ἀπόστα τῶν ἀλόγων, οἰκειώθητι δὲ τῷ Λόγῳ· ἀδύνατον γὰρ τὸν «ἀλογίᾳ» συνόντα Λόγου γενέσθαι μαθητήν.

«Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ; Ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.[2]» Τοῦτο οὖν σκόπει, πᾶς τις ὁ τοῖς ῥηθεῖσιν ἀμφισβητῶν, ὅτιπερ ἕκαστος τῶν ἀνθρώπων ὁ μικρὰν ζύμην ἀρετῆς κτησάμενος, μὴ πεφθακὼς δὲ ταύτην ἀρτοποιῆσαι· ἀλλὰ βουληθεὶς μέν, μὴ δυνηθεὶς δὲ τοῦτο, ἢ ῥαθυμίας ἢ ἀμελείας ἢ ἀνανδρίας ἕνεκα καὶ τῆς ἐξ ἡμέρας εἰς ἡμέραν ἀναβολῆς· ἐπιφθασθεὶς δὲ καὶ θερισθεὶς παρ' ἐλπίδα, οὗτος οὐκ ἐπιλη-

1. Λουκ. 9, 57-58. 2. Λουκ. 13, 21.

σθήσεται παρὰ τοῦ δικαίου κριτοῦ· ἀλλ' ἐγερεῖ αὐτῷ μετὰ θάνατον
τοὺς οἰκείους καὶ τούτων τὰς γνώμας ἰθυνεῖ καὶ τὰς καρδίας ἑλκύσει
καὶ τὰς ψυχὰς ἐπικάμψει καὶ πρὸς ἀρωγὴν καὶ βοήθειαν τούτου σπεύ-
σουσι κινηθέντες. Ὅθεν καὶ ἁψαμένου τοῦ Δεσπότου τῶν καρδιῶν
αὐτῶν, ἀναπληρώσουσι τοῦ δεχομένου τὰ ὑστερήματα. Ὁ δέ γε βίον
πονηρὸν κεκτημένος, συμπεφυρμένος ὅλον ἀκάνθαις, πλήρη τε ὑλῶν
ὄντα τῶν ἀκαθάρτων, ὃς οὐδέποτε ἐν συνειδήσει ἦλθεν, ἀλλ' ἀδεῶς
καὶ ἀδιαφόρως ταῖς τῶν ἡδονῶν ἐνέκειτο δυσωδίαις, πράττων ἁπά-
σας τὰς τῆς σαρκὸς ὀρέξεις καὶ μηδὲν ὅλως περὶ ψυχῆς φροντίζων,
ἔχων τε τὸ φρόνημα σαρκικὸν ἅπαν· εἶθ' οὕτω φθασθείς, ἐκδημήσει 1
τοῦ βίου, τούτῳ παντελῶς οὐδεὶς ὀρέξει χεῖρα· ἀλλ' οὕτω πάντα
τὰ κατ' αὐτὸν διαπραχθήσεται, ὡς μήτε ὑπὸ συνεύνου, ἢ τέκνων,
ἢ ἀδελφῶν, ἢ συγγενῶν, ἢ φίλων ἐπικουρηθῆναι τὸ σύνολον· ὅτι μηδὲ
ἔχει Θεὸς ἐν μέτρῳ τοῦτον.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΑΘΑΝΑΣΙΟΥ
ΡΗΣΕΙΣ ΚΑΙ ΕΡΜΗΝΕΙΑΙ ΠΑΡΑΒΟΛΩΝ ΤΟΥ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΟΥ *

Ἐρώτησις α΄. «Ἀπέλθετε εἰς τὴν ἀπέναντι κώμην [1]», καὶ εὑρήσετε ἄνθρωπον κεράμιον ὕδατος βαστάζοντα.»

Τίς ἡ πόλις; Ἐκκλησία. Τί τὸ κεράμιον τοῦ ὕδατος; Τὸ ἅγιον βάπτισμα. Τίς ὁ ἄνθρωπος; Ὁ Πρόδρομος. Τί τὸ ἀνώγεον; Ἡ βασιλεία τῶν οὐρανῶν.

Ἐρώτ. β΄. «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ.[2]»

Τίς ὁ βασιλεύς; ὁ Θεός. Τίς ὁ ὀφειλέτης τῶν μυρίων ταλάντων; Ὁ ἄνθρωπος ὁ ἐν πολλαῖς ἁμαρτίαις τῆς τοῦ Θεοῦ μακροθυμίας ἀπολαβών. Τίς ὁ τὰ ἑκατὸν δηνάρια; Ὁ ὑποχείριος τοῦ χρεωστοῦντος τὰ μυρία τάλαντα· καὶ αὐτὸς μὲν ἔτυχε μακροθυμίας, οὗτος δὲ ἐφάνη ὠμὸς καὶ σκληρὸς πρὸς τὸν ὁμόδουλον αὐτοῦ.

Ἑτέρα παραβολὴ γ΄. «Ἄνθρωπός τις εἶχε δύο τέκνα καὶ εἶπε τῷ ἑνί. Ἄπελθε εἰς τὸν ἀμπελῶνα· καὶ εἶπε καὶ τῷ ἑτέρῳ· καὶ εἶπεν· Ὑπάγω, καὶ οὐκ ἀπῆλθεν.[3]»

Τίς ὁ ἄνθρωπος; Ὁ Θεός. Τίς ὁ εἰπών, Ὑπάγω, καὶ οὐκ ἀπῆλθεν; οἱ Ἰουδαῖοι. Τίς ὁ εἰπών, Οὐχ ὑπάγω, καὶ ἀπῆλθεν; Ὁ ἐξ ἐθνῶν λαός.

Ἄλλη παραβ. δ΄. «Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα.[4]» Τίς ὁ ἄνθρωπος; Ὁ Ἰούδας καὶ οἱ κατ' αὐτὸν πλεονέκται καὶ φιλάργυροι.

Ἑτέρα ε΄. «Ἀπέλθετε εἰς τὴν ἀπέναντι κώμην καὶ εὑρήσετε ὄνον καὶ πῶλον δεδεμένην.[5]» Τίς ἡ κώμη; Ὁ κόσμος. Ὄνος δὲ οἱ Ἰουδαῖοι· πῶλος οἱ Χριστιανοί. Ὁ δήσας; Νόμος ὁ Μωσαϊκός. Ὁ λύσας; ὁ Χριστός. Πῶλος γάρ ἐστι τῶν ἐθνῶν ἡ ἀλογία καὶ ἡ ἀγνωσία.

Ἄλλη ς΄. «Ἀπέλθετε εἰς τὴν ἀπέναντι κώμην πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ· Ὁ Διδάσκαλος λέγει· Πρὸς σὲ ποιῶ τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου.[6]» Τίς ἡ πόλις; Ὁ Ἅδης. Ὁ δεῖνα; Ὁ Ἀδάμ· ἔμελλε γὰρ ἐγεῖραι αὐτὸν ἐκ νεκρῶν.

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 28, σ. 712-773.

1. Πρβλ. Μάρκ. 11, 2. 2. Ματθ. 18, 23. 3. Ματθ. 21, 28-29. 4. Λουκ. 12, 16. 5. Ματθ. 21, 2. 6. Ματθ. 26, 18.

Ἑτέρα ἐρώτ. ζ'. «Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται.[1]»

Ἀπόκ. Ῥίζα ἐστὶν ἡ πίστις· τὸ δένδρον, ὁ ἄνθρωπος· ἡ ἀξίνη, τὸ τοῦ ἀνθρώπου τέλος.

Ἑτέρα η'. «Ἄνθρωπός τις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν.[2]» Τίς ὁ ἄνθρωπος; Ὁ ἅγιος Πέτρος· πέτρα, ὁ Χριστός· οἰκία, ἡ πίστις· ἄνεμος ὁ διάβολος. Ὁ δὲ ἐπὶ τὴν ἄμμον οἰκοδομήσας Ἰούδας· ἄμμος γάρ ἐστιν ἡ ἀκαρπία.

Ἄλλη θ'. «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ [3]», ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ.» Τίς ὁ βασιλεύς; ὁ Θεός. Τίς ὁ υἱός; ὁ Χριστός. Τίνες οἱ κεκλημένοι; προφῆται καὶ ἀπόστολοι. Τίνες οἱ ἀπαιτήσαντες; οἱ Ἰουδαῖοι. Τίνες οἱ παραγενόμενοι; οἱ ἐξ ἐθνῶν. Τίς ὁ μὴ ἔχων ἔνδυμα γάμου; ὁ Ἰούδας καὶ οἱ κατ' αὐτὸν ἀναξίως ἐπιπηδῶντες εἰς τὰ ἅγια.

Ἄλλη ι'. «Εἶπεν ὁ Κύριος πρὸς τὸν Πέτρον· Ἄπελθε εἰς τὴν θάλασσαν καὶ βάλε ἄγκιστρον καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα. Τοῦτον δὸς ἀντὶ ἐμοῦ καὶ σοῦ.[4]» Τίς ἡ θάλασσα; ὁ κόσμος. Τί τὸ ἄγκιστρον; ὁ λόγος τοῦ Θεοῦ. Ἰχθὺς ὁ Χριστός. Στατὴρ ὁ σταυρὸς τοῦ Κυρίου, ἐν ᾧ ἔμελλε κἀκεῖνος σταυρωθῆναι καὶ ὁ Πέτρος.

Ἑτέρα ια'. «Ἄνθρωπός τις εἶχε δύο υἱούς, καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· Πάτερ, δός μοι.[5]» Τίς ὁ ἄνθρωπος; ὁ Θεός. Οἱ δύο υἱοί; οἱ δίκαιοι καὶ οἱ ἁμαρτωλοί. Νεώτερος υἱὸς ὁ τὴν γνώμην ἄστατον ἔχων. Τὸ ἐπιβάλλον μέρος, τὰ λόγια τοῦ Θεοῦ καὶ αἱ ἐντολαὶ αὐτοῦ.

Ἄλλη ιβ'. «Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακράν, τοῦ λαβεῖν βασιλείαν.[6]» Ἄνθρωπος, ὁ Θεός· χώρα μακρὰ ἡ ἐπὶ γῆς παρουσία αὐτοῦ· βασιλεία ἡ δευτέρα παρουσία· οἱ δοῦλοι οἱ προφῆται, οἱ ἀπόστολοι καὶ οἱ μάρτυρες. Ἡ δὲ μνᾶ ἐστιν ἡ χάρις, ἣν ἔλαβεν Ἰούδας, ὁμοίως καὶ τὸ τάλαντον.

Ἄλλη ιγ'. «Ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκεν.[7]» Ἄνθρωπος ὁ Θεός· ἀμπελὼν ὁ κόσμος· ἡ ληνὸς τὸ βάπτισμα· ὁ πύργος ἡ πίστις· οἱ γεωργοὶ οἱ Ἰουδαῖοι· οἱ δοῦλοι προφῆται, ἀπόστολοι καὶ μάρτυρες. Καὶ ἀπέστειλεν αὐτοὺς κηρύξαι καὶ ἀπέκτειναν αὐτούς· ὡσαύτως καὶ τὸν μονογενῆ Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ καὶ ἐπήρθη ἐξ αὐτῶν ἡ βασιλεία καὶ ἐδόθη Ῥωμαίοις, τοῖς ποιοῦσι τοὺς καρποὺς αὐτῆς. Αὐτοὶ δὲ κακοὶ κακῶς ἀπώλοντο διὰ τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν.

Ἄλλη ιδ'. «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ.[8]» Ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ Θεοῦ· ὁ περιπεσὼν εἰς τὴν ἄκανθαν ὁ

1. Ματθ. 3, 10. 2. Ματθ. 7, 24. 3. Ματθ. 18, 23. 4. Ματθ. 17, 27. 5. Λουκ. 15, 12. 6. Λουκ. 19, 12. 7. Ματθ. 21, 33. 8. Ματθ. 13, 3.

Ἰούδας· ἀπελθὼν γὰρ ἀπήγξατο καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγον αὐτόν· τὸ δὲ ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν οἱ προφῆται καὶ ἀπόστολοι.

Ἄλλη ιε΄. «Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ καὶ λησταῖς περιέπεσεν.[1]» Ἄνθρωπος ὁ Ἀδάμ· Ἱερουσαλὴμ ὁ παράδεισος· Ἱεριχὼ ὁ κόσμος· λησταὶ οἱ πονηροὶ λογισμοὶ καὶ ἡ παράβασις· ἱερεὺς οἱ προφῆται· Λευΐτης ὁ Μωσαϊκὸς νόμος· Σαμαρείτης ὁ Χριστός· ἔλαιον καὶ οἶνος τὸ τίμιον σῶμα καὶ αἷμα καὶ τὸ ἅγιον βάπτισμα· τὸ δὲ πανδοχεῖον ἡ Ἐκκλησία· ὁ πανδοχεὺς ὁ ἅγιος Παῦλος· τὰ δύο δηνάρια, ἡ Παλαιὰ καὶ ἡ Νέα Διαθήκη.

Ἄλλη ις΄. «Ἄνθρωπός τις ἐξῆλθε πρωῒ μισθώσασθαι ἐργάτας.[2]» Ἄνθρωπος ὁ Θεός· ἀμπελὼν ὁ κόσμος· ἐργάται οἱ ἀπόστολοι. Οἱ δὲ περὶ τὴν ἑνδεκάτην ὥραν ἐλθόντες Ματθίας ἐστίν, ὃς καὶ κατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

Ἑτέρα ιζ΄. «Γυνή τις εἶχε δραχμὴν καὶ ἀπώλεσεν αὐτήν.[3]» Τίς ἡ γυνή; ἡ Ἐκκλησία. Τίς ἡ δραχμή; ὁ Ἀδάμ.

Ἄλλη ιη΄. «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν ἀγρῷ.[4]» Τίς ὁ θησαυρός; ὁ Χριστός. Τίνες οἱ ἀγοράσαντες; ὁ Ἰωσὴφ καὶ Νικόδημος, μᾶλλον δὲ ἡ ἁγία Θεοτόκος.

Ἐρώτ. ιθ΄. «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία.[5]» Τίς ζύμη; ἡ πίστις. Τὰ δὲ τρία ἀλεύρου σάτα; ἡ τριήμερος τοῦ Σωτῆρος ἀνάστασις.

Ἐρώτ. κ΄. Διὰ τί γεννήματα ἐχιδνῶν τοὺς Ἰουδαίους ὁ Βαπτιστὴς καλεῖ;[6]

Ἀπόκ. Ἐπειδὴ τὸ θηρίον τοῦτο τρώγει τὴν γαστέρα τῆς μητρὸς αὐτοῦ καὶ οὕτως ἐξέρχεται· ὥσπερ καὶ οὗτοι ἐποίησαν, πατραλοῖαι γενόμενοι, καὶ τοὺς διδασκάλους αὐτῶν καὶ τοὺς προφήτας φθόνῳ καταναλίσκοντες. Καὶ γὰρ τὸν Μωϋσέα ἐλίθασαν[7], τὸν δὲ Ἡσαΐαν μετὰ ξυλίνου πρίονος ἐδιχοτόμησαν πρίσαντες αὐτόν.

Ἐρώτ. κα΄. Τίνος χάριν παραδοθέντος τοῦ Ἰωάννου, ἀνεχώρησεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν;[8]

Ἀποκ. Ἡμᾶς παιδεύων φεύγειν τοὺς πειρασμούς, ἀλλὰ τοὺς ἐμπεσόντας στῆναι γενναίως.

Ἐρώτ. κβ΄. Τί ἥμαρτεν ἡ συκῆ, ὅτι ἐξήρανεν αὐτὴν ὁ Χριστός;[9] καὶ διὰ ποίαν ὑπόθεσιν; καὶ τίνα τρόπον;

Ἀπόκ. Ἐπεὶ ἔμελλεν ὁ Κύριος τὸ πάθος ὑφίστασθαι, ἵνα μὴ νομίσωσιν οἱ μαθηταί, ὅτι ἀδυναμίαν ἔχει καὶ ἀσθένειαν καὶ διὰ τοῦτο πάσχει, ἐν τῷ ἀψύχῳ δείκνυσι τὴν δύναμιν ἑαυτοῦ· ἵνα δείξῃ, ὅτι ἠδύνατο πάντας ξηρᾶναι τοὺς ἀντιλέγοντας. Ἀλλ' ἐπειδὴ οὐκ ἦλθε κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι, ὡς αὐτὸς ἔφησε[10], τὴν μὲν δύναμιν

---

1. Λουκ. 10, 30. 2. Ματθ. 20, 1. 3. Λουκ. 15, 8. 4. Ματθ. 13, 44. 5. Ματθ. 13, 33. 6. Πρβλ. Ματθ. 3, 7. 7. Πρβλ. Ἀριθ. 14, 10. 8. Πρβλ. Ματθ. 14, 13. 9. Πρβλ. Μάρκ. 11, 13-14. 10. Πρβλ. Ἰω. 3, 17.

ἐνδείκνυται ἐπὶ τῆς ἀψύχου συκῆς, τὴν φιλανθρωπίαν δὲ ταμιεύεται τοῖς ἀνθρώποις ἀμέτρῳ ἀνεξικακίᾳ. Λέγεται δὲ καὶ ἡ ἁμαρτία συκῆ, ἣν κατηράσατο καὶ ἐξήρανε Χριστὸς ὁ Θεὸς ἡμῶν. Ἔστι δὲ καὶ τοῦτο, διότι ἔλαβε τῆς συκῆς τὰ φύλλα ὁ Ἀδὰμ καὶ ἐσκέπασε τὴν ἁμαρτίαν τῆς αἰσχύνης μετὰ τὴν παράβασιν·[1] καταλύσας τὸ ἁμάρτημα τῆς παραβάσεως καὶ προσηλώσας καὶ ἐξαλείψας ἐν τῷ σταυρῷ, ἐξήρανε τὸ κάλυμμα τῆς ἁμαρτίας, ὡς τὰ φύλλα τῆς συκῆς, ἃ περιεβέβλητο ὁ Ἀδὰμ μετὰ τὴν παρακοήν.

Ἐρώτ. κγ'. Τί λέγει, ὅτι «Πέντε ἄνδρας ἔσχες καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ;[2]»

Ἀπόκ. Ἡ γυνὴ ἔσχεν ἄνδρας κατὰ τὸν νόμον τῶν Σαμαρειτῶν· ἐτελεύτησαν, μετ' ἐκείνους ἐπόρνευσεν· οὐδεὶς γὰρ πρὸς αὐτὴν ὡς νόμιμον γυναῖκα προσεγγίζειν ἠβούλετο. Ἐκείνη δὲ μὴ φέρουσα χαλινῶσαι τὴν ἐπιθυμίαν, λαθραίως εἶχε τὸν πορνεύοντα μετ' αὐτῆς καὶ οὐκ ἦν οὔτε περιφανὴς οὔτε νόμιμος. Εἶχε δὲ αὐτὸν ἄνδρα κρυπτῶς.

Ἐρώτ. κδ'. Τίνες εἰσὶν ἀληθινοὶ προσκυνηταί, οἵτινες μήτε ἐν τῷ ὄρει ἐκείνῳ, μήτε ἐν Ἱερουσαλήμ, ἀλλ' ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνοῦσι τὸν Θεόν;[3]»

Ἀπόκ. Οὗτοί εἰσιν οἱ ἐν ἐρήμοις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς κατοικοῦνες, οἵτινες, χωρὶς συνάξεως ἐκκλησιαστικῆς δι' ἔργων ἀγαθῶν θείῳ πνεύματι φωτιζόμενοι, ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνοῦσι τὸν Θεὸν καὶ Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς, ἀμέμπτως βιοῦντες καὶ τῷ Θεῷ εὐσεβοφρόνως λατρεύοντες, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι τῶν ἀρετῶν διαλάμποντες καὶ οὐκ ἔχουσι χρείαν ἐκκλησίας ἢ τόπου, ἀλλ' αὐτοὶ ἑαυτοὺς ναοὺς ποιοῦντες ταῖς ἀγαθαῖς ἐργασίαις, ἐν παντὶ τόπῳ καὶ πανταχοῦ εὐαρεστοῦσι τὸ Θεῖον, ἀδιαλείπτως καὶ εἰλικρινῶς αὐτὸν θεραπεύοντες πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν.

Ἐρώτ. κε'. Τί λέγει· «Ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς, ἐπὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς;[4]»

Ἀπόκ. Τουτέστι περὶ παντὸς πράγματος, οὗ ἐὰν συμφωνήσῃ ἡ ψυχὴ μετὰ τοῦ σώματος, εὐσεβοῦς καὶ ἐναρέτου ζητήματος, ὁ Θεὸς ἐν μέσῳ αὐτῶν γίνεται, ὥσπερ τῷ Ἠλίᾳ ἐν τῷ ὄρει καὶ Δανιὴλ ἐν τῷ λάκκῳ προσομιλήσας καὶ τὰ αἰτήματα αὐτῶν πληρώσας.

Ἐρώτ. κς' Τί λέγει· «Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου, ἕως οὗ εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ;[5]»

Ἀπόκ. Ἀντίδικόν ἐστι τὸ σῶμα τῇ ψυχῇ. Ταῦτα γὰρ ἀλλήλοις ἀντίκειται, ὥς φησι Παῦλος.[6] Ὑπωπιάζομεν γὰρ καὶ δουλαγωγοῦμεν τὸ σῶμα, εὐνοοῦντες διὰ νηστείας καὶ ἀγρυπνίας καὶ τῆς λοιπῆς κακοπαθείας, ἵνα μηκέτι ἐξανίσταται τῆς ψυχῆς διὰ παθῶν τῆς ἀτιμίας.

1. Πρβλ. Γεν. 3, 7. 2. Ἰω. 4, 18. 3. Πρβλ. Ἰω. 4, 23-24. 4. Ματθ. 18, 19. 5. Ματθ. 5, 25. 6. Πρβλ. Γαλ. 5, 17.

Ὁδὸν λέγει, τὸν μάταιον βίον τοῦτον καὶ πλάνον· ἂν γὰρ λυθῇ ἡ ψυχὴ τοῦ σώματος καὶ ἐξέλθῃ τοῦ βίου τούτου καὶ τῆς ὁδοῦ οὐκ ἔτι ἐργάζεσθαι ἀγαθὸν δύναται. Κοδράντης δὲ λέγεται καὶ αὐτὸ τὸ «ἐγκατάλειμμα τοῦ ἐνθυμίου.[1]» Λέγεται δὲ καὶ ἡ συνείδησις ἀντίδικος· ἐλέγχει γὰρ ἡμᾶς ἐν τῇ καρδίᾳ κρυπτῶς καὶ ἀναχαιτίζει ἀπὸ τοῦ κακοῦ, καὶ ἐὰν μὴ ἀκούσωμεν αὐτοῦ, ἔσχατον παραδίδωσιν ἡμᾶς ἐν τῷ κριτηρίῳ τοῦ Θεοῦ καὶ δώσομεν εὐθύνας ὑπέρ τε τῶν μεγάλων ἁμαρτημάτων καὶ τῶν εὐτελῶν καὶ λίαν ἐλαχίστων.

᾿Ερώτ. κζ'· Τί ἐστιν. «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ συνάπεως;[2]»

᾿Απόκ. Διὰ τὴν ἀνθρωπότητα λέγει, ὅτι «Πλούσιος ὢν ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.[3]» Μέγα δὲ καὶ κομῶν τοῖς φύλλοις διὰ τὴν θεότητα. Πετεινὰ δὲ τοῦ οὐρανοῦ ἐν τοῖς κλάδοις αὐτοῦ προφήτας καὶ ἀποστόλους καὶ αὐτοὺς τοὺς εὐαγγελιστὰς καθεζομένους.

᾿Ερώτ. κη'. Τί ἐστι τό· «Οὐ ποιήσετε σισόην ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν;[4]»

᾿Απόκ. Τινὲς τὸν σισόην ἄλλως ἡρμήνευσαν· ἐγὼ δὲ οἶμαι τὴν ἀπόκαρσιν τὸν νόμον ἀπαγορεύειν. Εἰώθασι γὰρ οἱ Ἕλληνες μὴ ἀποκείρειν τῶν παίδων τὰς κορυφὰς καὶ τοὺς μαλοὺς ἐᾶν καὶ τούτους μετὰ χρόνον ἀνατιθέναι τοῖς δαίμοσιν.

᾿Ερώτ. κθ'. Διὰ τί ἐνεφύσησεν ὁ Χριστὸς τοῖς μαθηταῖς αὐτοῦ λέγων· «Λάβετε Πνεῦμα ἅγιον;[5]»

᾿Απόκ. Ὥσπερ ἐπὶ τοῦ τυφλοῦ ἐποίησε πηλὸν καὶ ἐπέχρισε τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἵνα δείξῃ, ὅτι αὐτός ἐστιν ὁ πλάσας κατ' ἀρχὰς τὸν ἄνθρωπον ἐκ τοῦ πηλοῦ· τὸν αὐτὸν δὴ τρόπον καὶ τοῖς μαθηταῖς ἐνεφύσησε, δεικνύς, ὅτι αὐτός ἐστιν ὁ δοὺς πνοὴν καὶ ζωὴν τοῖς ἀνθρώποις διὰ τοῦ παλαιοῦ ἐμφυσήματος τοῦ πρὸς τὸν ᾿Αδάμ. Εἰπὼν δὲ αὐτοῖς· «Λάβετε Πνεῦμα ἅγιον·» ἔδωκεν αὐτοῖς ἐξουσίαν καὶ χάριν διὰ τοῦ ἐμφυσήματος πρὸς τὸ ἀφιέναι ἁμαρτίας. Διὰ τῆς ἐπιφοιτήσεως ἐν τῇ ἁγίᾳ Πεντηκοστῇ τὴν τοῦ βαπτίσματος καὶ τὴν τῶν σημείων ἐνέργειαν παρεῖχε. Διό φησιν· «Ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ καὶ «λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς.[6]» Πρὸ γὰρ τοῦ πάθους οὐκ ἐν Πνεύματι ἁγίῳ τὰς ἰάσεις ἐποίουν οἱ ἀπόστολοι, ἀλλὰ τῇ παρὰ τοῦ Χριστοῦ ἐξουσίᾳ καὶ προστάξει. «Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι ᾿Ιησοῦς οὐδέπω ἐδοξάσθη.[7]» Δεξόξασται δὲ ἐγερθεὶς ἐκ νεκρῶν. «Πνεῦμα δὲ ἅγιον ὀνομάζων οὐ τοῦ ἁγίου Πνεύματος τὴν ὑπόστασιν· αὐτὸ γὰρ ἦν τε ἀεὶ καὶ ἔστι καὶ ἔσται, ἀλλὰ τὸ τοῦ ἁγίου Πνεύματος χάρισμα, ὅπερ κατὰ τὴν δεκάτην ἡμέραν τῆς ἀναλήψεως, πεντηκο-

1. Ψαλμ. 75, 11. 2. Ματθ. 13, 31. 3. Φιλιπ. 2, 8. 4. Λευϊτ. 19, 27. 5. ᾿Ιω. 20, 22. 6. Πράξ. 1, 8. 7. ᾿Ιω. 7, 39.

στὴν δὲ τῆς ἀναστάσεως, ἐπὶ τοὺς Χριστοῦ μαθητὰς κατεφοίτησεν.

Ἐρώτ. λ'. Τίς ἐστιν ὁ κριτὴς τῆς ἀδικίας, ὁ μήτε τὸν Θεὸν φοβούμενος, μήτε ἄνθρωπον ἐντρεπόμενος;

Ἀπόκ. Ὁ Θεός· οὔτε γὰρ Θεὸν ἔχει, ὃν φοβηθήσεται, οὔτε ἄνθρωπον ἐντραπήσεται «Χήρα δέ τις ἦν ἐν τῇ πόλει.[1]» Τίς δὲ ἡ χήρα ἐκείνη; ἡ παντὸς ἀνθρώπου ψυχή, ἥ ποτε τὸν διάβολον ἄνδρα ἔχουσα καὶ ἀπορρίψασα αὐτόν, τὸν δὲ Χριστὸν ἐνστερνισαμένη, χήρα τυγχάνει καὶ δέεται καθ' ἑκάστην ἡμέραν καὶ νύκτα, τὸν κριτήν, παρακαλοῦσα καὶ ὀδυρομένη καὶ λέγουσα· «Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου.[2]»

Ἐρώτ. λα'. Τίς δέ ἐστιν ὁ ἀντίδικος;

Ἀπόκ. Ὁ διάβολος, ὁ «ὡς λέων ὠρυόμενος περιπατῶν, ζητῶν τίνα καταπίῃ.[3]»

Ἐρώτ. λβ'. Τί δὲ εἶπεν ὁ κριτής· «Εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, ἀλλ' οὖν ἐκδικήσω αὐτήν, ἵνα μὴ ἐρχομένη ὑπωπιάζῃ με.[4]» Καὶ ἐπιφέρει ὁ Κύριος λέγων· «Ἀκούσατε, τί λέγει ὁ κριτὴς τῆς ἀδικίας[5]», ὁ Θεός· ἐπειδὴ κρίνει καὶ κατακρίνει τοὺς ἀδίκους. «Δικαίῳ γὰρ νόμος οὐ κεῖται.[6]»

Ἐρώτ. λγ'. Πῶς νοητέον, ὅτι «Ὁ ἔχων ἱμάτιον, πωλησάτω αὐτὸ καὶ ἀγορασάτω μάχαιραν;[7]»

Ἀπόκ. Τοῦτο εἶπε γνωρίσαι θέλων ὁ Κύριος τοῖς ἀποστόλοις τὴν προδοσίαν αὐτοῦ καὶ τὴν ἔφοδον τῶν Ἰουδαίων. Οὔτε οὖν τελείως παρεσιώπησεν, ἵνα μὴ τῇ ἀθρόᾳ ἐφόδῳ ταραχθῶσιν, οὔτε πάλιν τελείως ἐγνώρισεν, ἵνα μὴ δειλίᾳ τινὶ κατασχεθῶσιν.

Ἐρώτ. λδ'. Πῶς «ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν;[8]»

Ἀπόκ. Ὁ μὲν φιλῶν τὴν ψυχὴν αὐτοῦ ἐστιν ὁ τὰς ἀτόπους ἐπιθυμίας αὐτοῦ ποιῶν· ὁ δὲ μισῶν αὐτήν ἐστιν ὁ μὴ εἴκων αὐτῇ τὰ βλάπτοντα κελευούσῃ· ὁ δὲ θέλων αὐτὴν ἀπολέσαι ἐστὶ παρὰ τὸ δέον ἐκ τῶν ἐπερχομένων αὐτῇ κινδύνων καὶ θλίψεων καὶ πειρασμῶν διαφυγεῖν ἐφιέμενος. Ὥσπερ οὖν καὶ τὴν ὑπὲρ αὐτοῦ ἐν τοῖς κινδύνοις γινομένην ἀπώλειαν σωτηρίαν ὠνόμασεν· οὕτως εὑρήσει αὐτὴν εἰς ζωὴν τὴν αἰώνιον.

Ἐρώτ. λε'. Τί ἐστιν· «Ἐὰν ὁ δεξιός σου ὀφθαλμός, ἢ ἡ χείρ σου σκανδαλίζει σε, ἔκκοψον καὶ βάλε ἀπὸ σοῦ;[9]»

Ἀπόκ. Οὐ περὶ τῶν μελῶν τοῦ σώματος, τοῦτο εἴρηκεν ὁ Κύριος· ἄπαγε! ἀλλὰ περὶ φίλων καὶ συγγενῶν· μέλη γὰρ ἀλλήλων ἐσμέν. Ἐὰν οὖν, φησίν, ἔχῃς φίλον καὶ συγγενῆ ἀναγκαῖόν σοι ὄντα, ὡς δεξιὸν ὀφθαλμὸν ἢ χεῖρα· κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Ἰώβ, ὅτι «Ὀφθαλμὸς ἤμην τυφλῶν, ποὺς δὲ χωλῶν·[10]» καὶ ἴδοις ἑαυτὸν βλαπτόμε-

---

1. Λουκ. 18, 3. 2. Λουκ. 18, 3. 3. Α' Πέτρ. 5, 8. 4. Λουκ. 18, 4-5. 5. Λουκ. 18, 6. 6. Α' Τιμ. 1, 9. 7. Λουκ. 22, 36. 8. Ἰω. 12, 25. 9. Ματθ. 5, 29. 10. Ἰὼβ 29, 15.

νον τὴν ψυχὴν ὑπ' αὐτοῦ, ἔκκοψον αὐτὸν ἀπὸ σοῦ· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος, μάλιστα ἐὰν ὑποκρίσεώς τινος καὶ δόλου μετέχωσιν.

Τοῦ Χρυσοστόμου λς'. «Συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ, καὶ ἦλθε ζητῶν ἐν αὐτῇ καρπὸν καὶ οὐχ εὗρεν.[1]»

Ἀπόκ. Συκῆν ἔθος τῇ Γραφῇ καλεῖν τὴν ἐν ἁμαρτίαις ψυχήν· ἀμπελῶνα δὲ τὴν τῶν πιστῶν Ἐκκλησίαν· ἀμπελουργοὺς δὲ τοὺς ἀγγέλους. Ἐπεὶ οὖν ἐν τῇ Ἐκκλησίᾳ ἀναξίως βιοῦντες τῆς πίστεως, οὐκ ἀμπελών, ἀλλὰ συκῆ ὀνομάζονται. Ἐκ νέας μὲν ἡλικίας, ὡς εἰκός, ἐν αὐτῇ φυτευθέντες διὰ τοῦ βαπτίσματος, μέχρι δὲ γήρους τὸν τρόπον μεταβαλλόμενοι· εἰκότως μακρόθυμος ὁ Θεὸς λέγει τῷ ἀμπελουργῷ, ἤτοι τῷ ἀγγέλῳ τῆς Ἐκκλησίας· «Ἰδοὺ τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ καὶ οὐχ εὑρίσκω. Ἔκκοψον αὐτήν· ἵνα τί καὶ τὴν γῆν καταργεῖ; Ὁ δέ φησι· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως οὗ σκάψω περὶ αὐτὴν καὶ βάλω κόπρια.[2]» Τρία οὖν ἔτη εἰσὶν ἐν ἀνθρώποις, ἐν οἷς ἔρχεται ζητῶν καρπὸν ὁ Θεός, αἱ τρεῖς μεθηλικιώσεις τοῦ ἀνθρώπου, ἢ ὡς παιδία, νεώτεροι καὶ πρεσβύτεροι. Πολλοὶ γάρ, ἐν αὐτῷ τῷ γήρᾳ μετανοήσαντες, διὰ θλίψεών τε σκαφέντες καὶ διὰ πειρασμῶν δεξάμενοι κόπρια, τὴν ἀρετὴν ἐκαρποφόρησαν.

Κυρίλλου λζ'. Διὰ τί ἡ Ἐκκλησία καλεῖται Ἐκκλησία, καὶ διὰ τί καθολική;

Ἀπόκ. Ἐκκλησία μέν, διὰ τὸ πάντας ἐκκαλεῖσθαι· καθολικὴ δέ, διότι καθόλου τοῦ κόσμου κεχυμένη ὑπάρχει.

Ἐρώτησις λη'. Πόθεν λέγεται αἵρεσις;

Ἀπόκ. Ἀπὸ τοῦ αἱρεῖσθαί τι ἴδιον καὶ τοῦτο ἐξακολουθεῖν.

Κείμενον λθ'. «Εὔχεσθε, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν ἐν χειμῶνι, ἢ ἐν σαββάτῳ.[3]»

Ἑρμηνεία. Σημειωτέον, ὅτι ὁ Θεὸς χειμῶνα οὐκ ἐποίησε. Γέγραπται γάρ· «Θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά.[4]» Φυγεῖν δὲ λέγει, ὁπόταν ἡ ψυχὴ ἐκ τοῦ σώματος χωρίζεται. Χειμῶνα δὲ τὰς ἁμαρτίας καλεῖ· σάββατον δὲ τὴν ἀμέλειαν· καὶ οὐαὶ τὴν ἐν ἁμαρτίᾳ καὶ ἀθυμίᾳ καὶ ἀμελείᾳ ψυχήν.

Ἕτερον κείμενον μ'. «Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες.[5]»

Ἑρμηνεία. Λίθος ὁ Χριστός, ὅστις ἀπεδοκιμάσθη ὑπὸ τῶν γραμματέων καὶ Φαρισαίων καὶ πρεσβυτέρων τοῦ λαοῦ τῶν Ἰουδαίων, καὶ ἐγένετο κεφαλὴ τῆς Ἐκκλησίας τῶν ἐθνῶν. Ὃ λέγεται διὰ τὸ συγκρατεῖν ἐν τῇ πίστει εἰς μίαν ὁμόνοιαν τὰ ἔθνη. Ἐπειδὴ τὰ ἀπόγονα τῶν Ἑλλήνων καὶ τῶν Ἰουδαίων πεπιστεύκασι τῷ Χριστῷ, διὰ τοῦτο γωνίᾳ ἀπεικάσθη καὶ ὁ Χριστός, ὅτι τοὺς γόνους ἐκείνων συνῆ-

1. Λουκ. 13, 6. 2. Λουκ. 13, 7-8. 3. Ματθ. 24, 20. 4. Ψαλμ. 73, 17. 5. Ψαλμ. 111, 22.

ψεν ἐν τῇ πίστει. Λέγεται δὲ καὶ κατὰ ἄλλον τινὰ τρόπον ὁ Χριστὸς λίθος ἀκρογωνιαῖος, ἐπειδή, ὅτε κτίζεται οἰκία, προστιθέασιν οἱ οἰκοδομοῦντες ἐν τῇ γωνίᾳ τοῦ τοίχου λίθον ἀκρογωνιαῖον, ἤτοι τὸν ἔχοντα γωνίαν ἐν τῇ ἄκρᾳ αὐτοῦ. Πεσὼν δὲ ὁ τοιοῦτος ἐν τῇ ἄκρᾳ τοῦ τείχους, συνάπτει καὶ κρατεῖ τὰ δύο τείχη ἐν τῷ ἅμα. Κατὰ οὖν τοιοῦτον τρόπον λέγεται καὶ ὁ Χριστὸς λίθος ἀκρογωνιαῖος, ὅτι συνῆψε τοὺς δύο λαοὺς ἐν τῷ ἅμα, τόν τε λαὸν τῶν Ἰουδαίων καὶ τὸν ἐξ ἐθνῶν· καὶ διὰ τοῦτο λίθος ἀκρογωνιαῖος ὠνόμασται.

Ἐρώτ. Τί ἐστιν ὃ εἴρηκεν ὁ Χριστὸς τῷ Πέτρῳ......

τοῦντες οἱ ὄχλοι, καὶ μέσον αὐτῶν ἔχοντες τὸν Χριστὸν ἤρχοντο κρυπτῶς ὄπισθεν αὐτοῦ τινες καὶ ἔκρουον αὐτόν, ἢ ἠρώτων αὐτὸν ἄλλοι δοκιμάζοντες, Εἰπὲ ἡμῖν, ἆρα τίς ἔτυψέ σε ἐκ τοῦ λαοῦ κρυφίως; καὶ ἐὰν οἶδας, προφήτευσον καὶ εἰπέ· δεῖξον ἡμῖν ἐκ τοῦ ὄχλου τὸν τύψαντά σε καὶ γνωσόμεθα, ὅτι προφήτης εἶ σύ.

Ἐρώτ. μα'. Τί ἐστι· «Καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα;[1]» Καὶ γὰρ πάντες οἱ θνήσκοντες πρῶτον τελευτῶσι καὶ οὕτω τὰς ἑαυτῶν κεφαλὰς κλίνουσιν.

Ἀπόκ. Ἐπειδὴ πάντα ἐτέλεσεν ὁ Κύριος τὰ γεγραμμένα, τὴν σάρκωσιν, τὴν γέννησιν, τὴν βάπτισιν, τὴν τῶν σημείων ἐπίδειξιν, τῆς διδασκαλίας τὴν ἐνέργειαν, τῶν μαθητῶν τὴν οἰκείωσιν, τὰ ἀνθρώπινα πάντα, τὸ πάθος, τὴν σταύρωσιν, τοὺς ἐμπαιγμούς, τὰς τρώσεις τῶν ἥλων, μετὰ τὸ πληρῶσαι ταῦτα, ἅπερ ἔδει παθεῖν· ἐλείπετο μόνον ὁ θάνατος. Καὶ φοβούμενος οὐκ ἐτόλμα προσεγγίσαι αὐτῷ· διὰ τοῦτο ἔκλινεν ὁ Χριστὸς τὴν κεφαλήν, κράζων αὐτόν. Ἕως γὰρ μὴ ἔκλινε τὴν κεφαλήν, οὐκ ἐτόλμα προσεγγίσαι αὐτῷ. Διὰ τοῦτό φησιν ὁ εὐαγγελιστής· «Καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα.»

Ἐρώτ. μβ'. Τίνος χάριν ἐκραύγασεν ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ φωνῇ μεγάλῃ;

Ἀπόκ. Ἵνα δείξῃ τὴν δύναμιν αὐτοῦ καὶ ἐκφοβήσῃ τοὺς Ἰουδαίους καὶ πρὸς πίστιν εἰσαγάγῃ. Καὶ γὰρ ἡ φωνὴ αὕτη τὰς πέτρας διέσχισε καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἔρρηξε, τὴν γῆν τε ἔσεισε καὶ τὰ μνημεῖα ἀνέῳξε. Καὶ οὐδὲ οὕτως συνῆκαν οἱ ἀγνώμονες Ἰουδαῖοι.

Ἐρώτ. μγ'. Πῶς εἶδεν ἡ Μαρία τὸν Κύριον καὶ ποίῳ τρόπῳ; Καὶ γὰρ ἵστατο κλαίουσα ἐν τῷ μνημείῳ ἔμπροσθεν τῶν ἀγγέλων σκυθρωπῷ τῷ ἤθει καὶ κατηφεῖ τῇ θέᾳ. Πῶς οὖν εἶδεν αὐτὸν ὄπισθεν αὐτῆς περιπατοῦντα καὶ ἐρχόμενον;

Ἀπόκ. Ἔχει δὲ οὕτως, ὅτι ἐκαθέζοντο οἱ ἄγγελοι ἔμπροσθεν αὐτῆς καὶ ἔβλεπον τὸν Χριστὸν ἐρχόμενον ὀπίσω αὐτῆς· ἐκείνη δὲ ὀπίσω αὐτῆς οὐχ ἑώρα· οἱ δὲ ἄγγελοι καθεζόμενοι ἐξεναντίας αὐτῆς ἐθεώρουν τὸν Χριστὸν ἐρχόμενον ὀπίσω αὐτῆς καὶ εὐθέως ἀνέστησαν.

1. Ἰω. 19, 30.

Ἰδοῦσα δὲ ἡ γυνὴ τοὺς ἀγγέλους ἀποπηδήσαντας ἐξεπλάγη καὶ αὖθις ἐστράφη εἰς τὰ ὀπίσω ἰδεῖν τί ἐθεάσαντο οἱ ἄγγελοι καὶ εἶδεν ἐρχόμενον τὸν Ἰησοῦν. Αὕτη ἐστὶν αἰτία τοῦ ἰδεῖν τὴν Μαρίαν τὸν Κύριον στραφεῖσαν εἰς τὰ ὀπίσω.

Ἐρώτ. μδ'. Διὰ τί ὁ Χριστὸς τοῖς μαθηταῖς αὐτοῦ ἐζήτησε μετὰ τὴν ἀνάστασιν φαγεῖν, οὐχ εὑρέθη δὲ ἕτερον μέρος, ἀλλ' ἢ μόνον ἰχθύος ὀπτοῦ μέρος καὶ ἀπὸ μελισσίου κηρίον;

Ἀπόκ. Τινὲς τὸ ἀπὸ μελισσίου κηρίον ἅλας ἡρμήνευσαν εἶναι· φλυάρων μυθολογία ταῦτα τὰ ῥήματα. Τὸ γὰρ ἀπὸ μελισσίου κηρίον καὶ ἰχθύος ὀπτοῦ μέρος ταῦτά εἰσιν οἷα λέγει ἡ Γραφή. Ἔχει δὲ παράδοξόν τινα ἑρμηνείαν καὶ βαθυτάτην καὶ ἀναγωγικωτάτην ἀκρίβειαν. Ὁ νοῦς τῆς ἀναγνώσεως ταύτη ἐστὶν οὗτος· ὁ μὲν ἰχθὺς παρεικάζεται εἰς τὴν σκληρὰν διαγωγὴν τῶν ἀσκητῶν τῶν δαμασάντων τὴν σάρκα νηστείαις καὶ ἀγρυπνίαις καὶ ταῖς λοιπαῖς κακοπαθείαις καὶ σταυρωσάντων ἑαυτοὺς τῷ κόσμῳ καὶ ταῖς ἡδοναῖς καὶ ὑγρότησι καὶ ταῖς τροφαῖς τοῦ βίου ἀποταξαμένων καὶ τῇ ξηρότητι ἑαυτοὺς δαμασάντων καὶ τῇ ἀσκητικῇ ὁδῷ πορευομένων, καθὼς ἐνετείλατο ὁ Χριστός· «Ὁ θέλων τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν[1]», ἐν νηστείαις δηλονότι καὶ ἀγρυπνίαις καὶ ταῖς λοιπαῖς κακοπαθείαις. Πῶς δὲ παρεικάζεται ὁ ἰχθὺς εἰς τὴν ἄσκησιν, ἢ τὴν κακοπάθειαν, ἄκουσον. Ἄνθρωπος ὅμοιός ἐστι τοῦ ἰχθύος· ὥσπερ γὰρ ὁ ἰχθύς, ἕως ἐστὶν ἐν τῇ θαλάσσῃ, ἔχει πᾶσαν τὴν ὑγρότητα καὶ ζῇ μετὰ τοῦ αἵματος αὐτοῦ καὶ πάσης ἰλύος, ὅταν δὲ κρατηθῇ ἔξω τοῦ ὕδατος, νεκροῦται, τιθέμενος δὲ ἐν τῷ πυρὶ ὀπτοῦται καὶ ξηραίνεται καὶ ἀπόλλυσι πᾶσαν αὐτοῦ τὴν ἀκαθαρσίαν, τοιούτῳ τρόπῳ ἐστὶ καὶ ὁ ἄνθρωπος· ἕως ἐστὶ μέσον τοῦ βίου, ζῇ ἐμπαθῶς πρὸς τὰς ἡδονὰς καὶ ἀκολάστους ἐπιθυμίας. Ὅταν δὲ ἀποστῇ τοῦ κόσμου καὶ βιώσῃ ἐν ἀσκήσει καὶ σκληραγωγίᾳ ἐν τῇ ἐρήμῳ, ὑπὸ πυρὸς τοῦ ἁγίου Πνεύματος θερμαινόμενος, τότε ξηραίνεται ἐκ τῶν παθῶν καὶ καθαίρεται ἀπὸ πάσης ἀκαθαρσίας καὶ γίνεται τῷ Θεῷ θυσία εὐάρεστος διὰ τῶν ἀρετῶν. Ὥσπερ ὁ ἰχθὺς γίνεται ἐπιτήδειος εἰς τροφὴν ὀπτηθεὶς ἐπ' ἀνθράκων, οὕτως καὶ ὁ ἄνθρωπος, διὰ τῆς θέρμης τοῦ ἁγίου Πνεύματος καθαρθείς, γίνεται θυσία εὐπρόσδεκτος τῷ Κυρίῳ.

Τὸ δὲ ἀπὸ μελισσίου κηρίον ἐστὶ πάλιν τοιαύτην ἔχον τὴν ἑρμηνείαν. Ζητητέον τοίνυν πῶς οὐκ ἦν τὸ μέλι χωρὶς κηρίου. Ἔστι δὲ καὶ κηρίον χωρὶς μέλιτος· καὶ ἔστι καὶ μέλι χωρὶς κηρίου· ἐκεῖ δὲ εὑρέθησαν τὰ ἀμφότερα· κατὰ τίνα δὲ τρόπον, ἄκουσον. Τὸ μὲν μέλι διὰ τὴν γλυκύτητα τοῦ ἁγίου Πνεύματος, ἣν ἔμελλεν ἐκχέειν πρὸς τοὺς ἀποστόλους καὶ πάντας τοὺς πιστούς· τὸ δὲ κηρίον διὰ τὴν σφραγῖδα, ἣν παρέχει τοῖς πιστοῖς πᾶσι διὰ τοῦ βαπτίσματος. Καὶ γὰρ ὁ θησαυρός, ὅσον ἐστὶ βεβυσμένος διὰ κηρίου, τοσοῦτόν ἐστιν ἀσφαλέστε-

1. Ματθ. 16, 25.

ρος. Τοιούτῳ τρόπῳ οὖν καὶ ὁ τῆς θείας χάριτος πλοῦτος ἐν τῷ ἀνθρώπῳ ὑπάρχει ἄσυλος, ἔχων τὴν σφραγῖδα τοῦ ἁγίου βαπτίσματος, καὶ τὸ σημεῖον τοῦ σταυροῦ καὶ τὴν πίστιν εἰς Χριστόν.

Περὶ δόξης.

Ἐρώτ. με΄. Γίνωσκε δέ, ὅτι ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστός, μετὰ τὸ σαρκωθῆναι ἐκ Πνεύματος ἁγίου καὶ ἐκ τῆς ἀεὶ παρθένου Μαρίας καὶ ἐνανθρωπῆσαι καὶ πάντα ἀνθρώπινα ἀναλαβέσθαι χωρὶς ἁμαρτίας καὶ ἀσθενείας, καὶ μετὰ τὸ θαυματουργῆσαι καὶ σταυρωθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι κατὰ τὰς Γραφάς, ὕστερον ἀνελήφθη καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ. Δεξιὰν δὲ ἀκούων τοῦ Θεοῦ, μὴ τόπους καὶ σχήματα δόξης περίγραφε. Δεξιὰ γὰρ καὶ ἀριστερὰ τῶν περιγραφομένων ἐστίν· ὁ δὲ Θεὸς ἄπλαστος καὶ ἀόριστος καὶ ἀσχημάτιστος καὶ ἀπερίγραπτος ἐστι. Δεξιὰν δὲ τοῦ Θεοῦ ὅταν ἀκούσῃς, τὴν δόξαν καὶ τὴν τιμὴν τοῦ Θεοῦ εἶναι νόει. Καὶ ὁ μὲν Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, καθὼς εἴρηται, μετὰ τὸ πληρῶσαι πᾶσαν οἰκονομίαν, ὕστερον ἀνελήφθη· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, κατελθὸν ἐπὶ τοὺς ἁγίους μαθητὰς τῇ ἁγίᾳ Πεντηκοστῇ καὶ ἐκχυθὲν ἐπὶ πᾶσαν σάρκα, οὐκ ἀνελήφθη, ἀλλὰ κατὰ γενεὰν καὶ γενεὰν διέρχεται εἰς πάντας, καὶ καθὼς ἕνα ἕκαστον εὕροι τῶν ἀνθρώπων, κατασκηνοῖ ἐπ' αὐτὸν κατὰ τὴν ἀναλογίαν τῆς ἑκάστου καθάρσεως, ὑπὲρ μέλι γλυκάζον ἐν τῇ ψυχῇ.

Ἐρώτ. μϛ΄. Τί ἐστιν ὃ εἶπεν ὁ Χριστός, ὅτι «Ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ ἁγίου Πνεύματος, οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι;[1]»

Ἑρμηνεία. Τοῦτο εἴρηκεν ὁ Χριστός, ἐπειδὴ διπλοῦς κατ' οὐσίαν, Θεὸς καὶ ἄνθρωπος, πᾶς ὅστις ἀθετήσει βλασφημῶν εἰς τὴν σάρκα αὐτοῦ, ἀφεθήσεται αὐτῷ μετανοήσαντι, τῷ δὲ βλασφημήσαντι εἰς τήν. . . . .

. . . .

... μφαῖνον τὸ τρίτον πρόσωπον ὅμοιον ἀνθρώπῳ τὸν κατὰ ἄνθρωπον αὐτοῦ παρουσίαν φανερώτατα γράφον· τὸ δὲ τέταρτον ὅμοιον ἀετῷ πετομένῳ, τὴν τοῦ Πνεύματος ἐπὶ τὴν Ἐκκλησίαν ἐφιπταμένην, δόσιν σαφηνίζον, καὶ τὰ Εὐαγγέλια τούτοις σύμφωνα, ἐν οἷς συγκαθέζεται ὁ Χριστός. Τὸ μὲν γὰρ κατὰ Ἰωάννην τὴν ἀπὸ τοῦ Πατρὸς αὐτοῦ ἡγεμονικὴν καὶ ἔνδοξον αὐτοῦ γενεὰν ἐκδιηγεῖται λέγων· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος·[2]» διὸ καὶ ἀετὸς μετωνόμασται, ὡς τὰ ὕψη . . . . . . κενεμβατήσας, κἀκεῖθεν τὰ ἀπόρρητα μυηθείς, καὶ τὰ κρυπτὰ τῆς θεολογίας . . . . . . ἀνιμησάμενος καὶ τὴν ἄρρητον καὶ ἀκατάληπτον γέννησιν τοῦ Υἱοῦ τοῦ Θεοῦ συγγραψάμενος. Τὸ δὲ κατὰ Λουκᾶν ἄρχεται ἀπὸ τοῦ Ζαχαρίου τοῦ ἱερέως· τὸ δὲ κατὰ Ματθαῖον τὴν κατὰ ἄνθρωπον αὐτοῦ

1. Λουκ. 12, 10. 2. Ἰω. 1, 1.

γέννησιν γράφει· «Βίβλος γενέσεως.[1]» Τὸ δὲ κατὰ Μάρκον· «Ἀρχὴ τοῦ Εὐαγγελίου.[2]» Διὰ τοῦτο καὶ τέσσαρες καθολικαὶ διαθῆκαι τοῖς ἀνθρώποις ἐδόθησαν· μία μὲν κατὰ τὸν κατακλυσμὸν τοῦ Νῶε ἐπὶ τοῦ τόξου· δευτέρα ἐπὶ τοῦ Ἀβραὰμ ἐπὶ τοῦ σημείου τῆς περιτομῆς· τρίτη ἡ διὰ τοῦ Μωσέως ἐν τῇ νομοθεσίᾳ· τετάρτη ἡ διὰ τοῦ ἁγίου Εὐαγγελίου, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χάρις καὶ δωρεά.

ΕΚ ΤΟΥ ΠΑΛΑΙΟΥ ΔΙΑΦΟΡΟΙ ΕΡΜΗΝΕΙΑΙ

Ἐρώτ. μζ΄. Τί ἐστιν. «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος; [3]»

Ἀπόκ. Ὅτι οὐκ ἦν ἀκμὴν κοσμηθεῖσα. Ἐπικειμένου γὰρ τοῦ ὕδατος ἐπάνω αὐτῆς, ἀόρατος ἦν ἤτοι ἀθεώρητος καὶ ἀφανής· ἀκατασκεύαστος δὲ ἤτοι ἀκαλλώπιστος, ἀτελείωτος· ἀκμὴν γὰρ οὐκ εἶχεν οὔτε ἄνθη, οὔτε λειμῶνας, οὔτε φυτά, οὔτε βλάστην.

Ἐρώτ. μη΄. Ποῖον πνεῦμα ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος;

Ἀπόκ. Τισὶ μὲν δοκεῖ τὸ πανάγιον Πνεῦμα ζωογονοῦν τὴν τῶν ὑδάτων φύσιν· ἐγὼ δὲ ἁρμοδίως τό, «ἐπεφέρετο[4]», τὴν κινητικὴν τοῦ ἀέρος οὐσίαν φημὶ παραδηλοῦν, καθὰ καὶ Δαυὶδ περὶ τοῦ Θεοῦ τῶν ὅλων φησί· «Πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα.[5]»

Ἐρώτ. μθ΄. Διὰ τί, μίαν τὴν συναγωγὴν τῶν ὑδάτων εἰπών, μετὰ ταῦτα πολλὰς προσωνόμασε; «Συνήχθη» γάρ, φησί, «τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν.[6]»

Ἀπόκ. Μία ἐστὶ τῶν ὑδάτων ἡ φύσις καὶ συναγωγή· πληθυντικῶς δὲ τὰς συναγωγὰς ὠνόμασεν, ἐπειδὴ ἄλλο μὲν τὸ Ἰνδικὸν πέλαγος, ἄλλο δὲ τὸ Ποντικὸν καὶ τὸ Ἀτλαντικὸν ἕτερον καὶ ἄλλο μὲν ἡ Προποντὶς καὶ Αἰγαῖον ἕτερον καὶ ἄλλος πάλιν ὁ Ἰώνιος κόλπος. Ἔξωθεν δὲ πάλιν ἐπίκειται τὸ μέγιστον πέλαγος, ὅ τινες Ὠκεανὸν ὀνομάζουσι. Τούτου χάριν, ὡς μὲν συνηγμένην, συναγωγὴν μίαν ὠνόμασεν· ὡς δὲ διαιρουμένην, συναγωγάς.

Ἐρώτ. ν΄. Ποῖον φῶς ἐχώριζε τὴν ἡμέραν καὶ τὴν νύκτα, πρὶν γενέσθαι τὸν ἥλιον; Καὶ γὰρ ὁ ἥλιος καὶ οἱ λοιποὶ φωστῆρες ὕστερον ἐγένοντο. «Καὶ ἐγένετο δὲ ἑσπέρα καὶ ἐγένετο πρωὶ ἡμέρα[7]», πῶς γὰρ νοητέον; οὔπω γὰρ ἥλιος.

Ἀπόκ. Τὸ φῶς εἶπεν ὁ Θεός, καὶ ἐγένετο. Ἐκεῖνο οὖν ἦν τὸ διαχωρίζον τὴν ἡμέραν καὶ τὴν νύκτα. Καὶ εἶπεν ὁ Θεός, ὅτι «Γενηθήτω φῶς καὶ ἐγένετο φῶς.» Τοῦτο οὐκ ἔστιν ἥλιος· ποῖον δέ ἐστι τοῦτο τὸ φῶς, ἄκουσον. Τοῦτο τὸ φῶς ἐστι τὸ πρωϊνόν, ὅπερ ἀνατέλλει καὶ φωτίζει τὸν κόσμον ἀπὸ πρωῒ πρὶν ἀνατεῖλαι τὸν ἥλιον. Καὶ μηδεὶς νομίσῃ, ὅτι τοῦ ἡλίου ἐστὶ τὸ φέγγος ἐκεῖνο, ὅπερ αὐγάζει ταχὺ καὶ φωτίζει τὸν κόσμον πρὶν τοῦ ἡλίου· ἀλλ' αὐτό ἐστιν ὅπερ

1. Ματθ. 1, 1. 2. Μάρκ. 1, 1, 3. Γεν. 1, 2. 4. Γεν. 1, 2. 5. Ψαλμ. 147, 7. 6. Γεν. 1, 9. 7. Γεν. 1, 5.

λέγει ἡ Γραφή· «Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς.[1]» Τοῦτο τὸ φῶς πολὺ καὶ ὑπέρλαμπρον ὑπάρχον, τότε διεῖλεν αὐτὸ ὁ Θεὸς εἰς τοὺς φωστῆρας, τόν τε ἥλιον καὶ τὴν σελήνην καὶ τὰ λοιπά.

Ἐρώτ. να΄. Τί λέγει, ὅτι «Ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιρούς, καὶ ἡμέρας καὶ ἐνιαυτούς;[2]»

Ἀπόκ. Σημεῖα καλεῖ τὸ εἰδέναι σπόρου καιρὸν καὶ θέρους καὶ τρυγητοῦ, τὸ φυτεῦσαι ἐν ποίῳ καιρῷ, πότε ξύλον τεμεῖν. Ἕκαστος γὰρ καιρὸς ἔχει τὴν ἰδίαν ἐργασίαν. Τέσσαρας γὰρ ἔχει καιροὺς ὁ χρόνος· ἕκαστος δὲ καιρὸς ἔχει τὴν ἰδίαν ἐργασίαν.

Ἐρώτ. νβ΄. Διὰ τί τὰ μὲν φυτὰ πρὸ τῶν φωστήρων ἐποίησεν ὁ Θεός, τὰ δὲ ζῷα μετὰ ταῦτα;

Ἀπόκ. Διότι τὰ μὲν φυτά εἰσιν ἄψυχα καὶ οὔτε ὀφθαλμοὺς ἔχουσι, καὶ ἐκτίσθησαν πρὸ τῶν φωστήρων· ἐβάσταζον γὰρ τοῦ φωτὸς τὴν λαμπρότητα· μετὰ δὲ τοὺς φωστῆρας ὕστερον ἐγένοντο τὰ ζῷα· ἐπειδὴ ἐμέρισεν ὁ Θεὸς τὸ φῶς τὸ μέγα ὃ ἐποίησεν εἰς τοὺς φωστῆρας, καὶ διεσκορπίσθη καὶ ἐγένετο ἐλαφρότερον· εἰ μὴ γὰρ οὕτως ἐγένετο, οὐκ ἠδύνατο τὰ ζῷα ὑποφέρειν τὴν πολλὴν ἀστραπὴν καὶ τὴν λαμπρότητα ὅλου τοῦ πυρὸς ἐκείνου. Καὶ διὰ τοῦτο ἐγένοντο ὕστερον τὰ ζῷα, ὅπως δύνωνται φέρειν τοῦ πυρὸς τὴν λαμπρότητα.

Ἐρώτ. νγ΄. Διὰ τί ὁ Θεὸς πλάσας τὸν ἄνθρωπον ἐκ τῆς γῆς, οὐκ ἔπλασε καὶ τὴν Εὔαν, ἀλλ' ἐκ τῆς πλευρᾶς αὐτοῦ ἔπλασεν αὐτήν;

Ἀπόκ. Ἵνα μὴ ἔχωσιν ἀφορμὴν λέγειν, ὅτι ἄλλο τὸ χῶμά ἐστι τοῦ Ἀδὰμ καὶ ἄλλο τῆς Εὔας· καὶ κρεῖσσον ἦν τὸ χῶμα ὃ ἔπλασε τὸν Ἀδάμ, καὶ ἐξ ἐκείνου εἰσὶν οἱ καλοὶ καὶ ἐνάρετοι ἄνθρωποι· ἀπὸ δὲ τῆς Εὔας εἰσὶν οἱ κακοὶ καὶ πονηροί, καὶ οἱ σκολιοὶ ἄνθρωποι. Διὰ τοῦτο ἔπλασεν αὐτοὺς ὁ Θεὸς ἐξ ἑνὸς χώματος.

Ἐρώτ. νδ΄. Διὰ τί, ὡς ἔστι κρεῖσσον καὶ παραδοξότερον ποίημα τοῦ Θεοῦ ὁ ἄνθρωπος (βασιλέα γὰρ αὐτὸν πεποίηκεν ἐπὶ τῆς γῆς, καὶ κατ' εἰκόνα καὶ καθ' ἐμοίωσιν αὐτοῦ ἐποίησεν αὐτόν), πῶς ἔπλασεν αὐτὸν ὁ Θεὸς ὕστερον πάντων;

Ἀπόκ. Ἐπειδὴ ὥσπερ βασιλεύς, ὅταν μέλλῃ ἀπελθεῖν ἐν πόλει τινί, πρῶτον εὐτρεπίζουσιν αὐτοῦ τὴν ἑτοιμασίαν καὶ κατασκευάζοντες αὐτοῦ τὴν δωροφορίαν καὶ πᾶσαν αὐτοῦ τὴν ὑπηρεσίαν καὶ ἀνάπαυσιν, μετὰ τοῦτο δὲ παραγίνεται ὁ βασιλεύς, οὕτω γέγονε καὶ ἐπὶ τοῦ ἀνθρώπου. Πρῶτον ἐφρόντισεν ὁ Θεὸς τὰ τῆς ἀναπαύσεως αὐτοῦ καὶ εἰργάσατο τὴν κατοικίαν αὐτοῦ καὶ πᾶσαν τὴν χρείαν καὶ ἀνάπαυσιν αὐτοῦ, καὶ μετὰ ταῦτα ἔπλασεν αὐτόν.

Ἐρώτ. νε΄. Τί ἐστι τό· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν;[3]» Τί τὸ «κατ' εἰκόνα;» καὶ τί τὸ «καθ' ὁμοίωσιν;»

Ἀπόκ. Οὐχ ὥσπερ οἱ ἄνθρωποι, οὕτως καὶ ὁ Θεός ἐστιν ἀνθρω-

1. Γεν. 1, 3. 2. Γεν. 1, 14. 3. Γεν. 1, 26.

πόμορφος· ἄπαγε! 'Αλλὰ τὸ «κατ' εἰκόνα» τοῦτό ἐστιν· ὥσπερ γὰρ ὁ Θεὸς βασιλεύει ἐν παντὶ κόσμῳ καὶ ἄρχει καὶ ἐξουσιάζει πάντων τῶν ἐν οὐρανῷ καὶ τῇ γῇ· οὕτω καὶ ὁ ἄνθρωπος ἄρχων καὶ βασιλεὺς καθέστηκε πάντων τῶν ἐπιγείων πραγμάτων καὶ αὐτεξουσίως ὃ βούλεται πράττει,καθάπερ καὶ ὁ Θεός· καὶ τοῦτό ἐστι τὸ «κατ' εἰκόνα.» Τὸ δὲ «καθ' ὁμοίωσίν» ἐστι τὸ ἀγαθὸν καὶ ἐνάρετον. Ὥσπερ γὰρ ὁ Θεὸς ἀγαθός ἐστι καὶ ἐλεήμων καὶ εὔσπλαγχνος καὶ δίκαιος, μακρόθυμός τε καὶ πρᾶος, ἀγαπητικός τε καὶ συμπαθής, εἰρηνικός τε καὶ ἐπιεικής, ἐλεῶν καὶ τρέφων πάντας ἀνθρώπους, καὶ ἐπὶ πᾶσι τὸ ἀγαθὸν ἐνδεικνύμενος· τοιούτῳ τρόπῳ εἰργάσατο καὶ ἔπλασε, καὶ θέλει εἶναι τὸν ἄνθρωπον, ἵνα πάσῃ ἀρετῇ ὑπάρχῃ κατακεκοσμημένος, καὶ ....μιμεῖται Θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ ἐν πάσῃ ἀγαθοεργίᾳ καὶ σεμνότητι.

'Ερώτ. νϛ'. Τίνι ὁ Θεὸς εἴρηκε· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν;»

'Απόκ. Τινὲς τῶν δυσωνύμων αἱρετικῶν πρὸς τοὺς ἀγγέλους αὐτὸ εἰρηκέναι καὶ τοὺς πονηροὺς δαίμονας ἔφθασαν· οὐ συνιέντες οἱ ἐμβρόντητοι, ὅτι οὐ κατ' εἰκόνας ἡμετέρας ἔφη, ἀλλὰ κατ' εἰκόνα ἡμετέραν. Θεοῦ δὲ καὶ ἀγγέλων καὶ δαιμόνων οὔτε οὐσία οὔτε εἰκὼν ἡ αὐτή. 'Εγὼ δέ φημι, ὅτι, προθεωρῶν τὴν τοῦ Μονογενοῦς σάρκωσίν τε καὶ ἐνανθρώπησιν, καὶ ὡς ταύτην τὴν φύσιν ἐκ Παρθένου λήψεται, καὶ οὕτως ἑαυτῷ ἓν μὲν πρόσωπον Θεοῦ καὶ ἀνθρώπου νοήσας, καὶ μίαν αὐτῷ προσκύνησιν παρὰ τῆς κτίσεως ἁπάσης προσφέρεσθαι, πρὸς αὐτὸν τὸν μονογενῆ Υἱὸν ποιεῖται τὸν λόγον.

'Ερώτ. νζ'. Ποία ἐστὶν ἀρχὴ καὶ προτερεύει, ἡ νὺξ ἢ ἡ ἡμέρα;

'Απόκ. 'Απὸ μὲν τῆς ἀρχῆθεν κοσμοποιίας, ἤτοι τῆς πλάσεως τοῦ 'Αδάμ, ἕως τῆς Χριστοῦ παρουσίας πρώτη ὑπῆρχεν ἡ ἡμέρα, καθὼς λέγει καὶ ἡ θεία Γραφή· καὶ ὅτι εἶπεν ὁ Θεός· «Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς[1]», καὶ ὅτι «ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα·[2]» πρῶτον τιθεῖσα τὸ φῶς· καὶ γὰρ διὰ τοῦτο ὑπῆρχε πρώτη ἡμέρα. 'Επειδὴ ἀπὸ τοῦ φωτὸς ἠρξάμεθα, καὶ εἰς σκοτασμὸν κατηνέχθημεν ὕστερον. Πλανηθέντες γὰρ ἀπὸ τῆς εὐθείας ὁδοῦ εἰς εἴδωλα καὶ σκοτασμὸν ἀπάτης ἐνεπέσαμεν. 'Απὸ δὲ τῆς Χριστοῦ παρουσίας ἄρχεται πάλιν καὶ πρωτεύει ἡ νὺξ τῆς ἡμέρας. Διὰ τοῦτο καὶ ἀφ' ἑσπέρας ἀρχόμεθα ἑορτάζοντες τὰς ἐπαύριον ἡμέρας. Ποίῳ δὲ τρόπῳ γέγονεν οὕτως, ἄκουσον. 'Επειδὴ τὸ πρῶτον ἀπὸ τοῦ φωτὸς πρὸς τὸ σκότος ἐνεπέσαμεν, διὰ τοῦτο καὶ τὸ φῶς ἔχει τὴν ἀρχήν, τὸ δὲ σκότος ὕστερον. 'Αφ' οὗ δὲ ὁ ἥλιος τῆς δικαιοσύνης Χριστὸς ὁ Θεὸς ἡμῶν τῷ κόσμῳ ἀνέτειλε καὶ ἀπὸ τοῦ σκότους τῆς πλάνης πρὸς τὸ φῶς τῆς θεογνωσίας ἡμᾶς ἐπανανήγαγε, διὰ τοῦτο καὶ ἡμεῖς ἀπὸ τοῦ σκότους ἀρχόμεθα καὶ πρὸς τὸ φῶς καταλήγομεν.

1. Γεν. 1, 3. 2. Γεν. 1, 5.

Ἐν τούτῳ κἂν ἡ νὺξ πρωτεύει, ἀρχὴν διδοῦσα ἡμᾶς καὶ παραπέμπουσα πρὸς τὸ φῶς. Καὶ γὰρ ὁ βίος οὗτος σκότος παρὰ τῇ Γραφῇ ὀνομάζεται, καθὼς ὁ θεσπέσιος Παῦλος οὕτω φησίν· «Ἀποθώμεθα τὰ ἔργα τοῦ σκότους καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός·[1]» τουτέστι τοῦ μέλλοντος αἰῶνος. Φῶς γὰρ ὁ μέλλων ἐστί. Τὰ δὲ ὅπλα τοῦ φωτὸς ἐκείνου εἰσὶν αἱ ἀρεταί. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· «Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε, ἵνα μὴ σκοτεία ὑμᾶς καταλάβῃ.[2]» Φῶς δὲ τὰς ἀρετὰς ἐκάλεσεν, ἃς δύναται ἔχειν ὁ ἄνθρωπος ἕως οὗ ζῇ· μετὰ θάνατον γὰρ οὐ δύναται ταῦτα εὑρεῖν. Σκότος δὲ ὁ αἰὼν οὗτος διὰ τὰς σκοτεινὰς αὐτοῦ πράξεις καὶ ἀθεμίτους· ὡς πάλιν εἴρηκεν ὁ Χριστός· «Ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτείᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.[3]» Καὶ γὰρ τὸ ἀκολουθεῖν τῷ Χριστῷ τοῦτό ἐστι τὸ ποιεῖν τὰ εὐάρεστα αὐτοῦ καὶ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ. Ὁ τοιοῦτος γὰρ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτείᾳ, τουτέστιν ἐν ταῖς ματαίαις ὁδοῖς τοῦ βίου τούτου, ἀλλὰ κατασκηνώσει καὶ καταλαβεῖ τὸ αἰώνιον φῶς τῆς ζωῆς τοῦ μέλλοντος αἰῶνος καὶ τὴν ἐκεῖ ἀπέραντον εὐφροσύνην καὶ ἀγαλλίασιν.

Ἐρώτ. νη'. Ὅτι μετὰ τὴν βρῶσιν ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν ὅ τε Ἀδὰμ καὶ ἡ Εὔα, ἢ καὶ πρὸ τῆς βρώσεως εἶχον ταύτην τὴν αἴσθησιν;

Ἀπόκ. Ὥσπερ τὰ κομιδῇ νήπια ἐρυθριᾶν οὐ πέφυκε τῆς ἐσθῆτος γυμνούμενα, ἀλλὰ κατὰ μικρὸν τοῦ σώματος αὐξανομένου, καὶ τὴν ἐντροπὴν προσλαμβάνουσιν· οὕτω δὴ καὶ περὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας. Εὐθὺς μὲν πλασθέντες, οἷα δὴ νήπιοι καὶ εὐθυγενεῖς, καὶ τῆς ἁμαρτίας ἀμέτοχοι, οὐκ ᾐσχύνοντο δίχα περιβολαίου· μετὰ δὲ τὴν πεῖραν τῆς ἁμαρτίας φύλλοις συνεκάλυψαν τὰ ἑαυτῶν μόρια.

Ἐρώτ. νθ'. Τί ἐστιν, ὅτι «Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν;[4]»

Ἀπόκ. Ἐλεγκτικῶς τὴν εἴκασιν τοῦ Ἀδὰμ μεμφόμενος λέγει ὁ Θεός. Μὴ ὃ ἐνόμισας γενέσθαι ἐγένετο; Μὴ Θεὸς ἐγένου, καθὼς ὁ πονηρὸς εἶπέ σοι καὶ ἐπλάνησέ σε; Ἐπιθυμήσας γὰρ ὑψηλότερος γενέσθαι, εἰς τὸ ἧττον ἐξέπεσεν.

Ἐρώτ. ξ'. Τί ἐστι τό, «Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ καὶ σὺ αὐτοῦ ἄρξεις;[5]»

Ἀπόκ. Τοῦ προσενεχθέντος δώρου εἶπεν ὁ Θεὸς τῷ Κάϊν, ὅτι, Αὐτοῦ τοῦ δώρου οὗ προσήγαγες, προσγένηταί σοι ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἐξουσιάσεις αὐτοῦ. Ὡς θέλεις ποίησον. Ἐγὼ γὰρ αὐτὸ οὐ προσεδεξάμην.

Ἐρώτ. ξα'. Διὰ τί, ἁμαρτήσαντος τοῦ Ἀδάμ, Ἄβελ ὁ δίκαιος ἐτελεύτησεν;

Ἀπόκ. Ἐπειδὴ οὐκ ἠθέλησεν ὁ Θεὸς γενέσθαι τοῦ θανάτου τὸ θεμέλιον ἰσχυρόν· εἰ γὰρ ὁ Ἀδὰμ πρῶτος ἐτελεύτησεν, ἰσχυρὰν ἐκεῖνος

---

1. Ῥωμ. 13, 12. 2. Ἰω. 12, 35. 3. Ἰω. 8, 12. 4. Γεν. 3, 22. 5. Γεν. 4, 7.

ἂν τὴν κρηπῖδα ἔσχεν, ὡς πρῶτον νεκρὸν τὸν ἡμαρτηκότα δεξάμενος. 'Επειδὴ δὲ τὸν ἀδίκως ἀνῃρημένον πρῶτον ἐδέξατο, σφαλερὸν ἔχει καὶ σαθρὸν αὐτοῦ τὸ θεμέλιον.

'Ερώτ. ξβ'. Τί λέγει, ὅτι «Πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει;[1]»

'Απόκ. Τοῖς παρὰ τοῦ Κάϊν τετολμημένοις πρῶτον ἁμάρτημα φθόνος ἐπὶ τῇ προτιμήσει τοῦ Ἄβελ· δεύτερον δόλος, μεθ' οὗ διηλέχθη τῷ ἀδελφῷ εἰπών· «Διέλθωμεν εἰς τὸ πεδίον·[2]» τρίτον φόνος, προσθήκη τοῦ κακοῦ· τέταρτον, ὅτι τοῦ ἀδελφοῦ μείζων ἡ ἐπίτασις· πέμπτον, ὅτι γονεῦσι πένθος ἐποίησεν· ἕκτον, ὅτι τὴν γῆν αἵμασιν ἐμίανεν· ἕβδομον, ὅτι Θεὸν ἐψεύσατο. 'Ερωτηθεὶς γάρ, ὅτι «Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου;» εἶπεν· «Οὐκ οἶδα.[3]» 'Επτὰ οὖν ἐκδικούμενα παρελύετο ἐν τῷ ἀναιρεθῆναι τὸν Κάϊν.

'Επτὰ ἐκδικούμενά εἰσι ταῦτα· πρῶτον, ὅτι τὸν Θεὸν παρώργισε· δεύτερον, ὅτι τὸν πατέρα ἐλύπησε· τρίτον, μητέρα ἄτεκνον ἀπέδειξε· τέταρτον, ἀδελφὸν ἀπέκτεινε· πέμπτον, αἷμα ἐξέχεεεν· ἕκτον, φόνον εἰργάσατο· ἕβδομον, ᾅδην ἐνεκαίνισεν.

'Ερώτ. ξγ'. Τί ἔστι· «Μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί μοι[4] ζῆν καὶ μὴ ἀποθανεῖν;»

'Απόκ. «Μείζων ἐγένετο ἡ καταδίκη μου·» καὶ γὰρ τοιοῦτος γέγονεν ὁ Κάϊν ἐκ τῆς κατάρας τοῦ Θεοῦ, ὅτι ὁ τρόμος καὶ ὁ κλόνος τῶν μελῶν αὐτοῦ, οὗ εἶχεν, οὐδὲ βρῶμα βαλεῖν ἐν τῷ στόματι αὐτοῦ ἠδύνατο.

'Ερώτ. ξδ'. Τί λέγει Λάμεχ, ὅτι «Ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοί, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί;[5]»

'Απόκ. Οὐ δύο λέγει, καθὼς τινες ὑπειλήφασιν, οὐδὲ τὸν Κάϊν, ὡς ἕτεροι μεμυθολογήκαμεν, ἀλλ' ἕνα, καὶ τοῦτον νέον· «ἄνδρα» γὰρ «εἰς τραῦμα ἐμοί, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί·» τουτέστιν, ἄνδρα νέον ἔχοντα τὴν ἡλικίαν. Διέφυγε δὲ τὴν τιμωρίαν διὰ τὴν ὁμολογίαν τῆς ἁμαρτίας, καὶ καθ' ἑαυτοῦ τὴν ψῆφον ἐπενεγκών, τὴν θείαν ἐκώλυσε ψῆφον.

'Ερώτ. ξε'. Τίνας υἱοὺς Θεοῦ κέκληκεν ὁ Μωσῆς, εἰπών· «'Ιδόντες δὲ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ἔλαβον ἑαυτοῖς γυναῖκας;[6]»

'Απόκ. 'Εκ μὲν τοῦ 'Αδὰμ ἐγεννήθη ὁ Σήθ· τρίτος γὰρ ἦν ἀπὸ τοῦ Ἄβελ· ἐκ δὲ τοῦ Σὴθ ὁ 'Ενώς. Οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸν Κύριον καὶ Θεόν. Ὅθεν οἱ ἐκ τούτου γεννηθέντες παῖδες υἱοὶ Θεοῦ ἐχρημάτισαν, ὥσπερ καὶ ἡμεῖς ἐκ τῆς τοῦ δεσπότου Χριστοῦ προσηγορίας Χριστιανοὶ καλούμεθα. Καὶ γὰρ κεχώριστο τοῦ Σὴθ τὸ γένος καὶ οὐκ ἐμίγνυτο τοῖς ἐκ τοῦ Κάϊν διὰ τὴν ἐπενεχθεῖσαν αὐτῷ παρὰ τοῦ Θεοῦ

1. Γεν. 4, 15. 2. Γεν. 4, 8. 3. Γεν. 4, 9. 4. Γεν. 4, 13. 5. Γεν. 4, 23. 6. Γεν. 6, 2.

τῶν ὅλων ἀράν. Ὕστερον καὶ εὐειδεῖς θεασάμενοι τὰς θυγατέρας τῆς τοῦ Κάϊν συγγενείας καὶ καταθεχθέντες, ἔλαβον αὐτὰς ἑαυτοῖς εἰς γυναῖκας καὶ διέφθειρον τὴν οἰκείαν συγγένειαν.

Ἐρώτ. ξς'. Τί ὃ λέγει· «Ἀναβλέψας Ἀβραάμ, εἶδε· καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος τῶν κεράτων αὐτοῦ ἐν φυτῷ Σαβέκ; [1]»

Ἀπόκ. Φυτὸν Σαβὲκ ὁ τίμιός ἐστι σταυρός· κατὰ δὲ Ἑβραίους δοκεῖ τὸ Σαβὲκ ἀφέσεως καὶ συγχωρήσεως. Ὁ δὲ ἐν τῷ Σαβὲκ τῷ φυτῷ κατεχόμενος κριός, ὅστις καὶ εἰς θυσίαν προσήχθη ἀντὶ Ἰσαάκ, τὸν Χριστὸν προετύπου, τὸν προσενεχθέντα ὑπὲρ ἡμῶν ἄμωμον ἱερεῖον, καὶ ἐν τῷ σταυρῷ θάνατον ὑποστάντα ἕνεκεν ἡμῶν. «Τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν [2]», φησὶν Ἡσαΐας, «καὶ περὶ ἡμῶν ὀδυνᾶται [3], καὶ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν.[4]» Ὥσπερ ὁ κριὸς ἐκεῖνος οὖν προσήχθη ἀντὶ Ἰσαάκ, οὕτω καὶ ὁ Χριστὸς προσήχθη ὑπὲρ ἡμῶν ἁπάντων.

Ἐρώτ. ξζ'. Τί λέγει ὁ Ἰσαάκ, ὅτι «Ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου ὡς ὀσμὴ ἀγροῦ πλήρης, ὃν εὐλογῆσαι Κύριος, καὶ δῴη σοι Κύριος ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου καὶ οἴνου, καὶ δουλευσάτωσάν σοι ἔθνη [5]», καὶ τὰ ἑξῆς.

Ἀπόκ. Ἀγρός ἐστιν ὁ κόσμος· δρόσος δὲ οὐρανοῦ ἡ θεότης· πιότης δὲ τῆς γῆς ἡ ἀνθρωπότης. Ὥσπερ τοίνυν ἡ δρόσος μὲν ἀοράτως κάτεισι κάτω δὲ συνισταμένη γίνεται δήλη· οὕτως ἀόρατος ὢν ὁ Θεὸς Λόγος, διὰ τῆς σαρκὸς ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Καὶ ὁ σῖτος δὲ καὶ ὁ οἶνος τῶν θείων μυστηρίων αἰνίγματα. Δουλεύουσι πάντα τὰ ἔθνη τῷ Χριστῷ.

Ἐρώτ. ξη'. Τί δηλοῖ, ὅτι ἔλαβεν ὁ Ἰακὼβ τρεῖς ῥάβδους, χλωρὰν στυρακίνην καὶ καρυΐνην καὶ πλατανίαν, καὶ ἐλέπτυνεν αὐτάς; [6]»

Ἀπόκ. Αἱ τρεῖς ῥάβδοι συμβολικῶς εἰσιν αἱ τρεῖς δυνάμεις τῆς ψυχῆς, τὸ λογικὸν καὶ τὸ ἐπιθυμητικὸν καὶ τὸ θυμητικόν· ἤτοι αἱ τρεῖς θεωρίαι τῶν σωμάτων, τῶν ἀσωμάτων καὶ τῆς ἁγίας Τριάδος. ἤτοι γενικῶς ἡ πρακτικὴ διὰ τῆς καρυΐνης, ἡ θεωρητικὴ δὲ διὰ τῆς στυρακίνης· διὰ δὲ τῆς πλατάνου τὸν κόσμον τοῦτον καὶ τὴν θεωρίαν αὐτοῦ ἠνίξατο.

Ἐρώτ. ξθ'. Τίνος χάριν ὁ Ἰακὼβ ἀναβλέψας εἶδε παρεμβολὴν Θεοῦ παρεβεβλημκυῖαν καὶ εἶπεν· «Παρεμβολὴ Θεοῦ αὕτη; [7]»

Ἀπόκ. Διὰ τοῦτο ἡ παρεμβολὴ τῶν ἀγγέλων φαίνεται τῷ Ἰακώβ, ἵνα θαρσήσῃ καὶ μὴ φοβηθῇ τὸν ἀδελφὸν αὐτοῦ Ἡσαῦ. Ἐβούλετο γὰρ ὁ Ἡσαῦ ἀποκτεῖναι αὐτὸν καὶ διὰ τοῦτο ἐπάλαισε καὶ μετ' ἀγγέλου, καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος· «Ἐμὲ νενίκηκας καὶ ἄνθρωπον δέδοικας;» ἔγνω δὲ ὅτι τὸν Θεὸν ἔχει βοηθόν.

Ἐρώτ. ο'. Τί ἐστι· «Σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ

---

1. Γεν. 22, 13. 2. Ἡσ. 53, 5. 3. Ἡσ. 53, 4. 4. Ἡσ. 53, 5. 5. Γεν. 27, 27-29. 6. Πρβλ. Γεν. 30, 37. 7. Γεν. 32, 2.

υἱέ μου, ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων[1]», καὶ τὰ ἑξῆς;

Ἀπόκ. Τοῦτο ἁρμόττει ἐπὶ τοῦ Χριστοῦ. Ὥσπερ γὰρ ὁ λέων καὶ καθεύδων φοβερός ἐστιν, οὕτως ὁ δεσποτικὸς θάνατος φοβερὸς καὶ τῷ θανάτῳ καὶ τῷ διαβόλῳ. Λέοντα δὲ αὐτὸν ἐκάλεσε καὶ σκύμνον λέοντος ὡς βασιλέα καὶ ὡς βασιλέως υἱόν. Τὸ δέ, «Τίς ἐγερεῖ αὐτόν;» τὴν ἄφατον αὐτοῦ δείκνυσι δύναμιν. Αὐτὸς γὰρ ἑαυτὸν ἀνέστησε κατὰ τὴν αὐτοῦ πρόρρησιν φησὶ γάρ· «Λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.[2]»

Ἐρώτ. οα΄. Τί ἐστι· «Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ;[3]»

Ἀπόκ. Ἄμπελον μὲν τὴν Ἱερουσαλὴμ λέγει· πῶλον δὲ τὸν ἐξ ἐθνῶν λαόν, ὡς ἀδάμαστον. Τοῦτο γὰρ καὶ ὁ Κύριος ᾐνίξατο, ἀποστείλας τοὺς μαθητὰς πρὸς τὸ λῦσαι τὸν ὄνον καὶ τὸν πῶλον, ἐφ' ᾧ οὐδεὶς ἀνθρώπων ἐκάθισεν. Οὔτε πατριάρχης, οὔτε νομοθέτης, οὔτε προφήτης τῶν ἐθνῶν ἐφρόντισε σωτηρίας· ἀπόστολοι προσταχθέντες ἔλυσαν τὴν τῶν ἀνθρώπων φύσιν, δεδεμένην ταῖς ἁμαρτίαις.

Ἐρώτ. οβ΄. Τί ἐστιν ὃ λέγει· «Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ[4]», καὶ τὰ ἑξῆς;

Ἀπόκ. Τὰ κατὰ τοῦ πάθους τοῦ Χριστοῦ λέγει· καὶ τὸ μὲν σῶμα στολὴν ὀνομάζει, τὸ δὲ αἷμα οἶνον· ἐπειδὴ καὶ τὸν μυστικὸν οἶνον αἷμα κέκληκεν ὁ δεσπότης. Τὸ δέ, Χαρωποὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, τὴν μετὰ τὸ πάθος εὐφροσύνην δηλοῖ.

Ἐρώτ. ογ΄. Τίς Θεὸν πρῶτος ὠνόμασεν ἐπὶ τῆς γῆς;

Ἀπόκ. Ὁ διάβολος εἰπὼν τῇ Εὔᾳ· «Τί ὅτι εἶπεν ὁ Θεὸς μὴ φαγεῖν ἀπὸ τοῦ ξύλου;[5]

Ἐρώτ. οδ΄. Τί μέλλουσι γενέσθαι τὰ στοιχεῖα, ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὰ ἄστρα ἐν τῇ δευτέρᾳ παρουσίᾳ;

Ἀπόκ. Δοθήσεται αὐτοῖς τόπος κατοικίας ἐν ἑνὶ μέρει, πλὴν οὐκ εἰς τέλος ἀφανισθήσονται.

Ἐρώτ. οε΄ Διὰ τί τῷ μὲν Κάϊν κατηράσατο ὁ Θεός, λέγων· «Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς·[6]» ἐπὶ δὲ τοῦ Ἀδὰμ τῇ γῇ ἐπέθετο τὴν κατάραν εἰπών· «Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου;[7]»

Ἀπόκ. Ὅτι ὁ μὲν Κάϊν ἠρνήσατο τὸν Θεόν, κρύψας τὸ ἁμάρτημα· διὸ καὶ μείζονα τὴν καταδίκην εἰργάσατο· ὁ δὲ Ἀδὰμ ὁμολογήσας, τὴν πολλὴν ἐξ αὐτοῦ ἀπώσατο τιμωρίαν· ὁ γὰρ τὰ ἑαυτοῦ πταίσματα ἐξομολογησάμενος ἐπιτυγχάνει ἀφέσεως.

Ἐρώτ. ος΄. Τί ἐστιν· «Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;[8]»

Ἀπόκ. Ἔθνη λέγει τῶν Ῥωμαίων, ἤγουν τῶν Φράγγων τὸ γένος, τῶν σταυρωσάντων τὸν Χριστόν. Λαὸν δὲ λέγει τῶν Ἰουδαίων τὴν

1. Γεν. 49, 9. 2. Ἰω. 2, 19. 3. Γεν. 49, 11. 4. Γεν. 49, 11. 5. Γεν. 3, 1. 6. Γεν. 4, 11. 7. Γεν. 3, 17. 8. Ψαλμ. 2, 1.

κεφαλήν. Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, ὁ Πιλᾶτός τε καὶ ὁ Ἡρώδης, ἄρχοντες δὲ Ἄννας καὶ Καϊάφας.

Ψαλμὸς ὑπὲρ τῶν ληνῶν.

Ἐρώτ. οζ΄. Τίνας λέγει ληνούς;

Ἀπόκ. Τὰς ἐκκλησίας, ἐν αἷς ἐκχεῖται ὁ οἶνος, ἤτοι τὸ ἅγιον αἷμα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ θύεται καὶ τὸ ἅγιον σῶμα αὐτοῦ. Ὃ δὲ λέγει ὁ προφήτης Ἡσαΐας, ὅτι «Ληνὸν ἐπάτησα μονώτατος[1]», τοῦτο ἑρμηνεύει. Ὥσπερ ἡ ληνὸς δοχεῖόν ἐστι, καὶ ἐν ταύτῃ καταπατοῦνται αἱ σταφυλαί· οὕτως κατεπάτησε καὶ ὁ Χριστὸς τοὺς ἐχθροὺς αὐτοῦ, νοητούς τε καὶ αἰσθητούς. Εἴπωμεν δὲ καὶ τοῦτο, ὅτι βότρυς καὶ σταφυλὴ ὁ Χριστός, ὅστις ἀποθλίψας ἑαυτὸν ἑκουσίᾳ πληγῇ καὶ θανάτῳ, ἀπέσταξε τὸ θεῖον γλεῦκος καὶ ἐφοίνιξεν ἑαυτὸν τῷ ἰδίῳ αἵματι. Μονώτατος δέ ἐστιν, ὅτι μόνος αὐτὸς ὁ Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν· «Οὔτε γὰρ ἄγγελος, οὔτε πρέσβυς, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς. «Ὁ δὲ Πέτρος ἠρνήσατο ἐν τῷ τοῦ πάθους καιρῷ, καὶ οἱ λοιποὶ ἔφυγον ἀπόστολοι.

Ἐρώτ. οη΄. Τί ἐστιν· «Οἱ διψῶντες, πορεύεσθε ἐφ' ὕδωρ;[2]»

Ἀπόκ. Ὕδωρ τὸ ἅγιον βάπτισμα δηλοῖ, ἢ τὴν τῶν δακρύων πηγήν, ἤτοι τὴν μετάνοιαν. Τὸ δέ, «Βαδίσαντες ἀγοράσατε, καὶ φάγετε καὶ πίετε ἄνευ ἀργυρίου[3]», τὸ ἅγιον βάπτισμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὡσαύτως καὶ τό, «Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ[4]», τὸ ἅγιον ἐμφαίνει βάπτισμα, ἐπειδὴ κατακλύζει πάσας τὰς ἁμαρτίας.

Ἑρμην· οθ΄. Τί, «Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός;[5]»

Ἀπόκ. Τοῦτο δηλοῖ τὴν μέλλουσαν κόλασιν τοῦ πυρός· ἐπειδὴ τῇ τοῦ Χριστοῦ προστάξει μέλλει διαιρεθῆναι! Τὸ πῦρ γὰρ ἔχει δύο ἐνεργείας· καὶ τὸ μὲν φωτίζον μέλλει δοῦναι τοῖς δικαίοις, τὸ δὲ καῖον τοῖς ἁμαρτωλοῖς.

Ἑρμηνεία π΄. «Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων.[6]»

Ἀπόκ. Ὑετοί εἰσιν οἱ ἀπόστολοι Ἐπλήσθησαν γὰρ παντοίων δωρεῶν καὶ χαρισμάτων. Ἐντεῦθεν καὶ πᾶς ἄνθρωπος καθαρὸς καὶ ἐνάρετος τοιοῦτος ὑπάρχει· καὶ γὰρ τὸ ὕδωρ καὶ ἡ δρόσος ἐν τῇ Γραφῇ, ποτὲ μὲν δηλοῖ τὸ χάρισμα τοῦ Θεοῦ, ποτὲ δὲ τοὺς πειρασμοὺς καὶ τὴν ταραχὴν τῆς ψυχῆς.

Ὅταν δὲ λέγῃ, ὅτι «Ὁ πιστεύων εἰς ἐμέ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ·[7]» καί, «Ὡς δρόσος Ἀερμῶν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών[8]», τὰ χαρίσματα λέγει τοῦ ἁγίου Πνεύματος. Ὄρη δὲ Σιὼν λέγει τοὺς κατὰ Θεὸν ζῶντας πνευματικούς.

Πάλιν ὅταν λέγῃ· «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως

---

1. Πρβλ. Ἡσ. 63, 3. 2. Ἡσ. 55, 1. 3. Ἡσ. 55, 1. 4. Ψαλμ. 28, 10. 5. Ψαλμ. 28, 7. 6. Ψαλμ. 64, 10. 7. Ἰω. 7, 38. 8. Ψαλμ. 132, 3.

ψυχῆς μου·[1]» καί, «Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον[2]», τοὺς πειρασμοὺς λέγει τῆς ψυχῆς.

Ἐρώτ. πα'. Τί ἐστιν· «Ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν;[3]»

Ἀπόκ. Τοῦτο λέγει, ὅτι ἀναβὰς ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ, τὸν ᾅδην ἐσκύλευσε καὶ ᾐχμαλώτευσε. Τοῦτό ἐστι καὶ τὸ λέγον· «Εἶπεν ὁ Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω», τουτέστιν ἀπὸ τοῦ σταυροῦ ἐπιστρέψω εἰς ᾅδην. Βασὰν γὰρ ἑρμηνεύεται αἰσχύνη. Οἱ γὰρ Ἰουδαῖοι τὸν σταυρὸν ὡς αἰσχύνην εἶχον καὶ κατάρας ὄργανον τοῦτο ὠνόμαζον. Ἀλλ' ὁ Χριστὸς ἡγίασεν αὐτόν, ὡς ἐν αὐτῷ τὴν σωτηρίαν τῶν ἀνθρώπων πραγματευσάμενος.

Ἐρώτ. πβ'. Τί λέγει· «Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν;[4]»

Ἀπόκ. Πλουσίους ἐνταῦθα τοὺς Ἰουδαίους καλεῖ· ἐπτώχευσαν δέ, ἐπειδὴ ἀπέκτειναν τὸν ἄρτον τῆς ζωῆς καὶ ἦλθεν ἐπ' αὐτοὺς ὁ λιμός·

Ἐρώτ. πγ'. Τί λέγει, «Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν;[5]»

Ἀπόκ. Ὃ λέγει, τοιοῦτόν ἐστιν· ὥσπερ ἡ πρωΐα ἀρχὴ τῆς ἡμέρας ἐστίν, οὕτω καὶ πάσης ἁμαρτίας ἐστὶν ἀρχὴ ὑποβολὴ τοῦ ἐχθροῦ. Διὸ λέγει· «Εἰς τὰς πρωΐας ἀπέκτεινον, «τουτέστιν εἰς τὰς ἀρχὰς τῶν λογισμῶν ἐσκόπουν καὶ ἐδίωκον τὰς προσβολὰς αὐτῶν καὶ πάντας τοὺς ἁμαρτωλούς, ἤτοι τοὺς δαίμονας, τοὺς ποιοῦντας ἐν ἐμοὶ τὴν ἁμαρτίαν, «ὅπως ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας», τουτέστιν ἐκ τῆς ψυχῆς. Πόλις γὰρ Κυρίου ἐστὶν ἡ ψυχή. Ἐδίωκον γάρ, φησί, καὶ ἀπέκλεινον τὰς κεφαλὰς αὐτῶν, ἤτοι τὰς ἀρχάς, ὅπως ἐξολοθρεύσω αὐτοὺς ἐκ τῆς ψυχῆς, τοῦ μὴ ἐργάζεσθαι πᾶσαν ἀνομίαν καὶ ἁμαρτίαν.

Ἐρώτ. πδ'. Τί λέγει· «Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται;[6]»

Ἀπόκ. Σκύμνους, λέγει τοὺς προφήτας. Ὠρύοντο δὲ κράζοντες καὶ λέγοντες καὶ προφητεύοντες τὴν σάρκωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἀνέτειλεν δὲ ὁ ἥλιος, τουτέστιν, ἦλθεν ὁ Χριστός, καὶ ἐσιώπησαν. Οἱ προφῆται ἕως Ἰωάννου προεφήτευσαν. Τοῦτό ἐστι καὶ ὃ λέγει ἡ Γραφὴ ἀλλαχοῦ· «Σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων· Ἀπὸ τῆς τηλαυγήσεως αὐτοῦ οἱ νεφέλαι διῆλθον.[7]» Σκοτεινὸν ὕδωρ λέγει τὴν θείαν Γραφήν, ἐπειδὴ ἐν γνόφῳ ἐδέξατο ὁ Μωσῆς τὸν νόμον ἐν τῷ Σινᾶ παρὰ Θεοῦ. Ἔτι δὲ καὶ οἱ προφῆται ἀμυδρῶς πως καὶ σκοτεινῶς καὶ λεπτῶς πως τὴν παρουσίαν τοῦ Χριστοῦ ἔβλεπον καὶ ἐδήλουν. Νεφέλας γὰρ τοὺς προφήτας λέγει, ἐπειδὴ ἐκήρυξαν, καὶ ὡς ὕδωρ ἐξέ-

---

1. Ψαλμ. 68, 2. 2. Ψαλμ. 123, 5. 3. Ψαλμ. 67, 19. 4. Ψαλμ. 33, 11. 5. Ψαλμ. 100, 8. 6. Ψαλμ. 103, 21-22. 7. Ψαλμ. 17, 12-13.

χεον, πνεύσαντες ὡς ἀέρες τὸν θεῖον λόγον καὶ νόμον ἐπὶ τῆς γῆς, ὅπερ ἐστὶ τὸ σκοτεινὸν ὕδωρ. Ἀπὸ δὲ τῆς τηλαυγήσεως αὐτοῦ ἐνώπιον αὐτοῦ, ἢ ὡς ἀπὸ τῆς διὰ σαρκὸς ἐπιδημίας αὐτοῦ ἔμπροσθεν αὐτοῦ αἱ νεφέλαι, ἤγουν οἱ προφῆται, ἔπαυσαν καὶ ὑπεχώρησαν.

Ἐρώτ. πε΄. Τί ἐστιν· «Ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ;[1]»

Ἀπόκ. Ἡ θεία Γραφὴ πολλαχῶς ἑρμηνεύει τὸ ὄρος. Καὶ τοῦτο μὲν ὄρος Σιών ἐστιν ὁ τόπος Ἱερουσαλήμ, ἐν ᾧ κατῴκησεν ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς σαρκωθεὶς ἐπὶ τῆς γῆς. Ὄρος πάλιν δὲ κυρίως ὀνομάζει τὴν ὑπεραγίαν Θεοτόκον, ὡς ὅταν λέγῃ· «Τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ· καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος·[2]» καὶ ἀλλαχοῦ· «Ὁ Θεὸς ἀπὸ Θεμὰν ἥξει καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου καὶ δασέως.[3]» Ὄρος δὲ λέγεται ἡ ἁγία Θεοτόκος. Ἐπεὶ ὥσπερ οἱ ἐν τῷ κάμπῳ περιπατοῦντες καὶ φλεγόμενοι ὑπὸ τοῦ καύματος, προσεγγίζοντες ἐν τῷ ὄρει, δροσίζονται ὑπὸ τὴν σκιὰν τῶν δένδρων τοῦ ὄρους, ἢ καὶ διὰ τοῦ ὕδατος παραμυθοῦνται τὸν καύσωνα τῆς φλογός, τοιούτῳ τρόπῳ γέγονε καὶ τοῖς ἀνθρώποις ἡ ἁγνὴ Παρθένος, τῷ δροσισμῷ τῆς κυοφορίας αὐτῆς τὰς ψυχὰς τῶν ἀνθρώπων καταφλεγομένας ὑπὸ τῆς ἁμαρτίας ἀνεζώωσε καὶ τῇ σκιᾷ τῶν πτερύγων τοῦ Υἱοῦ αὐτῆς περιέθαλψεν. Ὄρος δὲ λέγονται καὶ οἱ δαίμονες διὰ τὸν ὄγκον τῆς ὑπερηφανίας. «Ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται·[4]» τουτέστιν, ὁ προσεγγίζων τοῖς δαίμοσι, καὶ ὡς καπνὸς διαλύονται καὶ ἀφανίζονται. Ὄρος δὲ λέγεται καὶ ἡ ἀρετή, καθὼς ὁ ἐν ἁγίοις Γρηγόριός φησιν· ἐπεὶ καὶ ἐν τῷ ὄρει τούτῳ Θεὸς ἀνθρώποις φαντάζεται, τὸ μέντοι καταβαίνων ἀπὸ τῆς οἰκείας περιωπῆς, τὸ δὲ ἡμᾶς ἀνάγων ἐκ τῆς κάτωθεν ταπεινώσεως.

Ἐρώτ. πς΄. Διὰ τί λέγεται ὄρος ἡ ἀρετή;

Ἀπόκ. Ἐπειδὴ ὥσπερ τὸ ὄρος ὑψηλὸν τῆς γῆς, χαμηλότερον δὲ τοῦ οὐρανοῦ, οὕτως ἐστὶ καὶ ὁ ἐργαζόμενος τὴν ἀρετήν· ὑψηλότερος μέν ἐστι τῆς γῆς, διότι ἀνώτερος ὑπάρχει τῶν βιωτικῶν φροντίδων καὶ τῶν τοῦ κόσμου ὑλῶν· χαμηλότερος δὲ ὑπάρχει τοῦ οὐρανοῦ, ἐπειδὴ ἀκμὴν ἐν τῷ βίῳ τούτῳ ἐστί, καὶ οὐκ ἀπέθανε, ἵνα ἐλευθερωθῇ παντελῶς τοῦ κόσμου τούτου· καὶ ἐν τούτῳ ἵσταται μέσον οὐρανοῦ καὶ γῆς, καθάπερ τι ὄρος, ὡς εἴρηται· ἐπειδὴ καί, «Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις[5]», ὅταν λέγῃ, τὰς ὑψηλὰς ἀρετὰς ὀνομάζει· ἐλάφους δὲ τὰς ψυχὰς τῶν ἁγίων· ἐπειδὴ ἐν ταῖς ὑψηλαῖς τῶν ἀρετῶν ἐργασίαις, ὥσπερ ἔλαφοι ἐν τῷ ὄρει, τριβοβατοῦσιν αἱ ψυχαὶ τῶν ἁγίων. Πέτρα δὲ καταφυγὴ τοῖς λαγωοῖς ἐστιν ὁ Χριστός. Ὑπάρχει δὲ καταφυγὴ τῶν ἐν ἐρήμῳ καθεζομένων.

Ἐρώτ. πζ΄. Τί λέγει τοῦ ἐρωδιοῦ ἡ κατοικία;

---

1. Ψαλμ. 73, 2. 2. Ψαλμ. 67, 17. 3. Ἀββ. 3, 3. 4. Ψαλμ. 103, 32. 5. Ψαλμ. 103, 18.

᾿Απόκ. ῾Ο ἐρωδιὸς ὄρνεόν ἐστιν, ὡς λέγουσί τινες· τὸ δὲ ὄρνεον φωλεύει ἐν ἐρήμῳ τόπῳ ἐν κορυφῇ τινος δένδρου. Ἔρχονται δὲ τὰ μικρὰ στρουθία καὶ φωλεύουσιν ὑποκάτω αὐτοῦ γύρωθεν ἐν τῷ δένδρῳ. ῾Ηγεῖται δὲ αὐτῶν καὶ ἐπικαθέζεται ἡ κατοικία τοῦ ἐρωδιοῦ, φυλάττει δὲ ταῦτα ἀπὸ τῶν φθοροποιῶν ἑρπετῶν, τῶν θελόντων κακῶσαι αὐτά.

᾿Ερώτ. πη΄. Τί λέγει ὁ Προφήτης, ὅταν λέγῃ· «Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαυίδ; [1]»

᾿Απόκ. Τέλος λέγει ὁ Προφήτης τῆς ἑαυτοῦ ζωῆς. ᾿Επεύξεται τοίνυν ὁ Προφήτης, ἵνα μὴ γένηται τὸ τέλος τῆς ζωῆς καὶ περιπέσῃ εἰς βλάβην τινά. Πᾶσα γὰρ ἡ ζωὴ τοῦ ἀνθρώπου, ἐὰν δαπανηθῇ κακῶς, καὶ τὸ τέλος αὐτοῦ γένηται χρηστόν, χάρις καὶ δόξα ἐστίν. ᾿Εὰν δὲ τὸ τέλος καταστραφῇ, τοῦτο ἀθλιότης. Διὰ τοῦτο ἐπεύχεται ὁ Προφήτης γενέσθαι τὸ τέλος τῆς ζωῆς αὐτοῦ καλόν· ἐπὶ τοῦτο καὶ γὰρ ψαλμὸν συνεγράψατο.

᾿Ερώτ. πθ΄. Τί λέγει· «Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν; [2]»

᾿Απόκ. ῾Οσίους λέγει τοὺς πνευματικοὺς καὶ ἁγίους ἀνθρώπους, οἵτινες καυχῶνται μετὰ θάνατον ἐπὶ ταῖς κοίταις αὐτῶν. Κοῖται δέ εἰσιν αἱ μοναὶ τῶν ἁγίων, ἃς εὑρίσκουσι μετὰ θάνατον, καὶ ἀγάλλονται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Τὴν ἐν Θεῷ τελείωσιν διδάσκουσα ἡ θεία Γραφὴ καὶ δηλοῦσα ὠνόμασεν αὐτὴν ὕπνον καὶ κοίτην καὶ κλίνην καὶ θάνατον. Ὕπνον μέν, ὡς ὅταν λέγῃ ὁ Δαυίδ· «᾿Εν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω· [3]» ἤτοι ἐπὶ τὸ αὐτὸ καταντήσω· σχολάσω εἰς αὐτὸ τὸ ζῆν ἐν Θεῷ, κατὰ τὸν εἰπόντα ἅγιον ᾿Απόστολον· «Ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός· [4]» κοίτην δέ, ὡς ὅταν λέγῃ· «Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.[5]» Ὥσπερ γὰρ ὁ ἐν τῇ κοίτῃ πεσὼν ἀναπέπαυται καὶ ὑπνοῖ ἡδέως· οὕτως καὶ ὁ τελειωθεὶς ἐν Θεῷ καὶ φθάσας εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἀναπέπαυται ἐν Θεῷ, ὥσπερ κοίτην ἡγούμενος τὴν ἐν Θεῷ τελείωσιν. Πόδας καὶ τῆς κοίτης τὰς ἀρετὰς λέγει· κλίνην δέ, ὡς ὅταν φησὶ Σολομών· «῾Εξήκοντα δυνατοὶ κυκλοῦσιν αὐτήν.[6]» Ὅταν γὰρ εἰς τὸ τέλειον ἔλθῃ ὁ ἐνάρετος, περικυκλοῦσι καὶ περιστοιχοῦσιν αὐτὸν οἱ δυνατοί, ἤτοι οἱ ἄγγελοι, κατὰ τὸν εἰπόντα· «Προεωρώμην τὸν Κύριον ἐνώπιόν σου διὰ παντός, ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ [7]». Φίλον δὲ τῇ θείᾳ Γραφῇ καλεῖν καὶ τὸν ἄγγελον Κύριον, ὡς ἐπὶ τοῦ Μανωέ, «Θεὸν ἑωράκαμεν [8]», ἐν φαντασίᾳ Θεοῦ γενομένου. Θάνατον δὲ πάλιν εἴρηκεν αὐτὴν ὁ Δαυὶδ εἰπών· «Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.[9]» Εἶδες

1. Ψαλμ. 56, 1. 2. Ψαλμ. 149, 5. 3. Ψαλμ. 4, 9. 4. Γαλ. 2, 20. 5. Ψαλμ. 149, 5. 6. Ἄσμ. 3, 7. 7. Ψαλμ. 15, 8. 8. Κριτ. 13, 22. 9. Ψαλμ. 115, 6.

πῶς καὶ ὕπνον καὶ κοίτην καὶ κλίνην καὶ θάνατον αὐτὴν ἔδειξεν ἡ θεία Γραφή. Θάνατον δὲ ταύτην εἴρηκεν, ὅτι ὁ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Ὥσπερ γὰρ τὸν τεθνεῶτα οὐκ ἔστιν ἐπιστρέψαι ἐν βίῳ καὶ ἁμαρτῆσαι οὐκ ἔτι, οὕτως οὐδὲ τὸν οὕτω καταξιωθέντα οὐκ ἔστιν εἰς τὰ ὀπίσω στραφῆναι, ἀλλὰ λέγει μετὰ τοῦ Δαυίδ· «Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;[1]» μετὰ δὲ τοῦ Παύλου· «Ἐάν τε γὰρ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν·[2]» καὶ πάλιν· «Ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ.[3]» Εἰς τοῦτο τελειωθέντες οἱ ἅγιοι, κατεφρόνησαν τὸν κόσμον, καὶ οὐχ ἡδονὴν ἡγοῦντο τὴν ἡδονὴν τοῦ κόσμου τούτου. Οἱ δὲ μάρτυρες τὰς βασάνους κατεφρόνησαν.

Κείμενον ϟ΄. «Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.[4]»

Ἑρμην. Ὑψώσεις τοῦ Θεοῦ εἰσιν αἱ διδασκαλίαι τοῦ νόμου καὶ αἱ πνευματικαὶ διατάξεις· ὥσπερ γὰρ ἔχουσιν οἱ πνευματικοὶ διδάσκαλοι ἐκ τοῦ ἁγίου Πνεύματος χαρίσματα δωρεῶν ἐν τῷ λάρυγγι αὐτῶν, ἤτοι τῷ στόματι αὐτῶν καὶ τῇ γλώσσῃ, καὶ διδάσκουσι τὸν λαόν· ῥομφαῖαι δίστομοί εἰσιν αἱ δύο Διαθῆκαι, ὁ παλαιὸς νόμος καὶ ὁ νέος· ὥσπερ γὰρ ὁ στρατιώτης, βαστάζων ξίφος δίστομον, τοὺς ἐχθροὺς κατασφάττει καὶ τὸν λαὸν διασῴζει· οὕτως καὶ οἱ πνευματικοὶ διδάσκαλοι ῥομφαίας διστόμους ἔχουσι, τὰ διδάγματα τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης, δι᾽ ὧν ποιοῦσιν ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν καὶ εἰς τιμωρίαν ἐμβάλλουσιν αὐτούς, ἀποστέλλοντες αὐτοῖς ὀργὴν ἀπὸ τοῦ Θεοῦ, διὰ τῆς ἱκετηρίας τῆς πρὸς τὸν Θεόν. Ὡσαύτως καὶ τὸν κοινὸν λαὸν τῶν πιστῶν ἐλέγχουσι καὶ διδάσκουσιν εἰς τὸ ἀγαθόν. Ὅταν δὲ μὴ ἀκούσωσιν αὐτῶν, ἀλλ᾽ ἐναντιοῦνται τὸ ἀγαθὸν καὶ καταφρονοῦσιν αὐτῶν, τότε καὶ αὐτοῖς ἀποστέλλουσι διὰ προσευχῆς τιμωρίαν πρὸς σωφρονισμόν, ὅπως παιδευθέντες σωφρονισθῶσιν, μὴ παρακούειν Θεοῦ, μήτε τῶν θεραπόντων αὐτοῦ· ὅτι ὁ ἀκούων πνευματικῶν ἀνδρῶν ἀκούει Θεοῦ, καθὼς εἴρηκεν ὁ Χριστός. Οὐ γὰρ πρὸς βλάβην, ἀλλὰ πρὸς ὠφέλειαν ἐπάγουσι τὴν παιδείαν οἱ πνευματικοὶ καὶ πρὸς διόρθωσιν ἀγαθοῦ, εἰς δόξαν Θεοῦ, ὡς ζηλωταὶ καὶ ἐκδικηταὶ τοῦ Θεοῦ καὶ μισηταὶ τοῦ κακοῦ.

ΕΞ ΕΠΙΣΤΟΛΩΝ ΠΑΥΛΟΥ

Ἐρώτ. ϟα΄. «Δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται.[5]»

---

1. Ψαλμ. 26, 1. 2. Ῥωμ. 14, 8. 3. Γαλ. 2, 20. 4. Ψαλμ. 149, 6. 5. Ῥωμ. 2, 10-12.

Ἑρμηνεία, Ἐπαινεῖ πάντας τοὺς ἐργαζομένους τὸ ἀγαθόν. Ἕλληνα δὲ οὐ τὸν εἰδωλολάτρην λέγει, ἀλλὰ τὸν θεοσεβῆ, μὴ πιστεύοντα δὲ τὸν Χριστόν, μήτε νόμον κρατοῦντα τὸν παλαιόν· ἀλλὰ χωρὶς νόμου ὑπάρχει. Ὀνομάζει δὲ καὶ σέβεται τὸν Θεὸν καὶ φυλάττει καὶ ἀρετήν. Ὁ τοιοῦτος ἐὰν καὶ πταίσῃ, ἐλαφρότερον μέλλει κολάζεσθαι ὑπὲρ τὸν Ἰουδαῖον, ὅτι ὁ Ἰουδαῖος παραβαίνει τὸν νόμον καὶ ἔχει τὴν κατηγορίαν μείζονα. Ὅταν γὰρ ἀκούσῃς τό· «Ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται·» τὴν ἐλαφροτέραν κόλασιν ὑπολάμβανε· τὸ δέ, «Ὅσοι ἐν νόμῳ ἥμαρτον», τὴν χείρονα κόλασιν καὶ τιμωρίαν.

Κείμενον ϟβ'. «Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.[1]»

Ἀπόκ. Σύμφυτοι γεγόναμεν, ἤγουν μέτοχοι· ὥσπερ τὸ σῶμα τὸ δεσποτικόν, ταφὲν ἐν τῇ γῇ, ἔφυσε σωτηρίαν τῷ κόσμῳ, οὕτω καὶ τὸ ἡμῶν σῶμα, ταφὲν ἐν τῷ βαπτίσματι, ἔφυσε δικαιοσύνην ἡμῖν αὐτοῖς. Τὸ δὲ ὁμοίωμα οὕτως ἔχει· ὥσπερ ὁ Χριστὸς ἀπέθανε καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη, οὕτω καὶ ἡμεῖς ἐν τῷ βαπτίσματι θνήσκοντες ἀνιστάμεθα. Τὸ γὰρ καταδῦσαι τὸ παιδίον ἐν τῇ κολυμβήθρᾳ τρίτον καὶ ἀναδῦσαι, τοῦτο δηλοῖ τὸν θάνατον καὶ τὴν τριήμερον ἀνάστασιν τοῦ Χριστοῦ.

Ἐρώτ. ϟγ'. Τί ἐστι· «Τὸ γὰρ ἀδύνατον διὰ τοῦ νόμου, ἐν ᾧ ἠσθένει, διὰ τῆς σαρκὸς ὁ Θεός[2]», καὶ τὰ ἑξῆς;

Ἀπόκ. Ἠσθένει, φησίν, ὁ νόμος εἰς τὸ δικαιῶσαι τὸν ἄνθρωπον. Οὐ γὰρ ἠδύνατο ὁ ἄνθρωπος τὴν τυραννίδα καὶ τὴν πύρωσιν ὑποφέρειν τῆς σαρκός. Διὰ τοῦτο ἔπεμψεν ὁ Θεὸς τὸν μονογενῆ Υἱὸν αὐτοῦ, ἵνα διὰ τῆς σαρκὸς αὐτοῦ κατακρίνῃ τὴν ἁμαρτίαν. Τὸ δέ, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, οὐκ εἶπεν, ἐν σαρκὶ ἁμαρτίας, ἀλλ' ἐν ὁμοιώματι. Ὡμοιώθη γὰρ κατὰ πάντα ἡ ἀνθρωπίνη σὰρξ τοῦ Χριστοῦ τῇ ἀνθρωπίνῃ σαρκί, καθ' ὃ τέλειος ἄνθρωπος ἦν. Ἁμαρτωλὸς δὲ οὐκ ἐγένετο ἡ σὰρξ αὐτοῦ, καθάπερ ἡ ἡμετέρα σάρξ. «Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.[3]»

Ἐρώτ. ϟδ'· Τί λέγει· «Δότε τόπον τῇ ὀργῇ;[4]»

Ἀπόκ. Τῷ λυπήσαντί σε καὶ θλίψαντι, ἢ ἀδικήσαντι, συγχώρησον σὺ αὐτῷ, ἀνάθου δὲ τῷ Θεῷ τὰ τῆς ἐκδικήσεως, κἀκεῖνος οἰκονομήσει τὰ δέοντα. Τὸ δέ, «Μακάριος ὁ μὴ κρίνων ἐν ᾧ δοκιμάζει[5]», τοῦτο δηλοῖ· ὅταν ποιῇς τι οἰκονομικῶς πρὸς σωτηρίαν τοῦ ἀδελφοῦ σου, καὶ πάντες μέμφονται, τὸ δὲ σὸν συνειδὸς οὐ κατακρίνει σε, μακάριος εἶ.

Ἐρώτ. ϟε'. Τί λέγει· «Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι καὶ Ἕλληνες σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον;[6]»

---

1. Ῥωμ. 6, 5. 2. Ῥωμ. 8, 3. 3. Ἠσ. 53, 9. Α' Πέτρ. 2, 22.
4. Ῥωμ. 12, 19. 5. Ῥωμ. 14, 22. 6. Α' Κορ. 1, 22-23.

Ἀπόκ. Ἐὰν εἴπωμεν, φησίν, Ἰουδαίῳ· Πίστευσον, λέγει, Ἀναστήσατε νεκρούς, ἰάσασθε μαινῶντας. Ἐὰν δὲ εἴπωμεν Ἕλληνι, ἀπαιτεῖ ἡμῖν ῥητορικὸν λόγον· Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, ὅστις ἐστὶ καὶ δύναμις τῶν σημείων καὶ πέλαγος τῆς σοφίας. Ἀλλ' ἐκεῖνοι σκανδαλίζονται καὶ μωρὸν ἡγοῦνται τὸ κήρυγμα, ἀκούοντες Θεὸν ἐσταυρωμένον· καὶ οὐ θαῦμα, καὶ γὰρ οἱ ἀσθενοῦντες τοὺς ὀφθαλμούς, οὐ δύνανται βλέπειν τὸν ἥλιον καθαρῶς· οὕτω καὶ αὐτοί· Τὸ δέ, ὅτι «Τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί [1]», λέγει τὸν σταυρόν. Καὶ γὰρ οἱ σοφοὶ καὶ φιλόσοφοι καὶ οἱ δυνατοὶ εἰς μάταια ἠσχολήθησαν καὶ ἐφιλοπόνησαν καὶ οὐδὲν ἀγαθὸν κατώρθωσαν. Ὁ δὲ σταυρός, ὃν ἐνόμιζον ἐκεῖνοι μωρίαν, τὸν κόσμον ἔσωσε· καὶ διὰ τοῦτο σοφώτερον πάντων ἐστίν, ὅτι μεγάλα εἰργάσατο ἀγαθά.

Ἐρώτ. ϟϛ'. Καί, «Τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν [2]», οὕτω λέγει.

Ἀπόκ. Ἀσθενὲς τοῦ Θεοῦ λέγει τῶν ἀποστόλων τὸ φρόνημα, ὅτι ἄνθρωποι ἰδιῶται καὶ ἀγράμματοι ἐν βραχεῖ καιρῷ τὴν οἰκουμένην ἐσαγήνευσαν καὶ βασιλεῖς καὶ ἄρχοντας καὶ σοφοὺς καὶ δυνάστας ἐνίκησαν.

Κείμενον ϟζ'. «Σοφίαν δὲ λαλοῦμεν Θεοῦ ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην. [3]»

Ἀπόκ. Ὁρᾷς, πῶς καλεῖ αὐτὸς σοφίαν, ἣν ἔλεγε πρῶτον μωρίαν. Καὶ γὰρ μυστήριον πρῶτον οἰκονομίαν λέγει, ὅτι οὔτε ἄγγελος, οὔτε κτιστὴ δύναμις ἄλλη ἐγίνωσκε τὸ μυστήριον καὶ τὴν οἰκονομίαν ταύτην, ὅτι μέλλει ὁ Θεὸς ἐπὶ τῆς γῆς σαρκωθῆναι. Ὅταν δὲ γέγονε, τότε πάντες ἐγνώκασι, καθὼς λέγει ὁ Ἀπόστολος. «Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις. [4]» Λέγει δὲ ἀλλαχοῦ πάλιν μυστήριον τὰ ἐξαίρετα ἔργα τοῦ Θεοῦ, οἷον τὴν γέννησιν, τὴν φάτνην, τὸ βάπτισμα, τὸν σταυρόν, τὸν θάνατον, τὴν ἀνάστασιν, τὴν ἀνάληψιν, καθὼς καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Θεολόγος μυστήρια τὰς ἑορτὰς καλεῖ ἐν τῷ Εἰς τὰ φῶτα λόγῳ· «Πάλιν Ἰησοῦς ὁ ἐμὸς καὶ πάλιν μυστήριον.» Τοῦτο δὲ λέγει διὰ τὴν ἑορτὴν τοῦ βαπτίσματος· καὶ ἐν τοῖς λοιποῖς ὁμοίως.

Ἐρώτ. ϟη'. Τί λέγει· «Εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός. [5]»

Ἀπόκ. Εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται τὴν βασιλείαν τῶν οὐρανῶν· σωθήσεται δὲ αὐτὸς ὡς διὰ πυρός. Πῶς δὲ σωθήσεται; τουτέστι, σῶος καὶ ἀκέραιος μένει ἐν τῷ πυρὶ καὶ οὐκ ὄψεται θάνατον, ἀλλὰ τὸ ἔργον αὐτοῦ μόνον κατακαήσεται καὶ χωθήσεται. Αὐτὸς δὲ ἀκέραιος μένει εἰς αἰῶνα αἰῶνος κολαζόμενος καὶ οὐ διαλυθήσεται.

1. Α' Κορ. 1, 25. 2. Α' Κορ. 1, 25. 3. Α' Κορ. 2, 7. 4. Ἐφ. 3, 10. 5. Α' Κορ. 3, 15.

Ἐρώτ. ϟθ'. Τί λέγει· «Μικρὰ ζύμη ὅλον τὸν φύραμα ζυμοῖ;[1]»

Ἀπόκ. Τοῦτο λέγει διὰ τοὺς πονηροὺς καὶ σκολιοὺς ἀνθρώπους. Ὅτι, ὥσπερ ἡ παλαιὰ ζύμη μικρὰ μέν ἐστι, πολὺ δὲ ἄλευρον ποιεῖ ζυμωθῆναι, οὕτω καὶ ὁ κακοποιὸς ἄνθρωπος, τρέφων ἐν ἑαυτῷ τὴν κακίαν, μεταδίδωσι καὶ τοῖς ἄλλοις καὶ γίνεται σκάνδαλον καὶ καταβλάπτει πολλούς. Διὰ τοῦτο πάλιν λέγει· «Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέοι·[2]» τουτέστιν· Ἐκδιώξατε τὸν πονηρὸν καὶ σκολιὸν ἐξ ὑμῶν, ἢ φύγετε ἀπ' αὐτοῦ· ἐπειδὴ πᾶσα κακία μολύνει τὸν ἄνθρωπον. Διὰ τοῦτο καὶ ὁ Δαυίδ, φεύγων τοὺς πονηρούς, ἔλεγεν· «Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων.[3]» Διὰ τί δὲ ταῦτα ἐποίει; Ἐπειδὴ πάλιν λέγει ἀλλαχοῦ. «Μετὰ ὁσίου ὅσιος ἔσῃ καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ καὶ μετὰ στρεβλοῦ διαστρέψῃς.[4]» Καὶ γὰρ οἷός ἐστιν ὁ συνοικῶν μετὰ σοῦ, τοιοῦτον ἀπεργάσεται εἶναί σε.

Ἐρώτ. ρ'. Τί λέγει· «Τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν. Ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει;[5]»

Ἀπόκ. Κοιλίαν τὴν γαστριμαργίαν λέγει, οὐχὶ τὴν γαστέρα. Καὶ γὰρ τὰ βρώματα πρὸς τὴν γαστριμαργίαν ἔχει, φησί, τὴν φιλίαν, καὶ αὐτὴ πρὸς αὐτά, καὶ οὐ δύναται ὁ γαστρίμαργος δουλεύειν τῷ Θεῷ, ἀλλὰ δουλεύειν τὴν ἑαυτοῦ γαστέρα κραιπαλῶν καὶ γαστριμαργῶν. Διὸ κατήργησεν αὐτὴν λέγων· «Ὁ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει·» τουτέστι τὰ βρώματα καὶ τὴν γαστριμαργίαν· οὐ γὰρ τὴν γαστέρα κατήργησε· μὴ γένοιτο! Ἄκουε γὰρ αὐτοῦ λέγοντος· «Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ.[6]» Ὥστε οὐ κατήργησε τὴν γαστέρα, ἀλλὰ τὴν γαστριμαργίαν, οὐδὲ τὴν σύμμετρον τροφήν, ἀλλὰ τὴν ἀμετρίαν· ἐπειδὴ ἐξ αὐτῶν τίκτεται ἡ πορνεία. Διὰ τοῦτο λέγει, ὅτι Τὸ σῶμα οὐκ ἐδόθη ἐξουσιάζεσθαι ὑπὸ τῆς γαστριμαργίας, ἵνα περιπίπτῃ εἰς πορνείαν, ἀλλὰ ἵνα δουλεύῃ τῷ Κυρίῳ· καθὼς λέγει πάλιν ἀλλαχοῦ ὄπισθεν, ὅτι «Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος.[7]» Τοῦτο δέ ἐστιν ὃ λέγει, ὅτι πάντα τὰ βιώματα ἅπερ ἔκτισεν ὁ Θεὸς εἰς τροφὴν τοῦ ἀνθρώπου, καλά εἰσι καὶ ἁρμόζει μοι ἐκ πάντων ἐσθίειν καὶ τρέφεσθαι· ἀλλ' οὐ γενήσομαι δοῦλος τῶν βρωμάτων· οὐδὲ ἐξουσιάσει μου ἡ γαστριμαργία· οὐ συμφέρει μοι· οὐδὲ γὰρ ἀγαθὸν οἰκοδομεῖ ἐν ἐμοί. Διὰ τοῦτο, μόνον τοῖς ἀναγκαίοις ἀρκούμενοι, τὰ περισσὰ διαπτύσσομεν, ὡς οὐκ ὠφέλιμα, ἀλλὰ καὶ βλαβερὰ συνεστῶτά μοι, ἐπιθυμίας ἀτόπους γεννῶντα τοῖς κεκτημένοις αὐτά.

Ἐρώτ. ρα'. Τί λέγει· «Καὶ πάντες εἰς τὸν Μωσῆν ἐβαπτίσθησαν;[8]»

---

1. Α' Κορ. 5,6. 2. Α' Κορ. 5,7. 3. Ψαλμ. 25,4-5. 4. Ψαλμ. 17,26-27. 5. Α' Κορ. 6,13. 6. Α' Κορ. 6,13. 7. Α' Κορ. 6,12. 8. Α' Κορ. 10,2.

Ἀπόκ. Σημεῖον ἦν τοῦ βαπτίσματος τὸ διαπεράσαι τὸν Ἰσραηλίτην λαὸν ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Ὥσπερ γὰρ ἐκεῖνοι περάσαντες ἔφυγον τῶν ἐχθρῶν τὴν ἐπιβουλὴν καὶ ἐν τῇ ἐρήμῳ τῷ μάννα ἐτρέφοντο, οὕτω δὴ καὶ οἱ βαπτιζόμενοι λυτροῦνται τοῦ νοητοῦ Φαραὼ καὶ τῶν Αἰγυπτίων δαιμόνων καὶ τρέφονται τῷ ἐπουρανίῳ ἄρτῳ τοῦ ἁγίου Πνεύματος· Ἐπεὶ δὲ περὶ τοῦ βαπτίσατος ὁ λόγος, εἴπωμεν σαφέστερον περὶ αὐτοῦ.

Περὶ τοῦ ἁγίου βαπτίσματος.

Πρῶτον βάπτισμα τὸ τοῦ κατακλυσμοῦ εἰς ἐκκοπὴν ἁμαρτίας· δεύτερον τὸ τοῦ Μωσέως, ὅτε τὴν Ἐρυθρὰν διεπέρασε· τυπικὸν γὰρ ἦν· ὥσπερ γὰρ ἐκεῖ ἡ θάλασσα, οὕτω τὸ ὕδωρ ἐν τῷ βαπτίσματι· καὶ ὥσπερ ἐκεῖ ἡ νεφέλη, οὕτως ἐνταῦθα τὸ Πνεῦμα τὸ ἅγιον. Τίς δὲ ἦν ἡ νεφέλη ἐκείνη, ἄκουσον. Ὅτε ἐξῆλθον τῆς Αἰγύπτου οἱ Ἑβραῖοι μετὰ Μωσέως, ἀπέστειλεν νέφος, ὥσπερ στῦλον πυρός, καὶ ἐφώτιζεν αὐτοὺς τὴν νύκτα, ὥστε περιπατεῖν αὐτοὺς καὶ τὴν νύκτα, ἵνα μὴ φθάσωσιν αὐτοὺς οἱ Αἰγύπτιοι. Ὄπισθεν δὲ αὐτῶν περιεπάτει νεφέλη καὶ ἐπεσκίαζεν αὐτούς, ἵνα μὴ ὁρῶσιν αὐτοὺς οἱ Αἰγύπτιοι. Καὶ τοῦτό ἐστι τὸ δεύτερον βάπτισμα. Τρίτον δὲ τὸ νομικόν, ὅπερ εἶχον οἱ Ἑβραῖοι. Πᾶς γὰρ ἀκάθαρτος ἐλούετο ὕδατι, ἐπλύνετο τὰ ἱμάτια αὐτοῦ, καὶ οὕτως εἰσήρχετο εἰς τὴν παρεμβολήν. Τέταρτον βάπτισμα τὸ τοῦ Ἰωάννου, εἰσαγωγικὸν μέν, οὔπω δὲ ὅλον πνευματικόν, ἀλλ' εἰς μετάνοιαν μόνον. Πέμπτον τὸ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπερ καὶ αὐτὸς ἐβαπτίσατο. Τοῦτο δὲ ὅλον πνευματικόν· τοῦτο καὶ ἡμεῖς βαπτιζόμεθα. Ἕκτον τὸ διὰ δακρύων, ὄντως ἐπίπονον ὡς ὁ λούων καθ' ἑκάστην νύκτα τὴν κλίνην αὐτοῦ [1], καὶ μετανοῶν καὶ θρηνῶν ἐφ' οἷς ἥμαρτεν. Ἕβδομον βάπτισμα τὸ διὰ μαρτυρίου καὶ αἵματος, ὅπερ καὶ αὐτὸς ὁ Χριστὸς ἐβαπτίσατο, καὶ πολύ γε τῶν ἄλλων αἰδεσιμώτερον, ὅσῳ δευτέροις ῥύποις οὐ μολύνεται. Ὄγδοον τὸ τελευταῖον οὐ σωτήριον, ἀλλὰ καυστικόν, καὶ κολάζον ἀτελεύτητα καὶ αἰωνίως τοὺς ἁμαρτωλούς.

Ἐρώτ. ρβ'. Τί λέγει· «Σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται; [2]»

Ἀπόκ. Ὅτι πᾶς ὁ τὴν ἑαυτοῦ σάρκα τρέφων εἰς κόρον, οὐ δύναται βασιλείας Θεοῦ κληρονομῆσαι.

Ἐρώτ. ργ'. Τί λέγει· «Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα, Μαρὰν ἀθά; [3]»

Ἀπόκ. Τουτέστι· Χωρίσατε αὐτὸν ἀπὸ τῆς Ἐκκλησίας καὶ τῶν πιστῶν καὶ ἔστω κεχωρισμένος ἀπὸ τοῦ λαοῦ ὁ μὴ πιστεύων. Ὁ γὰρ Κύριος ἦλθε· τοῦτο γὰρ ἑρμηνεύει τὸ Μαρὰν ἀθά.

---

1. Πρβλ. Ψαλμ. 6, 7. 2. Α' Κορ. 15, 50. 3. Α' Κορ. 16, 22.

'Ερώτ. ρδ'. «Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις[1], ἀνακαινίζεται;»

'Απόκ. Τουτέστιν· Εἴ τις εἰς Χριστὸν ἐπίστευσεν, εἰς ἑτέραν ἦλθε διαγωγήν. Ἄνωθεν γὰρ ἐγεννήθη, διὰ τοῦ Πνεύματος, καὶ ζῇ οὐ τὴν ἐν ἁμαρτίαις, ἀλλὰ τὴν ἐν πνεύματι ζωήν.

'Ερώτ. ρε'. «Τρὶς ἐναυάγησα.[2]»

'Απόκ. Μυστικῶς αἰνιττόμενος λέγει. Τρίτον γὰρ ἐναυάγησεν ἡ ἀνθρωπότης· πρῶτον διὰ τῆς παραβάσεως· δεύτερον ἐν τῷ κατακλυσμῷ τοῦ Νῶε· τρίτον, μετὰ τὸ δέξασθαι τὸν νόμον, εἰς εἰδωλολατρείαν ἐξέπεσεν ὁ λαός, ἕως ἐλθὼν ὁ τῶν ψυχῶν κυβερνήτης Χριστὸς καὶ στήσας τὸ ἱστίον τοῦ σταυροῦ, ἀχείμαστον ἡμῶν τὸν πλοῦν εἰς οὐρανὸν ᾠκοδόμησεν.

'Ερώτ. ρς'. «Νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα;[3]»

'Απόκ. Νυχθήμερον λέγει τὴν πρὸ τῆς Χριστοῦ παρουσίας ἐν σκοτεινῇ πλάνῃ διατριβήν· ἡμέραν δὲ λέγει τὴν μετὰ τοῦ Χριστοῦ παρουσίαν ἐν τῷ φωτεινῷ βαπτίσματι διαγωγήν.

'Ετέρα. Τινὲς δέ φασιν, ὅτι ἐν μέσῳ πελάγους πλέων· οἱ δέ, ὅτι νηχόμενος καὶ κολυμβῶν, ἔνθα οὔτε γῆν οὔτε ὄρος ἦν ἰδεῖν.

Κείμενον ρζ'. «'Εδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατάν, ἵνα με κολαφίζῃ.[4]»

'Ερμην. Σατὰν ὁ ἀντικείμενος λέγεται. Ἄγγελον τοίνυν Σατὰν λέγει 'Αλέξανδρον τὸν χαλκέα, καὶ 'Υμέναιον καὶ Φιλητόν, οἵτινες ἐπείραζον αὐτὸν καὶ ἀντέκειντο λέγοντες, ὅτι ἀνάστασις ἐγένετο· καὶ κρατοῦντες αὐτόν, ἔβαλον εἰς δεσμωτήρια καὶ πολλὰ κακὰ αὐτῷ ἐνεδείξαντο.

Κείμενον ρη'. «'Αρκεῖ σοι ἡ χάρις μου.[5]»

'Απόκ. Τοῦτ' ἔστιν· 'Αρκεῖ σοι ἡ χάρις μου, ὅτι νεκροὺς ἐγείρεις καὶ τυφλοὺς θεραπεύεις καὶ ἄλλα τῶν σημείων ποιεῖς. 'Ελαυνόμενοι δὲ καὶ διωκόμενοι νικᾶτε τοὺς διώκοντας.

'Ερώτ. ρθ'. Τί λέγει· «'Εμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ;[6]»

'Απόκ. Τὸ ἐξελθεῖν ἀπὸ τοῦ βίου καὶ φροντίδων αὐτοῦ καὶ νεκρὸν γενέσθαι τοῖς πάθεσι καὶ ταῖς ἐπιθυμίαις καὶ νηστεύειν καὶ ἀγρυπνεῖν καὶ κακοπαθεῖν ἐν τῇ ἀσκήσει, ὡς καὶ ἀλλαχοῦ λέγει· «Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.[7]»

'Ερώτ. ρι'. Τί λέγει· «Τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας;[8]»

'Απόκ. Τουτέστιν, ἡ ἔχθρα, ἣν εἴχομεν πρὸς τὸν Θεὸν οἱ ἄνθρωποι διὰ τὰς ἡμῶν ἁμαρτίας. Σαρκωθεὶς οὖν ὁ Κύριος καὶ Θεὸς καὶ θανὼν ἔλυσε τὴν ἁμαρτίαν, τὴν χωρίζουσαν ἡμᾶς ἀπὸ τοῦ Θεοῦ, εἰρηνοποίησε τὰ πάντα, καὶ υἱοὺς Θεοῦ ἡμᾶς ἀπειργάσατο, διαρρήξας τὸ

---

1. Β' Κορ. 5, 17. 2. Β' Κορ. 11, 25. 3. Β' Κορ. 11, 25. 4. Β' Κορ. 12, 7. 5. Β' Κορ. 12, 9. 6. Γαλ. 6, 14. 7. Γαλ. 5, 24. 8. 'Εφ. 2, 14.

καθ' ἡμῶν χειρόγραφον ἐπὶ τοῦ σταυροῦ. Τί δὲ ἦν τὸ χειρόγραφον, ἄκουσον· Ὅτε παρέβη τὴν ἐντολὴν ὁ Ἀδὰμ καὶ ἔλαβεν ἀπὸ τοῦ ξύλου διὰ τῆς χειρὸς αὐτοῦ καὶ ἔφαγεν, ἐγράφη χειρὶ αὐτοῦ ἡ ἁμαρτία, καὶ κατεῖχεν αὐτὸ τὸ ἔγγραφον ὁ διάβολος. Ὅτε δὲ ἦλθεν ἐπὶ τοῦ ξύλου ὁ Χριστός, τουτέστιν ἐν τῷ σταυρῷ, καὶ ἐτρώθη τοῖς ἥλοις τὰς χεῖρας, τότε προσήλωσεν αὐτὸ ἐν τῷ σταυρῷ καὶ ἐξήλειψεν. Αὐτὸς γὰρ ὁ διάβολος ὁ κρατῶν τὸ χειρόγραφον τῆς παραβάσεως τοῦ Ἀδάμ, αὐτὸς ἔσχισεν, ἐπειδὴ ὑπὸ Χριστοῦ ἐδεσμεύθη ἐπὶ τοῦ σταυροῦ.

Ἐρώτ. ρια'. Τί λέγει· «Ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός; [1]»

Ἀπόκ. Καθεύδοντα λέγει τὸν ἐν ἁμαρτίαις κείμενον. Καὶ γὰρ ὁ ἐν ἁμαρτίαις ζῶν νεκρὸς λέγεται εἶναι. Καὶ ὥσπερ ὁ νεκρὸς ἀκίνητός ἐστιν, οὕτω καὶ ὁ ταῖς ἁμαρτίαις νενεκρωμένος πρὸς τὸ ἀγαθὸν ἀκίνητος μένει.

Κείμενον ριβ'. «Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ.[2]»

Ἀπόκ. Λέγει τὸ Πνεῦμα τὸ ἅγιον. Ὁ γὰρ ἀμέτοχος τοῦ Πνεύματος οὐ δυνατός ἐστι πρὸς τὰς ἀντικειμένας δυνάμεις. «Καὶ γὰρ οὐκ ἔστιν ἡ πάλη», φησί, «πρὸς αἷμα καὶ σάρκα· [3]» ἤγουν, οὐ πρὸς ἀνθρώπους ἐστὶν ὁ πόλεμος, «ἀλλὰ πρὸς τὰς ἀρχάς.[4]» Ἀρχὰς δὲ λέγει τοὺς δαίμονας, ἐπειδὴ ἐν τῷ κόσμῳ τούτῳ ἄρχουσιν, ἀλλὰ τῶν ἔργων τοῦ σκότους. Τὸ δὲ «ἐν τοῖς ἐπουρανίοις [5]», ἐπειδὴ οὐ διὰ μικρὸν ἔργον πολεμοῦσιν ἡμᾶς αἱ δαίμονες, ἀλλὰ διὰ οὐράνια ἀγαθά. Ἐπειδὴ γὰρ ἀγωνιζόμεθα διὰ τὴν ἐν οὐρανοῖς βασιλείαν, πολεμοῦσιν ἡμᾶς χαλεπῶς. Διὰ τοῦτο ἁρμόζει πάντοτε γρηγορεῖν καὶ νικᾶν αὐτοὺς τῇ δυνάμει καὶ χάριτι τοῦ Χριστοῦ. Θυρεὸν δὲ τῆς πίστεως τὴν πίστιν λέγει τὴν εἰλικρινῆ καὶ διάπυρον.

Ἐρώτ. ριγ'. Τί λέγει· «Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον; [6]»

Ἀπόκ. Παλαιὸν ἄνθρωπον τὸν πρῶτον λέγει, τὸν ἀπὸ τῆς πτώσεως τοῦ Ἀδὰμ γεγεννημένον, ἢ τὴν πονηρίαν τὴν ἐξ αὐτοῦ καὶ πᾶσαν κακίαν· νέον δὲ ἄνθρωπον τὴν κατὰ Χριστὸν πολιτείαν, ἤτοι ἐνάρετον καὶ ἀγαθὴν πολιτείαν.

Ἐρώτ. ριδ'. Τί λέγει· «Ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποί, οἱ μὴ ἔχοντες ἐλπίδα; [7]»

Ἀπόκ. Οἱ μὴ ἔχοντες ἐλπίδα ἀναστάσεως, ἐκείνοις ἁρμόζει λυπεῖσθαι. Πρόσεχε δέ, πῶς ἐπὶ Χριστοῦ εἶπεν, ὅτι ἀπέθανε καὶ ἀνέστη. Ἐπὶ δὲ τοῦ κοινοῦ λαοῦ, εἶπε, «τῶν κεκοιμημένων», ἵνα δείξῃ ὅτι οἱ κοιμώμενοι ἀναστήσονται.

Ἐρώτ. ριε'. Τί λέγει· «Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ; [8]»

---

1. Ἐφ. 5, 14. 2. Ἐφ. 6, 11. 3. Ἐφ. 6, 12. 4. Ἐφ. 6, 12. 5. Ἐφ. 6, 12. 6. Κολ. 3, 9-10. 7. Α' Θεσσ. 4, 13. 8. Φιλιπ. 2, 6.

Ἀπόκ. Ὃ λέγει τοιοῦτόν ἐστιν· Ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς βουληθεὶς καταβῆναι ἐπὶ τῆς γῆς καὶ σαρκωθῆναι, οὐκ ἐφοβήθη καταβῆναι τοῦ ἀξιώματος. Οὐ γὰρ εἶχεν ἐξ ἁρπαγῆς τὴν θεότητα, ὥσπερ τις ἔχει πρᾶγμα ἐξ ἁρπαγῆς, καὶ φοβεῖται ἀπολέσαι αὐτό. Οὐ τοιοῦτος ἦν ὁ Χριστός, μὴ γένοιτο! ἀλλὰ Θεὸς ὢν τέλειος, ἠθέλησε καὶ ἄνθρωπος γενέσθαι

Ἐρώτ. ρις'. «Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου.[1]»

Ἀπόκ. Τὸν λόγον του Κυρίου, ὃν εἴρηκεν, ὅτι ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ οἱ ἀκούσαντες ζήσονται. «Τοῦτο λέγομεν καὶ ἡμεῖς· ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας.[2]» Ζῶντές εἰσιν οἱ εὑρισκόμενοι τότε ἐν τῇ ἀναστάσει. Καὶ γὰρ εὑρεθήσονται ἄνθρωποι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ οὐκ ὄψονται θάνατον, πλὴν οὐ μὴ φθάσωσι τοὺς κοιμηθέντας. Πρῶτοι γὰρ ἀναστήσονται οἱ τελευτήσοντες καὶ μετὰ ταῦτα οἱ ζῶντες ἀλλαγήσονται καὶ ἁρπαγήσονται ἐν τῷ ἅμᾳ εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα. Πῶς δὲ γενήσεται ἡ ἁρπαγή, ἄκουσον. Καθὼς ὁ Κύριος ἐν κελεύσματι, τουτέστιν, ἐν κελεύσει, καὶ οἱ ἄγγελοι κραυγάζουσιν· Ἐγείρεσθε, ἦλθεν ὁ Νυμφίος· τότε καταβήσεται ἀπ' οὐρανοῦ. Καὶ πρῶτον ἐγερθήσονται οἱ νεκροί· μετὰ δὲ ταῦτα καὶ οἱ ζῶντες ἀλλαγήσονται καὶ γενήσονται ἄφθαρτοι. Καὶ μετὰ τοῦτο πάντες οἱ ἅγιοι καὶ ἄξιοι ἁρπαγήσονται ὑπὸ νεφελῶν καὶ δέξονται τὸν Κύριον ἡμῶν ἐρχόμενον ἐκ τῶν οὐρανῶν, καθὼς λέγει· «Καὶ ἡμεῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα.[3]» Τοῦτο γὰρ ἡ δόξα καὶ ὁ στέφανός ἐστι τῶν δικαίων. Οἱ δὲ ἁμαρτωλοὶ περιμένουσιν αὐτὸν καταβῆναι. Τοῦτο δὲ γίνεται, ὥσπερ ἐπὶ βασιλέως ἀπερχομένου ἐν πόλει τινί· οἱ μὲν πρῶτοι καὶ ἔνδοξοι τῆς πόλεως ἐξέρχονται εἰς ἀπάντησιν αὐτοῦ· οἱ δὲ πένητες καὶ εὐτελεῖς προσκαρτεροῦσιν, ἕως οὗ παραγίνεται εἰς τὴν πόλιν. Οὕτω μοι νόει καὶ ἐπὶ τοῦ Χριστοῦ, ὅτι, κατερχομένου αὐτοῦ ἐκ τοῦ οὐρανοῦ, πάντες οἱ δίκαιοι καὶ ἀγαθοὶ ἁρπαγήσονται εἰς τὸν οὐρανόν, τοῦ ἀπαντῆσαι τὸν Κύριον ἡμῶν Ἰησοῦν κατερχόμενον· οἱ δὲ ἁμαρτωλοὶ ἵστανται ἐπὶ τῆς γῆς ἐκδεχόμενοι.

Κείμενον ριζ'. «Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.[4]»

Ἑρμην. Εἰ γὰρ ἐπιγείῳ βασιλεῖ ὁ μέλλων στρατεύεσθαι οὐκ ἀρέσει, ἐὰν μὴ ἀφήσῃ πάσας τὰς τοῦ βίου φροντίδας· πόσῳ μᾶλλον μέλλων στρατευθῆναι τῷ ἐπουρανίῳ βασιλεῖ;

Κείμενον ριη'. «Ἐὰν δὲ καὶ ἀθλητὴς οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.[5]»

Ἑρμην. Ἐὰν γάρ τις στρατεύηται καὶ εἰς πόλεμον εἰσέρχηται,

1. Α' Θεσσ. 4, 15. 2. Α' Θεσσ. 4, 15. 3. Α' Θεσσ. 4, 17. 4. Β' Τιμ. 2, 4. 5. Β' Τιμ. 2, 5.

οὐδὲ οὕτω στεφανοῦται, ἐὰν μὴ συμπλακῇ μετὰ τοῦ ἀντιπάλου καὶ κρούσῃ μετὰ τοῦ ξίφους καὶ ἀποκτείνῃ αὐτόν. Τοῦτο γάρ ἐστι τὸ νομίμως ἀθλῆσαι.

Κείμενον ριθ'. «Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τὸν καρπὸν μεταλαμβάνειν.[1]»

Ἑρμην. Τοῦτο περὶ τῶν πνευματικῶν διδασκάλων εἴρηκεν· ὅτι τὸν κοπιῶντα καὶ ἀγωνιζόμενον διδάσκαλον ὑπὲρ αὐτοῦ καὶ τῆς τῶν μαθητῶν ὠφελείας ἁρμόζει πρῶτον παρὰ Θεοῦ λαμβάνειν τοὺς μισθούς, ἔπειτα τοὺς μαθητάς. Καὶ γὰρ ὁ γεωργός, ὅταν εἰσοδιάσῃ τὸν καρπὸν αὐτοῦ, πρῶτον ἐκεῖνος θησαυρίζει ἐκ τῶν καρπῶν αὐτοῦ ἐν τῷ οἴκῳ αὐτοῦ· καὶ οὕτω παρέχει εἴτε ἐλεημοσύνην εἴτε τοῖς χρεώσταις αὐτοῦ. Ἕτερον εἰς τὸ αὐτό. Καὶ ἄλλως· Πᾶς ὁ θέλων κοπιᾶν εἰς τὸ ἔργον τοῦ Θεοῦ καὶ διδάσκειν καὶ ὠφελεῖν ἄλλους, ἁρμόζει πρῶτον ἐκεῖνον τὸν διδάσκαλον, ἵνα ἐργάζηται τὰς ἀρετὰς καὶ λάβῃ παρὰ Θεοῦ τὰ χαρίσματα, καὶ κτήσασθαι τοὺς καρποὺς τοῦ ἁγίου Πνεύματος καὶ τοὺς θησαυροὺς τῆς γνώσεως τῶν ἀγαθῶν τοῦ Θεοῦ· καὶ τότε δυνήσεται καὶ ἄλλοις μεταδοῦναι τῶν δωρεῶν. Καὶ γὰρ πᾶς ὁ θέλων ἀλεῖψαί τινα ἔλαιον ἐν ταῖς χερσὶν αὐτοῦ, εἰ μὴ ἔχει, πῶς ἄλλοις μεταδίδωσι ὅπερ αὐτὸς οὐ κέκτηται; Τοιουτοτρόπως μοι νόει καὶ ἐπὶ τοῦ διδασκάλου, καθὼς εἴρηται.

Ἐρώτ. ρκ'. «Νόει ἃ λέγω.[2]»

Ἀπόκ. Ἐπειδὴ ἐν παραβολαῖς αὐτῷ ἔγραψε πάντα, διὰ τοῦτο λέγει· Πρόσεχε. Καὶ οὐχ ὑπέκλινον τῇ ὑποταγῇ τοῦ Μωσέως. Προσέταξεν ὁ Μωσῆς καὶ ἀπέκτειναν αὐτοὺς τρεῖς χιλιάδας λαῶν Καὶ τοῦτό ἐστιν ὃ λέγει ἡ Γραφή· «Ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ.[3]»

Κείμενον ρκα'. «Καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον.[4]»

Ἑρμην. Ὅσοι παρέβησαν καὶ παρήκουσαν ἐν τῷ παλαιῷ νόμῳ, ἔλαβον δικαίως τὴν τιμωρίαν. Καὶ γὰρ καὶ ὁ Ἀδὰμ παρακούσας κατεκρίθη[5], καὶ Κάϊν ἁμαρτήσας ἐπικατάρατος γέγονε[6], καὶ οἱ ἐπὶ τοῦ Νῶε κακῶς ἐργαζόμενοι κατεκλύσθησαν· καὶ οἱ ἐν Σοδόμοις ἀσέμνως βιοῦντες δεινῶς ἐποντίσθησαν· καὶ οἱ Ἰουδαῖοι, πολλάκις ἐπαναστάντες τοῖς προφήταις, πληγὰς παρὰ Θεοῦ καὶ μάστιγας καὶ τιμωρίας ἐδέξαντο. Νῦν οὖν τοῦτο λέγει· ὅτι, ἐπειδὴ ἐν τῇ Παλαιᾷ ὅσοι ἠθέτησαν τὸ πρόσταγμα τοῦ Κυρίου καὶ παρήκουσαν τὰ δι' ἀγγέλων λαλούμενα καὶ προφητῶν, ἔλαβον δικαίως τὴν τιμωρίαν καὶ τὴν ὀργὴν τοῦ Θεοῦ ἐπεσπάσαντο, πῶς ἡμεῖς ἐκφύγωμεν, ἐὰν ἀμελήσωμεν τῆς τοιαύτης σωτηρίας, ὅπου οὔτε δι' ἀγγέλων οὔτε διὰ προφητῶν ἐλαλήθη ἡμῖν, ἀλλὰ δι' αὐτοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ; Καὶ γὰρ ἐν τῇ Παλαιᾷ τοῦ νόμου διάκονος γέγονεν ὁ Μωσῆς· τῆς δὲ Νέας ὁ Χριστός· Πολὺ οὖν

1. Β' Τιμ. 2, 6. 2. Β' Τιμ. 2, 7. 3. Ἑβρ. 3, 17. 4. Ἑβρ. 2, 2.
5. Πρβλ. Γεν. 3, 17-19. 6. Πρβλ. Γεν. 4, 10-12.

ταῦτα κρείσσω τῆς παλαιᾶς νομοθεσίας ὅτι ἐκεῖ δοῦλος ἐγένετο ὑπηρέτης τοῦ νόμου ἐνταῦθα δὲ ὁ δεσπότης Χριστός. Καὶ ὀφείλομεν τὰ προστεταγμένα ποιεῖν ἀδιστάκτως, ἵνα μὴ καὶ χείρους τῶν παλαιῶν ἀποδῶμεν τὰς εὐθύνας.

Κείμενον ρκβ'. «Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν.[1]»

Ἑρμην. Οἰκουμένην λέγει τὴν κρίσιν τῆς δευτέρας παρουσίας, ὅταν ἀποδώσῃ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Τοῦ δὲ «Περὶ ἧς λαλοῦμεν», ἤτοι περὶ ἐκείνης ἧς ἀγωνιζόμεθα καὶ σπουδάζομεν πάντες σωθῆναι. Ταύτην τὴν ἡμέραν, λέγει ὁ Ἀπόστολος, οὐκ ἔδωκεν ὁ Θεὸς ἐξουσίαν τοῖς ἀγγέλοις κρῖναι τὸν κόσμον, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ αὐτοῦ. Καὶ ἐπεὶ ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς ἔχει τὴν ἐξουσίαν πᾶσαν κρῖναι τὸν κόσμον, τί μέλλονται παθεῖν οἱ παρακούσαντες τὰ προστάγματα αὐτοῦ; Εἰ γὰρ οἱ παρακούσαντες τὸν παλαιὸν νόμον τὸν δι' ἀγγέλων δοθέντα, τοσαῦτα ἔπαθον, καίπερ οὐδὲ κριτῶν ὄντων τοῦ κόσμου τῶν ἀγγέλων, τί ἂν πάθωσιν οἱ τὸν δεσπότην παρακούσαντες;

Κείμενον ρκγ'. «Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ;[2]»

Ἑρμην. Ἄνθρωπον καὶ υἱὸν ἀνθρώπου τὸν Χριστὸν λέγει, καθὼς ἐστι κατὰ πάντα ὁμοούσιος τῷ Πατρί, ὡς τέλειος Θεὸς καὶ τέλειος ἄνθρωπος.

Κείμενον ρκδ'. «Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους.[3]»

Ἑρμην. Βραχὺ ἐλάττωμα λέγει, ὅτι ἐποίησεν ὁ Χριστὸς ἐν τῷ ᾅδῃ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

Κείμενον ρκε'. «Τὸν δὲ βραχὺ παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον ἐν τῷ θανάτῳ.[4]»

Ἑρμην. Δόξα γὰρ καὶ τιμὴ τοῦ Χριστοῦ σταυρός· ἐπειδὴ μυρία ἀγαθὰ διὰ τοῦ σταυροῦ ἐγένετο· ὅτι θάνατος καταπεπάτηται καὶ κατάρα ἐξωστράκισται, ὁ ᾅδης ἐσκύλευται, ἡ ἁμαρτία ἠφάνισται, ἡ παράβασις κατήργηται, ἡ φύσις τῶν ἀνθρώπων τῆς δουλείας τῶν παθῶν ἠλευθέρωται, διάβολος ἐδεσμεύθη, σωτηρία ἐφυτεύθη, ἀνάστασις ἐγνωρίσθη, κακία ἀπηλάθη, ζωὴ ἐπήγασεν, εἰδωλολατρεία ἐλύθη· τὸ δὲ θαυμαστότερον, ὅτι καὶ αὐτοὶ οἱ ἀρχαῖοι καὶ παλαιοὶ προφῆται ἐβαπτίσθησαν, ἐκ τοῦ ῥεύσαντος αἵματος καὶ ὕδατος ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ. Καὶ πῶς, ἄκουσον. Ἐπειδὴ ἐκ τεσσάρων στοιχείων συνίσταται τὸ σῶμα τοῦ ἀνθρώπου, πάλιν μετὰ θάνατον εἰς αὐτὰ ἀναλύεται· Οὕτω δὴ γέγονε καὶ ἐπὶ τοῦ Χριστοῦ· ὅτι τὸ αἷμα καὶ τὸ ὕδωρ, ὃ ἔρρευσεν ἡ ἁγία αὐτοῦ πλευρά, ἀνελύθη, ὅπου ἀνελύθη, καὶ τῶν προφητῶν, ἤγουν εἰς τὰ στοιχεῖα, καὶ εὑρὼν αὐτὰ ἐβάπτισεν. Εἰ δὲ λέγει τις, ὅτι καὶ τὰ τῶν ἀπίστων σώματα ἐβάπτισε, λέγομεν,

1. Ἑβρ. 2, 5. 2. Ψαλμ. 8, 5. 3. Ψαλμ. 8, 6. 4. Ἑβρ. 2, 9.

Οὐχί· ἀλλ' ὥσπερ τὸ ὕδωρ προπατῶν, ὅσα μὲν εὑρίσκει χλωρὰ φυτά, ἀρδεύει καὶ ποτίζει, ὅσα δὲ ξηρὰ οὐκ ὠφελεῖ αὐτά, οὕτω νόει καὶ ἐπὶ τούτου.

Κείμενον ρκς΄. «Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα·[1]» ἐπειδὴ ἀκμὴν οὐκ ἦν τὸ κήρυγμα εἰς τὴν οἰκουμένην κηρυχθέν;

Ἑρμην. Ἔπρεπε γὰρ αὐτῷ, δῆλον ὅτι τῷ Θεῷ καὶ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο καὶ συνέστη, τὸν ἀρχηγὸν τῆς ζωῆς, ἤτοι τὸν Χριστόν, πολλοὺς υἱοὺς εἰς δόξαν οὐρανῶν φέροντα καὶ βασιλείαν· υἱοὺς δὲ λέγει τοὺς πνευματικοὺς καὶ ἁγίους ἀνθρώπους. Ἔπρεπε, φησίν, αὐτῷ τῷ Θεῷ καὶ Πατρὶ τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, ἤτοι τὸν Χριστόν, διὰ παθημάτων τέλειον ἀναδεῖξαι καὶ ἔνδοξον.

Ἐρώτ. ρκζ΄. Τί λέγει· «Καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος;[2]»

Ἀπόκ. Σκηνὴν λέγει τὸν οὐρανόν, ὃν οὐκ ἔκτισεν ἄνθρωπος, ὥσπερ τοὺς ἐπὶ γῆς ναοὺς τῶν ἐκκλησιῶν. Ἀχειροποίητός ἐστιν, ὡς τῷ τοῦ Θεοῦ ῥήματι κατεσκευασμένος.

Κείμενον ρκη΄. «Οἱ ἅγιοι πάντες διὰ πίστεως κατηγωνίσαντο βασιλείαν.[3]»

Ἑρμην. Ἀβραάμ, Μωσῆς, Ἰησοῦς τοῦ Ναυῆ· «εἰργάσαντο δικαιοσύνην.» Ἀβραάμ, Φινεὲς καὶ Δαυίδ· «ἐπέτυχον ἐπαγγελιῶν», Ἰησοῦς τοῦ Ναυῆ καὶ Χαλέβ· «ἔφραξαν στόματα λεόντων», Δανιὴλ ἐν τῷ λάκκῳ· «ἔσβεσαν δύναμιν πυρός», οἱ τρεῖς παῖδες ἐν καμίνῳ. «Ἔφυγον στόματα μαχαίρας». Ἡλίας καὶ Δαυίδ. «Ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας», ὡς Ἐζεκίας, «Ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ», ὡς Σαμψὼν ἐν μιᾷ σιαγόνι ὄνου χιλίους ἀλλοφύλους κατέστρεψεν. «Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν», Σουναμῖτις καὶ Σαραφθία· «Ἄλλοι δὲ ἐτυμπανίσθησαν», Ἰάκωβον λέγει τὸν ἀδελφὸν τοῦ Κυρίου, καὶ τοὺς λοιπούς, ὅσοι ἀπεκεφαλίσθησαν· τυμπανισμὸς γὰρ ὁ ἀποκεφαλισμὸς λέγεται· «Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, «Ἡσαΐας, Ἱερεμίας, καὶ Μιχαίας. «Ἐλιθάσθησαν», Στέφανος καὶ Ναβουθέ. «Ἐπρίσθησαν», ὁ Ἡσαΐας· ξυλίνῳ πρίονι ἔπρισαν αὐτὸν οἱ Ἰουδαῖοι. «Ἐπειράσθησαν», ὡς ὁ Ἰώβ. «Ἐν φόνῳ μαχαίρας ἀπέθανον», Ἰάκωβος, Ζαχαρίας καὶ οἱ λοιποί. «Καὶ οὗτοι πάντες, μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ κομίσαντο τὴν ἐπαγγελίαν.[4]» Ἤγουν οὗτοι πάντες οἱ ἅγιοι μαρτυρηθέντες, ὅτι εὐηρέστησαν τῷ Θεῷ, οὔπω ἀπέλαυσαν τῆς βασιλείας τῶν οὐρανῶν καὶ τῶν ἐπηγγελμένων τοῖς δικαίοις ἀγαθῶν, ἀλλὰ περιμένουσι τὴν δευτέραν παρουσίαν, ἵνα στεφανωθῶσιν ἅπαντες ἐν μιᾷ καιροῦ ῥοπῇ. Τοῦτο γάρ ἐστιν ὃ λέγει ὁ Ἀπόστολος, ὅτι «Τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προσβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.[5]»

1. Ἑβρ. 2, 8. 2. Ἑβρ. 8, 2. 3. Ἑβρ. 11, 33. 4. Ἑβρ. 11, 33-39. 5. Ἑβρ. 11, 40.

Χωρὶς γὰρ πάντων τῶν ἁγίων οἱ ἥμισυ οὐκ ἀπολαμβάνουσι τὰ ἐπηγγελμένα ἀγαθά. Τὴν μὲν γὰρ ἐλπίδα καὶ τὸν ἀρραβῶνα ἔσχον καὶ κεχωρισμένοι εἰσὶν ἐκ τῶν ἁμαρτωλῶν. Τὸ δὲ τέλειον οὔπω εἴληφον, κρεῖσσον γάρ ἐστι τοῦτο· ἵνα εἰσελεύσωνται πάντες εἰς τὴν βασιλείαν ἐν ἑνὶ καιρῷ, καὶ ἐξ ἴσου ἀπολάβωσι πάντες οἱ ἅγιοι τὰ ἀγαθὰ τοῦ Θεοῦ.

Κείμενον ρκθ'. «Τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων.[1]»

Ἑρμην. Νέφος μαρτύρων αὐτοὺς ἐκάλεσεν, ἐπειδὴ δροσίζουσιν ἡμᾶς τοὺς ἐν ἁμαρτίαις συνεχομένους καὶ φλογιζομένους καὶ ἐν τῇ σκιᾷ τῶν πρεσβειῶν αὐτῶν περισκέπουσιν.

Κείμενον ρλ'. «Ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν.[2]»

Ἑρμην. Ὄγκον τὸ πλῆθος λέγει. Λέγει δὲ οὕτως· ὅτι, Ἐπειδὴ ἔχομεν τοσοῦτον πλῆθος τῶν ἁγίων μαρτύρων, ὥσπερ νέφος δροσίζον ἡμᾶς, θαρροῦντες εἰς τὴν πρεσβείαν τῶν εὐχῶν αὐτῶν, μιμησώμεθα καὶ ἡμεῖς ἐκείνων τὰς ἀρετάς, καὶ τὸν ὄγκον τῶν ἁμαρτημάτων ἅπαντα ἀπορρίψαντες καὶ τὴν εὐπερίστατον ἁμαρτίαν καταλιπόντες, δι' ὑπομονῆς καὶ μακροθυμίας τρέχωμεν τὸν ἀγῶνα τῆς ἀρετῆς. Εὐπερίστατον δὲ εἶπε τὴν ἁμαρτίαν, ἐπειδὴ μόνιμον στάσιν οὐκ ἔχει, ἀλλὰ ταχέως τρέπεται καὶ καταλύεται. Καὶ γὰρ ἡ ἁμαρτία ῥίζαν οὐκ ἔχει, ἀλλ' οὐδὲ καρπόν. Ἀφανίζεται δὲ ταχέως καὶ καταλύεται ὑπὸ τοῦ ξίφους τῆς μετανοίας κοπτομένη. Ἀξίνη γάρ ἐστιν ἡ μετάνοια ἐκκόπτουσα πᾶν κακόν. Μετάνοια δέ ἐστιν οὐχ ἡ τῶν γονάτων κλίσις, ἀλλ' ἡ ἀποχὴ τοῦ κακοῦ καὶ τὸ πονεῖν καὶ θρηνεῖν καὶ δέεσθαι τοῦ Θεοῦ ὑπὲρ τῆς τῶν προημαρτηκότων ἀφέσεως. Διὰ γὰρ τοῦτο λέγεται μετάνοια, ὅτι μετατίθησι τὸν νοῦν ἀπὸ τοῦ κακοῦ πρὸς τὸ ἀγαθόν.

1. Ἑβρ. 12, 1. 2. Ἑβρ. 12, 1.

ΑΠΟΣΠΑΣΜΑ
ΕΙΣ ΤΗΝ Α' ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ *

«Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι.[1]» Ἔστι καὶ πρὸς τούτοις ἅπασι καὶ τοῦ ἁγίου Ἀθανασίου ἑρμηνεία ἐν τῷ περὶ τοῦ σεμνοῦ γάμου. Πρὸς ὅλοις τούτοις ἡρμήνευσέ τις καὶ οὕτω. Πρὸς ἁβροδιαίτους καὶ φιλοσάρκους γράφων ὁ Παῦλος, τῇ αὐτῶν φιλοσαρκίᾳ συνεργῷ ἐχρήσατο πρὸς τὴν τῆς πορνείας παραίτησιν, τοῦτο λέγων, ὅτι Τὰ λοιπὰ ἁμαρτήματα ψυχὴν ἀδικεῖ καὶ εἰς αὐτὴν μόνην τὴν βλάβην παραπέμπει· ὁ δέ γε πορνεύων σὺν τῇ ψυχῇ καὶ τὸ σῶμα ἀδικεῖ, φθείρων αὐτὸ καὶ ἐκδυναμῶν, καὶ τὸν ψυχικὸν καὶ ζωτικὸν καθαιρῶν τόνον. Ὡσεὶ εἶπεν· Φείσασθε κἂν τοῦ σώματος ὑμῶν, ὃ περιέπετε καὶ θάλπετε καὶ οὗ πρόνοιαν πλείστην ποιεῖσθε.

Τοῦ ἁγίου Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας, εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου Παύλου, ὅτι «Οἶδα τὸν τοιοῦτον ἄνθρωπον ἁρπαγέντα ἕως τρίτον οὐρανόν[2]», καὶ τὰ ἑξῆς.

Ἀπαγγέλλω ὑμῖν ἅπερ τοῖς ὠσὶν ἀκήκοα, ἔτι νέος ὑπάρχων, παρὰ παλαιῶν ἀνδρῶν, σοφίᾳ καὶ συνέσει κεκοσμημένων καὶ ἀρεταῖς κατηγλαϊσμένων, ἐν ἀσκητικοῖς ἀγῶσι καταγηρασάντων. Συνηγμένων γὰρ αὐτῶν καὶ πνευματικῶς περὶ ἀρετῶν διαλεγομένων, ἦλθον εἰς μέσον ἐρωτήσεις. Τί δήποτε μόνος ὡς ἐξαίρετος παρὰ πάντας ἁγίους ὁ μέγας Ἀπόστολος εἰς τρίτον οὐρανὸν ἤρθη, ἁρπαγεὶς ἐν παραδείσῳ καὶ ἐκεῖθεν ἀκούσας ἄρρητα ῥήματα; Ἀποκριθεὶς δὲ εἷς ἐξ αὐτῶν εἶπεν· Ἤκουσταί μοι παρὰ ἀρχαιοτέρων πατέρων, ὡς πρεσβεία καὶ αἴτησις γέγονε παρὰ τῶν ἀπ' αἰῶνος ἁγίων Πατέρων πρὸς τὸν Θεὸν καὶ Δεσπότην καὶ πάντων Κύριον, ὑπὲρ τοῦ ἀποστόλου Παύλου, ὅπως θεάσωνται τοιοῦτον ἄνδρα, ὃν ἀπὸ τοῦ αἰῶνος οὐκ ἐθεάσαντο. Ἀπὸ γὰρ πάσης τῆς οἰκουμένης καὶ τῶν ἐθνῶν καὶ νήσων πεφωτισμέναι ψυχαὶ καὶ τῇ πρὸς Θεὸν πίστει καὶ ἐλπίδι ἐκλάμπουσαι, ἐν τῇ χώρᾳ τῶν ζώντων καὶ ἐν ταῖς τῶν ἁγίων σκηναῖς συνηθροίζοντο. Ὧν πάντων ὁμολογούντων, ὅτι διὰ τῆς διδασκαλίας Παύλου τῆς θεογνωσίας τὸ φέγγος ἐδέξαντο· διὰ τοῦτο τὴν δέησιν καὶ ἱκεσίαν τῷ Δεσπότῃ προσήγαγον. Ὁ δέ, πληρῶν τὸ αἴτημα τῶν θεραπόντων αὐτοῦ, καὶ πρὸ τῆς ἐντεῦθεν ἀπαλλαγῆς ἀνήγαγεν αὐτὸν πρὸς ἀσπασμὸν καὶ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 27, σ. 1404 ἑξ.

1. Α' Κορ. 7, 1. 2. Β' Κορ. 12, 2.

εὐφροσύνην τῶν ἀπ᾿ αἰῶνος ἁγίων πατριαρχῶν, προφητῶν καὶ δικαίων ἁπάντων, εἴτε ἐν σώματι, ὡς αὐτὸς ἔφη, εἴτε ἐκτὸς τοῦ σώματος, μόνῳ γνωστὸν τῷ Θεῷ, τῷ παραδόξως ποιοῦντι θαύματα καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. ᾿Εκεῖθεν γὰρ εἶδε τὴν τῶν ἄνω στρατηγῶν διακόσμησιν, ἀγγέλων καὶ οὐρανίων δυνάμεων, καὶ τὰ ἄρρητα θαύματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλεῖν, ἢ ἀκοῦσαι.

ΣΧΟΛΙΟΝ

Εἰ περὶ τὸν οὐρανὸν ὑπάρχουν καὶ παράκεινται αἱ τῶν ἁγίων ψυχῶν ψυχαί, ὡς λέγεται· καὶ γὰρ αἱ τῶν δικαίων ψυχαὶ ἐν οὐρανοῖς αὐλίζονται, καὶ ἄλλαι δικαίων ψυχαὶ ἐν παραδείσῳ, καὶ ἄλλαι ἐν γῇ πραέων· ἰδοὺ γοῦν οἰκίαι δικαίων· εἰς αὐτὰς ἁρπαγεὶς ὁ Παῦλος ὑπάρχων, ἁρπαγεὶς δὲ μετὰ τὸ βαπτίσαι αὐτὸν ὁ ἅγιος ᾿Ανανίας, ὅταν ἔπεσον ἀπὸ τοῦ Παύλου ὡσεὶ λεπίδες[1], ἀπὸ ἐκείνου τοῦ καιροῦ ἕως οὗ ὡμολόγησε καὶ εἶπε, καὶ τὴν ᾿Επιστολὴν ἣν λέγει, «῾Ο ὢν εὐλογημένος[2]», καὶ τὰ ἑξῆς, ἕως ἐκεῖ ὑπῆρχον χρόνοι δεκατέσσαρες.

Διὰ τί οὐκ εἶπε Παῦλος· ᾿Εγὼ ἡρπάγην, ἀλλὰ εἶπεν· «Οἶδα ἄνθρωπον;» Ἢ διὰ τὸ μὴ γνῶσαι [γνωρίσαι] ἑαυτὸν εἰς ὑπερηφανίαν, καυχώμενον εἰς δόξαν τοῦ Θεοῦ;

Τοῦ ἁγίου ᾿Αθανασίου εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου Παύλου· «᾿Εδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ.[3]»

Οἱ τὴν εὐσέβειαν σύντροφον ἔχοντες καὶ ἐν τῇ τῶν θείων Γραφῶν μελέτῃ σχολάζοντες, ἐξ αὐτῶν τῶν Γραφῶν ἔχουσι ὁδηγὸν τὴν ἀλήθειαν. Καὶ πρῶτον μὲν εἰδέναι προσήκει τὴν τῆς ᾿Επιστολῆς ὑπόθεσιν, καὶ ὅπως γέγραπται. ᾿Επειδὴ ὁ θειότατος Παῦλος ἐξαιρέτως ἐν ταύτῃ τῇ ᾿Επιστολῇ, ὡς πολλὰ παθὼν καὶ πειρασθεὶς παρὰ τῶν συγγενῶν καὶ ὁμοφύλων καὶ ἀγνωμόνων ᾿Ιουδαίων, ὧν καλεῖ ψευδαδέλφους, ἅπαντα τὰ συμβάντα αὐτῷ ἐμνημόνευσεν, καὶ εἰς οὓς τὴν αὐτὴν ᾿Επιστολὴν ἐπιστέλλει, παραινεῖ λέγων· «῾Ηδέως ἀνέχεσθε τῶν ἀφρόνων φρόνιμοι ὄντες·» καὶ ἐπάγει· «᾿Ανέχεσθε ὅστις ὑμᾶς καταδουλοῖ, ὅστις κατεσθίει, ὅστις κατεπαίρεται[4]», καὶ τὰ ἑξῆς τῆς ᾿Επιστολῆς ἀκολούθως μνημονεύει, καὶ τὰ αὐτοῦ ἄπειρα πάθη αὐτοῖς διαγράφει λέγων· «᾿Εν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως·[5]» καὶ αὖθις προσάγει, τοὺς πειρασμούς, τοὺς λιχασμοὺς καὶ ῥαβδισμούς, τὰ ναυάγια, τοὺς κινδύνους, τοὺς κόπους καὶ μόχθους, καὶ λιμοὺς καὶ δίψεις· καὶ ἅπαντα ὡς γενναῖος ἀθλητὴς ἐμνημόνευσε τῶν ἰδίων. Καὶ οὐκ ἠρκέσθη ἐπὶ τοῖς αὐτοῦ, ἀλλὰ καὶ τῶν παρεκτὸς ἐμνημόνευσεν, «῾Η καθημερινὴ μέριμνα πασῶν τῶν ᾿Εκκλησιῶν.[6]» Ὅθεν καὶ τῇ συνειδήσει τις ἀσθενῶν καὶ αὐτὸς ἠσθένει, οὐ σώματι,

---

1. Πρβλ. Πράξ. 9, 18. 2. ῾Ρωμ. 1, 25. 3. Β΄ Κορ. 12, 7. 4. Β΄ Κορ. 11, 19-20. 5. Β΄ Κορ. 11, 23. 6. Β΄ Κορ. 11, 28.

ἀλλὰ πνεύματι. Καύχημα δὲ ἔχων τὰς θλίψεις ὁ μακάριος ἔλεγεν· «Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι, ἀλλὰ τὰ τῆς ἀσθενείας μου καυχήσομαι·[1]» ἤγουν τὰ τῶν διαφόρων θλίψεών μου πάθη. Διὸ καὶ ἑτέρωθι, ὡς ἄριστος ἀθλητὴς καὶ τὴν ἀκήρατον δόξαν τοῦ Θεοῦ τοῖς τῆς διανοίας ὀφθαλμοῖς κατανοῶν, λέγει· «Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς·[2]» ἐπειδή, ὡς τερπνὰ ὀρφίσματα ὁ θειότατος ἀνὴρ καὶ ἄνω τὸ φρόνημα κεκτημένος, ἅπαντα τὰ κολαστήρια ἐλογίζετο. Αὖθις ἐμνημόνευσε τὴν ἀποκαλυφθεῖσαν αὐτῷ ὀπτασίαν καὶ ἁρπαγὴν εἰς τὸν παράδεισον καὶ τὰ ἄρρητα ἐκεῖνα ῥήματα· ὅθεν, ὡς μὴ βουλόμενος δι' ἑαυτοῦ καυχήσασθαι, ἔφη· «Ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου·[3]» οἱονεὶ ἐν ταῖς θλίψεσί μου καὶ τὰ πάθη μου. «Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί», ἤγουν ἐμπόδιον, ἵνα μὴ ὑψαυχενῶν αἴρωμαι, «ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ.[4]» Σατᾶν ἑρμηνεύεται «ἀντικείμενος·» ἀντέκειντο γὰρ τῇ κηρύξει τῷ μακαρίῳ Παύλῳ τινὲς καὶ μάστιξι δεινοῖς καὶ πολλοῖς κακοῖς κολαστηρίοις τοῦτον ὡς τοῦ νόμου ἀντίπαλον κατεπόνουν, μὴ συγχωρούντων τὸν τῆς διδασκαλίας λόγον σαφῶς κηρύξαι. Τούτους τοίνυν ὁ θεῖος ἀπόστολος ὑποβάλλων ὡς υἱοὺς διαβόλου Σατᾶν ὀνομάζει. Διὸ δὴ καὶ ὁ τῶν ἀποστόλων πρωτόθρονος Πέτρος, ὡς τῇ διδασκάλου γνώμῃ ἀντικείμενος καὶ μὴ τὰ θεῖα, ἀλλὰ τὰ ἀνθρώπινα φρονῶν, Σατᾶν αὐτὸν ὁ Κύριος προηγόρευσε λέγων· «Ὕπαγε ὀπίσω μου, Σατᾶν·[5]» ἤγουν, Ἀντίκεισαι τῇ θείᾳ καὶ σωτηριώδει γνώμῃ μου· ἐπειδὴ τὸ πάθος μου κοινὴν σωτηρίαν τῇ οἰκουμένῃ μέλλει ἐργάσασθαι. Ὡς οὖν τρισσῶς τὸν Κύριον περὶ τούτου παρακαλέσας, εἰρήκει αὐτῷ· «Ἀρκεῖ σοι ἡ χάρις μου.[6]» Ἀρκεῖ σοι ἵνα σκεῦος ἐκλογῆς γενήσῃ, ἵνα ῥήτωρ τῶν Ἐκκλησιῶν κατασταθήσῃ, ἵνα μέχρι τὸν οὐρανὸν καὶ παράδεισον ἁρπαγῇς ἔτι ζῶν ἐν τῷ σαρκίῳ, ἵνα τὴν ἀποκάλυψιν τῶν ἀρρήτων μυστηρίων καὶ τὰ τῶν ἐπουρανίων ταγμάτων ὑπὲρ πᾶσαν γλῶσσαν βροτείαν λαλήσῃ, ἵνα πλήρης θείας σοφίας καὶ Πνεύματος ἁγίου ἐμπλησθήσῃ, ἵνα συγκάθεδρος τῶν συμμυστῶν ἀποστόλων γενήσῃ. Ἀρκεῖ σοι τὰ δοθέντα σοι ταῦτα καὶ παραπλήσια παρ' ἐμοῦ χαρίσματα· «Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται·[7]» ἀσθένειαν, φημί, οὐ τὴν τοῦ σώματος, ἀλλὰ τὰς θλίψεις, τοὺς πειρασμοὺς λέγει. Ὁ γὰρ ἀσθενείᾳ ψυχικῇ ὑποκείμενος πῶς ἑτέροις τὰ ψυχικὰ παθήματα ἰᾶσαι δύναται; Αὐτὸς γὰρ ὁ θεῖος Ἀπόστολος εἴρηκεν· «Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι[8]», τουτέστι, ὅταν ἀσθενῶσιν οἱ πονηροὶ λογισμοὶ τῶν παθῶν ἐν ἐμοί, τότε δυνατός εἰμι τῷ πνεύματι.

---

1. Β' Κορ. 11, 30. 2. Ῥωμ. 8, 18. 3. Β' Κορ. 12, 5. 4. Β' Κορ. 12, 7. 5. Ματθ. 16, 23. 6. Β' Κορ. 12, 9. 7. Β' Κορ. 12, 9. 8. Β' Κορ. 12, 10.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΔΙΔΑΣΚΑΛΙΑ ΠΡΟΣ ΑΝΤΙΟΧΟΝ ΔΟΥΚΑ*

1. Ἐλθὼν πρὸς τὸν ἁγιώτατον ἐπίσκοπον Ἀθανάσιον δοὺξ ὀνόματι Ἀντίοχος, ἐν δεινῇ ἀρρωστίᾳ κατεχόμενος, παρεκάλει εὔχεσθαι ὑπὲρ αὐτοῦ, ὅπως, ἐὰν ὑγιάνῃ, ἐπιστρέψει λοιπὸν πρὸς τὸν Κύριον, μετανοῶν ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτοῦ. Καὶ παρακαλέσαντος τοῦ ἐπισκόπου τὸν φιλάνθρωπον Θεόν, ὑγιὴς τῇ ἑξῆς γέγονε. Καὶ δὴ ἤρχετο φέρων μεθ' ἑαυτοῦ τὰ ὑπάρχοντα αὐτοῦ καὶ τίθησι παρὰ τοὺς πόδας τοῦ ἐπισκόπου, παρακαλῶν δοθῆναι τοῖς πτωχοῖς καὶ τοῖς χρείαν ἔχουσιν· αὐτὸν δέ, λαβόντα τὸ σεμνὸν σχῆμα παρὰ τοῦ ἁγίου ἀνδρός, τὸν ἐνάρετον καὶ μονήρη βίον πολιτεύεσθαι· ὅπερ τῇ τοῦ Θεοῦ χάριτι ἐποίησεν ὁ ἐπίσκοπος. Τότε λέγει τῷ ἐπισκόπῳ ὁ δοὺξ Ἀντίοχος· Ἔδει με, ἀφ' οὗ ἐβαπτίσθην, φυλάξαι τὴν πίστιν καὶ μὴ μολῦναι τὸ βάπτισμα ἔτι· ἀλλ' ἐπειδὴ ἡ ἀφροσύνη μου μεγάλην ἐν ἐμοὶ εἰργάσατο ἀμέλειαν, παρακαλῶ τὴν σὴν ἁγιωσύνην διδάξαι με καὶ κατηχῆσαι καὶ νουθετῆσαι, τίνων ἀπὸ τοῦ νῦν πραγμάτων καὶ ἔργων καὶ λογισμῶν ἐγκρατεύσομαι καὶ τίνων ἄλλων ἐπιμελήσομαι ἀρετῶν.

Τότε ὁ ἐπίσκοπος, ποιήσας εὐχὴν καὶ καθίσας ἐδίδασκεν αὐτὸν ἐν Πνεύματι ἁγίῳ μίαν ἑκάστην ἐντολὴν τῶν διδαγμάτων τοῦ Χριστοῦ πληρῶσαι. Ἄρχεται οὖν λέγειν αὐτῷ·

Χρὴ τὸν ἐπὶ τὴν ἀκηλίδωτον ἀρετὴν ἐρχόμενον καὶ σεμνὸν βίον πολιτευόμενον καὶ ἐπὶ τοῖς προτέροις ἁμαρτήμασι μετανοοῦντα πρὸ πάντων πιστεύειν εἰς ἕνα Θεὸν παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, δι' οὗ τὰ πάντα ἐγένετο, τὰ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, Θεὸν Σωτῆρα ἡμῶν ὑπάρχοντα, ὁμοούσιον τῷ Πατρί· καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τὸ Κύριον καὶ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον. Εἷς Θεὸς μόνος ὁ πάντα χωρῶν, μόνος δὲ ἀχώρητος ὤν, καὶ ὅτι πάντα δύναται, ἀδύνατον δὲ αὐτῷ οὐδέν. Ἐὰν οὕτω πιστεύσῃς ἐξ ὅλης καρδίας σου καὶ ἐξ ὅλης ψυχῆς καὶ ἐξ ὅλης ἰσχύος σου καὶ φοβηθῇς αὐτὸν καὶ ἐγκρατεύσῃς, ὡς λέγω σοι, εἰσακουσθήσεταί σου ἡ ἔντευξις καὶ πιστεύσας λήψῃ παρ' αὐτοῦ τὴν βοήθειαν καὶ νίκην καὶ σωτηρίαν εἰς τοὺς αἰῶνας, Ἀμήν.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 28, σ. 556 ἑξ.

2. Καὶ ἀναστὰς ηὔξατο καὶ μετὰ τὴν εὐχὴν λέγει αὐτῷ· Ἁπλότητα ἔχε καὶ ἄκακος γενοῦ καὶ ἔσο ὡς τὰ νήπια τὰ μὴ γινώσκοντα πονηρίαν, τὴν ἀπολοῦσαν τὴν σωτηρίαν τῶν ἀνθρώπων. Πρῶτον μὲν μηδενὸς καταλάλει, μηδὲ ἡδέως ἄκουε τοῦ καταλαλοῦντος· εἰ δὲ μή, καὶ σὺ ἀκούων ἔνοχος ἔσῃ τῆς ἁμαρτίας τοῦ καταλαλοῦντος, ἐὰν πιστεύσῃς τῇ καταλαλιᾷ, ἢ ἐὰν ἀκούσῃς· πιστεύσας γὰρ καὶ σὺ αὐτὸς ἕξει κατὰ τοῦ ἀδελφοῦ σου, οὕτως οὖν ἔνοχος ἔσῃ τοῦ καταλαλοῦντος. Πονηρὸν γὰρ πνεῦμά ἐστιν ἡ καταλαλιὰ καὶ ἀκατάστατον δαιμόνιον, μηδέποτε εἰρηνεῦον, ἀλλὰ πάντοτε ἐν διχοστασίαις κατοικοῦν. Ἄπεχε οὖν ἀπ' αὐτοῦ καὶ εἰρήνην ἕξεις μετὰ πάντων. Ἔνδυσαι δὲ τὴν ἁπλότητα καὶ τὴν σεμνότητα, ἐν οἷς οὐδὲν πρόσκομμά ἐστι πονηρόν, ἀλλὰ πάντα ὁμαλὰ καὶ ἱλαρά· καὶ ζήσεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

3. Καὶ ἀναστὰς ηὔξατο καὶ μετὰ τὴν εὐχὴν καθίσας λέγει αὐτῷ· Ἄκουε καὶ ταύτην τὴν ἐντολήν. Ἀλήθειαν ἀγάπα καὶ πᾶσα ἀλήθεια ἐκ τοῦ στόματός σου ἐκπορευέσθω, ἵνα τὸ Πνεῦμα τοῦ Θεοῦ κατοικῇ σοι. Οἱ γὰρ ψευδόμενοι ἀθετοῦσι τὸν Θεόν. Ἔλαβον γὰρ Πνεῦμα ἀληθείας καὶ ἐγένοντο οἰκητήρια τοῦ ἀληθινοῦ Πνεύματος. Ἐὰν οὖν τὴν ἀλήθειαν φυλάξῃς, δυνήσῃ σεαυτῷ ζωὴν περιποιήσασθαι. Ὅρκον δὲ δικαίως ἢ ἀδίκως ἔκφευγε, καὶ ἡ ἀλήθεια εἰσάξει σε εἰς τὴν ζωὴν τὴν ἀθάνατον εἰς τοὺς αἰῶνας. Ἀμήν.

4. Καὶ εὐξαμένων αὐτῶν, καθεσθεὶς ὁ ἐπίσκοπος λέγει αὐτῷ· Ἄκουε καὶ τῆς τετάρτης ἐντολῆς. Φύλασσε τὴν ἁγνείαν, καὶ μὴ ἀναβαινέτω ἐπὶ τὴν καρδίαν σου περὶ γυναικὸς ἀλλοτρίας ἢ περὶ πορνείας τινὸς ἢ περὶ τοιούτων ὀνομάτων. Τοῦτο γὰρ ποιῶν ἁμαρτίαν μεγάλην ἐργάζῃ, μὴ ταχέως ἀφιστῶν τὸν νοῦν σου τοῦ τοιούτου αἰσχροῦ φάσματος· ἡ γὰρ ἐνθύμησις αὐτὴ Θεοῦ δούλῳ ἁμαρτία μεγάλη ἐστίν. Εἰ δέ τις ἐργάζεται τὸ ἔργον τὸ πονηρὸν τοῦτο, θάνατον ἑαυτῷ κατεργάζεται. Βλέπε οὖν, ἀπέχου ἀπὸ τῆς ἐνθυμήσεως ταύτης· ὅπου γὰρ σεμνότης καὶ ἁγνεία κατοικεῖ, ἐκεῖ ἀνομία οὐκ ὀφείλει ἀναβαίνειν. Τοῦτο δὲ κατορθοῦται διὰ πυκνοτέρας καὶ ἐπιπόνου εὐχῆς. Τοῦτο οὖν ποίει καὶ ζήσῃ εἰς τοὺς αἰῶνας. Ἀμήν.

5. Καὶ ἀναστάντες ηὔξαντο καὶ καθίσας ὁ ἐπίσκοπος λέγει αὐτῷ. Ἄκουε καὶ τῆς πέμπτης ἐντολῆς· Φύλασσε τὴν εὔνοιαν καὶ μακροθυμίαν, καὶ γίνου συνετὸς καὶ πάντων τῶν πονηρῶν ἔργων κατακυριεύσεις καὶ ἐργάσῃ πᾶσαν δικαιοσύνην. Ἐὰν γὰρ μακρόθυμος ἔσῃ, τὸ Πνεῦμα τὸ ἅγιον κατοικοῦν ἐν σοὶ καθαρὸν ἔσται, μὴ σκοτούμενον ὑπὸ πονηροῦ πνεύματος, μὴ μειούμενον ὑπὸ τῆς ὀξυχολίας. Ἐν γὰρ τῇ μακροθυμίᾳ ὁ Κύριος κατοικεῖ, ἐν δὲ τῇ ὀξυχολίᾳ ὁ διάβολος. Ἀμφότερα οὖν τὰ πνεύματα ἀσύμφορόν ἐστιν ἐν ταὐτῷ κατοικεῖν. Ἐὰν γὰρ λαβὼν ἀψινθίου μικρὸν εἰς κεράμιον μέλιτος ἐπιχέῃς, οὐχὶ ὅλον τὸ μέλι ἀφανίζεται καὶ τοσοῦτον μέλι ὑπὸ τοῦ ἐλαχίστου ἀψινθίου ἀπόλλυται; Ἐὰν δὲ εἰς τὸ μέλι μὴ βληθῇ

τὸ ἀψίνθιον, γλυκὺ εὑρίσκεται τὸ μέλι καὶ εὔχρηστον πάντως γίνεται τῷ δεσπότῃ.

Βλέπε οὖν, ὅτι ἡ μακροθυμία γλυκυτάτη ἐστὶν ὑπὲρ τὸ μέλι καὶ εὔχρηστός ἐστι τῷ Κυρίῳ καὶ ἐν αὐτῇ κατοικεῖ· ἡ δὲ ὀξυχολία τὴν μακροθυμίαν μιαίνει. Ἄκουε δὲ καὶ τὴν ἐνέργειαν τῆς ὀξυχολίας, πῶς πονηρά ἐστι καὶ πλανᾷ τοὺς δούλους τοῦ Θεοῦ καὶ καταστρέφει τῇ ἑαυτῆς ἐνεργείᾳ· οὐκ ἀποπλανᾷ δὲ τοὺς ὄντας πλήρεις ἐν τῇ πίστει οὐδὲ ἐνεργῆσαι δύναται εἰς αὐτούς, ὅτι ἡ δύναμις τοῦ Κυρίου μετ' αὐτῶν ἐστιν· ἀλλὰ ἀποπλανᾷ τοὺς διψύχους. Ὅταν γὰρ ἴδῃ τοὺς τοιούτους ἀνθρώπους εὐσταθοῦντας, παρεμβάλλει ἑαυτὴν εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου· καὶ οὕτω πικραίνεται ἄνθρωπος ἕνεκεν βιωτικῶν πραγμάτων, ἢ φίλου τινός, ἢ περὶ δόσεως καὶ λήψεως, ἢ περὶ τοιούτων μικρῶν πραγμάτων. Ταῦτα πάντα μωρά ἐστι καὶ κενὰ καὶ ἀσύμφορα τοῖς δούλοις τοῦ Θεοῦ. Ἡ δὲ μακροθυμία μεγάλη ἐστὶ καὶ ὀχυρά, ἔχουσα τὴν δύναμιν ἰσχυρὰν καὶ καθημένην ἐν πλατυσμῷ μεγάλῳ· ἱλαρά, ἀγαλλιωμένη καὶ ἀμέριμνος οὖσα δοξάζει τὸν Κύριον ἐν παντὶ καιρῷ μηδὲν ἔχουσα ἐν ἑαυτῇ πικρόν, παραμένουσα διὰ παντὸς ἐν πραότητι καὶ ἡσυχίᾳ.

Αὕτη οὖν ἡ μακροθυμία κατοικεῖ μετὰ τῶν πίστιν ἐχόντων ὁλόκληρος. Ἡ δὲ ὀξυχολία πρῶτον μὲν μωρία ἐστὶ καὶ ἐλαφρία φρενῶν· εἶτα ἐκ τῆς ἀφροσύνης γίνεται πικρία· ἐκ δὲ τῆς πικρίας θυμός, ἐκ δὲ τοῦ θυμοῦ ὀργή, ἐκ δὲ τῆς ὀργῆς μῆνις. Εἶτα ἡ μῆνις ἐκ τοσούτων κακῶν συνισταμένη γίνεται ἁμαρτία μεγάλη καὶ ἀνίατος. Ὅταν γὰρ πάντα τὰ ἀνθρώπινα ταῦτα ἐν ἑνὶ ἀγγείῳ κατοικῇ, ὅπου καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐ χωρεῖ ἐκεῖνο τὸ ἄγγος, ἀλλ' ὑπερπλεονάζει τὸ τρυφερὸν Πνεῦμα μὴ ἔχον συνήθειαν μετὰ πονηροῦ πνεύματος καὶ σκληρότητος κατοικεῖν· ὑποχωρεῖ οὖν ἀπὸ τοῦ ἀνθρώπου τούτου καὶ ζητεῖ κατοικεῖν μετὰ πραότητος καὶ ἡσυχίας. Εἶτα ὅταν ἀποστῇ ἀπὸ τοῦ ἀνθρώπου, οὗ κατοικεῖ, γίνεται ὁ ἄνθρωπος ἐκεῖνος κενὸς ἀπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, καὶ λοιπόν, πεπληρωμένος τῶν πνευμάτων τῶν πονηρῶν, ἀκαταστατεῖ ἐν πάσῃ πράξει αὐτοῦ, περισπώμενος ὧδε κἀκεῖ ἀπὸ τῶν ἀνθρώπων τῶν πονηρῶν, καὶ ὅλος ἀποτυφλοῦται ἀπὸ τῆς διανοίας τῆς ἀγαθῆς. Οὕτως οὖν συμβαίνει πᾶσι τοῖς ὀξυχόλοις. Ἀπέχου οὖν ἀπὸ τῆς ὀξυχολίας τοῦ πονηροῦ δαίμονος· ἔνδυσαι δὲ τὴν μακροθυμίαν καὶ ἀντίστηθι τῇ ὀξυχολίᾳ, καὶ ἔσῃ ἐπαινούμενος μετὰ σεμνότητος τοῖς ἠγαπημένοις ὑπὸ Κυρίου. Βλέπε οὖν μὴ παραλογήσῃ τὴν ἐντολὴν ταύτην· ἐὰν γὰρ ταύτην φυλάξῃς, δυνήσῃ καὶ τὰς λοιπὰς τηρῆσαι. Ἴσχυε οὖν ἐν αὐταῖς καὶ ἐνδυναμοῦ, καὶ νικήσεις καὶ ζήσεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

6. Καὶ ἀναστάντες ηὔξαντο, καὶ καθίσατο ὁ ἐπίσκοπος καὶ εἶπεν αὐτῷ· Ἄκουε καὶ τῆς ἕκτης ἐντολῆς. Ἐνετειλάμην σοι ἐν τῇ πρώτῃ ἐντολῇ, ἵνα φυλάξῃς τὴν πίστιν καὶ τὸν φόβον καὶ ἐγκρατεύσῃ. Ἀπεκρίθη ὁ Ἀντίοχος· Ναί, κύριε, οὕτως ἐστί. Λέγει αὐτῷ ὁ ἐπί-

σκοπος· Ἀλλὰ νῦν θέλω σοι δηλῶσαι καὶ τὰς δυνάμεις αὐτῶν, ἵνα νοήσῃς τὴν δύναμιν ἣν ἔχουσι καὶ ἐνέργειαν· διπλαῖ γάρ εἰσι· κεῖνται γὰρ ἐπὶ δικαίῳ καὶ ἀδίκῳ. Σὺ οὖν πίστευε τῷ δικαίῳ, τῷ δὲ ἀδίκῳ μηδὲν πιστεύσῃς. Τὸ γὰρ δίκαιον ὀρθὴν ὁδὸν ἔχει, τὸ δὲ ἄδικον στρεβλήν. Δύο εἰσὶν ἄγγελοι μετὰ τοῦ ἀνθρώπου, εἷς τῆς δικαιοσύνης, καὶ εἷς τῆς πονηρίας. Καὶ ὁ μὲν τῆς δικαιοσύνης ἄγγελος τρυφερός ἐστι καὶ αἰσχυντηρὸς καὶ πρᾶος καὶ ἰσχυρός. Ὅταν οὖν οὕτως ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, εὐθέως λαλεῖ μετὰ σοῦ περὶ δικαιοσύνης, περὶ ἁγνείας, περὶ σεμνότητος καὶ περὶ αὐταρκείας, καὶ περὶ παντὸς ἔργου δικαίου καὶ περὶ πάσης ἀρετῆς ἐνδόξου. Ταῦτα πάντα ὅταν εἰς τὴν καρδίαν σου ἀναβῇ, γίνωσκε ὅτι ὁ ἄγγελος τῆς δικαιοσύνης μετὰ σοῦ ἐστι. Τούτῳ οὖν πίστευε καὶ τοῖς ἔργοις αὐτοῦ, καὶ ἐγκρατὴς αὐτοῦ γενοῦ. Ὅρα οὖν καὶ τοῦ ἀγγέλου τῆς πονηρίας τὰ ἔργα. Πρῶτον πάντων ὀξύχολός ἐστι καὶ πικρὸς καὶ ἄφρων, καὶ τὰ ἔργα αὐτοῦ πονηρά, καταστρέφοντα τοὺς δούλους τοῦ Θεοῦ. Ὅταν αὐτὸς ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, γνῶθι αὐτὸν ἐπὶ τῶν ἔργων αὐτοῦ. Λέγει αὐτῷ ὁ δοὺξ Ἀντίοχος· Πῶς, κύριε, νοήσω αὐτόν; Οὐκ ἐπίσταμαι, ἐὰν μὴ διδαχθῶ κατὰ λόγον. Λέγει αὐτῷ ὁ ἐπίσκοπος. Ἄκουε λεπτομερῶς καὶ [προσεχὴς] γίνου. Ὅταν ὀξυχολία σοί τις προσέλθῃ, ἢ πικρία, γίνωσκε ὅτι αὐτός ἐστιν ἐν σοί· εἶτα λοιπὸν ἐπιθυμίαι πράξεων πολλῶν καὶ πολυτέλεια ἐδεσμάτων καὶ κραιπαλῶν πολλῶν καὶ ποικίλων τροφῶν καὶ οὐ δεόντων, καὶ ἐπιθυμίαι γυναικῶν καὶ πλεονεξίαι, ὑπερηφανία τε καὶ ἀλαζονεία, καὶ ὅσα τούτοις παραπλήσια. Ταῦτα οὖν ὅταν ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, γίνωσκε ὅτι ὁ ἄγγελος τῆς πονηρίας ἐστὶν ἐν σοί. Σὺ οὖν, ἐπιγνοὺς τὰ ἔργα αὐτοῦ ἀπόστα ἀπ' αὐτοῦ καὶ μηδὲν αὐτῷ πίστευε. Ἔχεις οὖν ἀμφοτέρων τῶν ἀγγέλων τὰς ἐνεργείας· σύνες αὐτάς. Περὶ μὲν τῶν ἔργων τῆς πίστεως αὕτη ἐστὶν ἡ ἐντολή, ἵνα τοῖς ἔργοις τοῦ ἀγγέλου τῆς δικαιοσύνης πιστεύσῃς καὶ ἐργασάμενος αὐτὰ ζήσῃς τῷ Θεῷ· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

7. Καὶ εὐξαμένων αὐτῶν, λέγει αὐτῷ ὁ ἐπίσκοπος· Μέμνησαι, ὅτι εἰς τὴν πρώτην ἐντολὴν ἐνετειλάμην σοι περὶ πίστεως καὶ φόβου καὶ ἐγκρατείας. Ἀπεκρίθη· Ναί, κύριε. Λέγει αὐτῷ. Νῦν ἄκουσον τῆς ἑβδόμης ἐντολῆς, περὶ τοῦ φόβου. Φοβοῦ τὸν Κύριον καὶ φύλασσε τὰς ἐντολὰς αὐτοῦ καὶ ἔσῃ δυνατὸς ἐν πράξει καὶ ἡ πρᾶξίς σου ἀσύγκριτος ἔσται. Φοβούμενος τὸν Κύριον, πάντα καλὰ ἐργάσῃ. Οὗτός ἐστιν ὁ φόβος ὃν δεῖ σε φοβηθῆναι· τὸν διάβολον μὴ φοβηθῇς, ὅτι δύναμις ἐν αὐτῷ οὐκ ἔστιν, οὐδὲ φόβος. Ἐν ᾧ δὲ ἡ δύναμις ᾖ ἔνδοξος, καὶ φόβος ἐν αὐτῷ. Πᾶς γὰρ ὁ δύναμιν ἔχων καὶ φόβον ἔχει· ὁ δὲ μὴ ἔχων δύναμιν ὑπὸ πάντων καταφρονεῖται. Ὁ δοῦλος οὖν τοῦ Κυρίου ἰσχυρός ἐστι καὶ [ἔνδοξος]. Φοβήθητι οὖν τὸν Κύριον καὶ ζήσῃ αὐτῷ, φυλάσσων τὰς ἐντολὰς αὐτοῦ εἰς τοὺς αἰῶνας.

8. Καὶ εὐξαμένων αὐτῶν, λέγει αὐτῷ ὁ ἐπίσκοπος· Ἄκουε καὶ

τῆς ὀγδόης ἐντολῆς περὶ ἐγκρατείας· Νόησον ὅτι ἡ ἐγκράτεια διπλῆ ἐστι. ᾿Επί τινων γὰρ δεῖ σε ἐγκρατεύεσθαι, ἐπί τινων δὲ οὐ δεῖ. Τὸ πονηρὸν ἐγκρατεύεσθαι καὶ μὴ ποιεῖν αὐτό· τὸ δὲ ἀγαθὸν μὴ ἐγκρατεύου, ἀλλὰ ποίει αὐτό. ῎Ακουε δὲ λεπτομερῶς. Λέγει αὐτῷ ὁ ᾿Αντίοχος· Ναί, δέομαί σου, πάντα μοι λεπτομερῶς δήλωσον· ὅτι οὐδέποτε ἤκουσα τοιοῦτον λόγον σωτηρίας καθοπλίζοντα τὸν ἄνθρωπον κατὰ πάσης μηχανῆς τοῦ διαβόλου. Διὰ τοῦτο ἐποίησα καὶ τὸν νοτάριόν μου πᾶσαν τὴν ἔνδοξον καὶ ἐνάρετον ταύτην διδαχὴν γράψαι. Λέγει ὁ ἐπίσκοπος· ᾿Εγκρατεύου ἀπὸ πάσης πονηρίας, ἀπὸ μεθύσματος, ἀνομίας, ἀπὸ τρυφῆς πονηρᾶς, ἀπὸ ἐδεσμάτων πολλῶν καὶ πολυτελῶν, πλούτου, καυχήσεως, ὑψηλοφροσύνης καὶ ὑπερηφανίας καὶ ψεύδους καὶ καταλαλιᾶς καὶ ὑποκρίσεως καὶ μνησικακίας καὶ πάσης βλασφημίας. Ταῦτα τὰ ἔργα πονηρά ἐστι τῇ ζωῇ τῶν ἀνθρώπων. Τούτων οὖν τῶν ἔργων δεῖ ἐγκρατεύεσθαι τὸν δοῦλον τοῦ Θεοῦ. ῾Ο γὰρ μὴ ἐγκρατευόμενος τούτων οὐ δύναται ζῆσαι τῷ Θεῷ. ῎Ακουε δὲ καὶ τὰ ἀκόλουθα τούτων. Λέγει ὁ δοὺξ ᾿Αντίοχος· ῎Ετι γάρ, κύριε, πονηρά εἰσιν ἔργα; Λέγει αὐτῷ ὁ ἐπίσκοπος· Καὶ πολλά εἰσιν ἀφ' ὧν δεῖ τὸν δοῦλον τοῦ Θεοῦ ἐγκρατεύεσθαι, κλοπή, ψεῦδος, ἀποστέρησις, ψευδομαρτυρία, πλεονεξία, ἀλαζονεία καὶ ὅσα τούτοις ὅμοια. Εἰ οὐ δοκεῖ σοι πονηρὰ εἶναι ταῦτα; ᾿Απεκρίθη· Καὶ λίαν πονηρὰ τοῖς δούλοις τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ ἐπίσκοπος· ᾿Εγκρατεῦσαι οὖν ἀπὸ πάντων τούτων, ἵνα ζήσῃς τῷ Θεῷ καὶ ἐγγραφήσῃ μετὰ τῶν ἐγκρατευομένων. ῝Α μὲν οὖν δεῖ ἐγκρατεύεσθαι, ταῦτά ἐστιν· ἃ δὲ δεῖ σε μὴ ἐγκρατεύεσθαι, ἀλλὰ ποιεῖν, ἄκουε· Πάντων πρῶτον πίστις, φόβος Κυρίου, ὁμόνοια, ἀγάπη, ῥήματα δικαιοσύνης, ἀλήθεια, ὑπομονή. Τούτων ἀγαθώτερον οὐδέν ἐστιν ἐν τῇ ζωῇ τῶν ἀνθρώπων. Ταῦτα ἐάν τις φυλάσσῃ καὶ μὴ ἐγκρατεύηται ἀπ' αὐτῶν, μακάριός ἐστιν ἐν τῇ ζωῇ αὐτοῦ. Εἶτα τούτων τὰ ἀκόλουθα ἄκουε· χήρας ὑπηρετεῖν καὶ ὀρφανοὺς ὑστερουμένους ἐπισκέπτεσθαι, ἐξ ἀνάγκης λυτρώσασθαι τοὺς δούλους τοῦ Θεοῦ, φιλόξενον εἶναι (ἐν γὰρ τῇ φιλοξενίᾳ εὑρίσκεται ἀγαθοποίησις), ἡσύχιον εἶναι, ἐνδεέστερον γενέσθαι, πάντα ἄνθρωπον πρεσβύτην σέβεσθαι, ἀσκεῖν δικαιοσύνην, ἀδελφότητα συντηρεῖν, ὕβριν ὑποφέρειν, μακρόθυμον εἶναι, ἀμνησίκακον, κάμνοντας τῇ ψυχῇ παρακαλεῖν, ἐσκανδαλισμένους ἀπὸ τῆς πίστεως μὴ ἀποβαλέσθαι, ἀλλ' ἐπιστρέφειν καὶ εὐθύμους ποιεῖν, ἁμαρτάνοντας νουθετεῖν, χρεώστας μὴ θλίβειν, ἐνδεεῖς μὴ λυπεῖν καὶ ὅσα τούτοις ὅμοιά ἐστι. Δοκεῖ σοι ταῦτα ἀγαθὰ εἶναι; ᾿Απεκρίθη ὁ ᾿Αντίοχος· Τί γάρ, κύριε, δύναται τούτων ἀγαθώτερον εἶναι; Λέγει αὐτῷ ὁ ἐπίσκοπος· Γύμναζε σεαυτὸν ἐν τούτοις καὶ μὴ ἐγκρατεύου πάντων, καὶ ζήσεις τῷ Θεῷ εἰς τοὺς αἰῶνας. ᾿Αμήν.

9. Καὶ εὐξαμένων αὐτῶν ἀναστὰς λέγει ὁ ἐπίσκοπος· ῎Ακουε καὶ ταύτην ἔτι τὴν διδασκαλίαν· πάνυ γὰρ ὠφέλιμός ἐστιν. ῏Αρον ἀπὸ σοῦ τὴν διψυχίαν, καὶ μηδενὸς ὅλως διψυχήσῃς αἰτήσασθαι παρὰ

τοῦ Θεοῦ λέγων ἐν ἑαυτῷ, ὅτι Πῶς δυνήσομαι αἰτήσασθαι παρὰ τοῦ Κυρίου λαβεῖν ἡμαρτηκὼς τοσαῦτα εἰς αὐτόν; Μὴ διαλογίζου ταῦτα, ἀλλ' ἐξ ὅλης καρδίας σου ἐπίστρεψον πρὸς Κύριον καὶ αἰτοῦ παρ' αὐτοῦ ἀδιστάκτως καὶ γνώσῃ τὴν πολυεσπλαγχνίαν αὐτοῦ, ὅτι οὐ μή σε ἐγκαταλείπῃ, ἀλλὰ τὸ αἴτημα τῆς ψυχῆς σου πληροφορήσει. Οὐκ ἔστι γὰρ ὁ Θεὸς ὡς οἱ ἄνθρωποι μνησικακοῦντες, ἀλλ' αὐτὸς ἀμνησίκακός ἐστι καὶ σπλαγχνίζεται ἐπὶ τὴν ποίησιν αὐτοῦ. Σὺ οὖν καθάρισον τὴν καρδίαν σου ἀπὸ πάντων τῶν ματαίων τούτων καὶ τῶν προειρημένων σοι ῥημάτων καὶ αἰτοῦ παρὰ τοῦ Κυρίου καὶ λήψῃ, καὶ ἀπὸ πάντων τῶν αἰτημάτων σου ἀστέρητος ἔσῃ, ἐὰν ἀδιστάκτως αἰτήσῃς. Ἐὰν δὲ διστάσῃς ἐν τῇ καρδίᾳ σου, οὐδὲν οὐ μὴ λήψῃ τῶν αἰτημάτων σου. Οἱ γὰρ διστάζοντες εἰς τὸν Θεόν, οὗτοί εἰσιν ὡς δίψυχοι καὶ οὐδὲν ὅλως λαμβάνουσι τῶν αἰτημάτων αὐτῶν. Οἱ δὲ ὁλοτελεῖς ὄντες ἐν τῇ πίστει πάντα αἰτοῦνται πεποιθότες ἐπὶ τὸν Θεὸν καὶ λαμβάνουσιν, ὅτι ἀδιστάκτως αἰτοῦνται μηδὲν διψυχοῦντες. Πᾶς γὰρ δίψυχος ἀνήρ, ἐὰν μὴ μετανοήσῃ, δυσκόλως σωθήσεται. Καθάρισον οὖν τὴν καρδίαν σου ἀπὸ τῆς διψυχίας· ἔνδυσαι δὲ τὴν πίστιν, ὅτι ἰσχυρά ἐστι, καὶ πίστευε τῷ Θεῷ, ὅτι πάντα τὰ αἰτήματά σου, ἃ αἰτῇ, λήψῃ. Καὶ ἐὰν αἰτησάμενός ποτε παρὰ τοῦ Κυρίου αἴτημά τι καὶ [μὴ ἀπολήψῃ], μὴ διψυχήσῃς, ὅτι τάχιον οὐκ ἔλαβες τὸ αἴτημα τῆς ψυχῆς σου· πάντως γὰρ διὰ πειρασμόν τινα ἢ παράπτωμά τι ὃ σὺ ἀγνοεῖς, οὐκ ἔλαβες. Σὺ οὖν μὴ διαλίπῃς εὐχόμενος τὸ αἴτημα τῆς ψυχῆς σου, ἕως οὗ ἀπολήψῃ αὐτό. Ἐὰν δὲ ἐκκακήσῃς καὶ διψυχήσῃς αἰτούμενος, ἑαυτὸν αἰτιῶ καὶ μὴ τὸν μὴ διδόντα σοι. Βλέπε οὖν τὴν διψυχίαν ταύτην· πονηρὰ γάρ ἐστι καὶ ἀσύνετος καὶ πολλοὺς ἐκριζοῖ ἀπὸ τῆς πίστεως, καί γε λίαν πιστοὺς καὶ ἰσχυρούς· Καταφρόνησον οὖν αὐτῆς ἐν παντὶ πράγματι, ἐνδυσάμενος τὴν πίστιν τὴν ἰσχυρὰν καὶ δυνατήν· ἡ γὰρ πίστις πάντα ἐπαγγέλλεται, πάντα τελειοῖ· ἡ δὲ διψυχία, μὴ καταπιστεύουσα ἑαυτήν, πάντων ἀποτυγχάνει τῶν ἔργων αὐτῆς, ὧν πράσσει. Σύ οὖν δούλευε τῇ εὐχῇ σου, τῇ δυνάμει τῆς πίστεως, καὶ ζήσῃ τῷ Θεῷ καὶ πάντες οἱ καταφρονήσαντες εἰς τοὺς αἰῶνας. Ἀμήν.

10. Καὶ εὐξαμένων αὐτῶν, λέγει αὐτῷ ὁ ἐπίσκοπος· Ἄκουε καὶ τῆς δεκάτης ἐντολῆς· Ἆρον ἀπὸ σοῦ πᾶσαν ἐπιθυμίαν πονηράν, ἔνδυσαι τὴν ἐπιθυμίαν τὴν ἀγαθὴν καὶ σεμνήν· ἐνδεδυμένος γὰρ τὴν ἐπιθυμίαν ταύτην, μισήσεις τὴν πονηρὰν ἐπιθυμίαν. Ἀγρία γὰρ ἐπιθυμία εἰς τάδε ἀνεμπεσεῖ, εἰς λύπην (.... ἐὰν μὴ ᾖ) συνετὸς δαπανᾶται ὑπ' αὐτῆς δεινῶς. Δαπανᾷ δὲ τούτους μὴ ἔχοντας ἔνδυμα ἐπιθυμίας ἀγαθῆς, ἀλλ' ἐμπεφυρμένους τῷ αἰῶνι τούτῳ· τούτους οὖν παραδίδωσιν εἰς θάνατον. Καὶ λέγει ὁ Ἀντίοχος· Ποῖα, κύριε, εἰσὶ τῆς ἐπιθυμίας τῆς πονηρᾶς τὰ παραδιδόντα τοὺς ἀνθρώπους εἰς θάνατον; Γνώρισόν μοι, ἵνα φύγω ἀπ' αὐτῶν. Λέγει αὐτῷ ὁ ἐπίσκοπος· Ἄκουσον. Πρῶτον πάντων ἐπιθυμία γυναικὸς καὶ πολυτέλεια πλού-

του, ἥ ἐστι φιλαργυρία, καὶ ἐδεσμάτων πολλῶν καὶ ματαίων, καὶ μεθύσματος πολλοῦ, διαφόρων γεύσεων καὶ ἑτέρων τρυφῶν πολλῶν καὶ μωρῶν, καὶ δόξης ἀνθρωπίνης καὶ ματαίας. Πᾶσα τρυφὴ μωρά ἐστι καὶ κενὴ τοῖς δούλοις τοῦ Θεοῦ. 'Απέχεσθαι οὖν δεῖ τῶν ἐπιθυμιῶν τούτων, ἵνα ἀπεχόμενοι ζήσητε τῷ Θεῷ. 'Εὰν δὲ δουλεύσῃς τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ καὶ ὑποταγῇς αὐτῇ, δύνασαι κατακυριεῦσαι τῆς ἐπιθυμίας τῆς πονηρᾶς καὶ ὑποτάξαι αὐτήν, καθὼς βούλει. 'Ο 'Αντίοχος λέγει. Ἤθελον γνῶναι ποίοις τρόποις δεῖ με δουλεῦσαι τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ. 'Ο ἐπίσκοπος λέγει· Ἄκουε· Ἔργασαι δικαιοσύνην καὶ ἀρετὴν ἀληθείας καὶ φόβον Κυρίου καὶ πίστιν καὶ ἀγάπην καὶ ταπεινοφροσύνην καὶ ἀκτημοσύνην. . . . ιθην ποιῆσαι τῆς κοσμικῆς.......ότητος, καὶ ὅσα τούτοις ὅμοια τοῖς προειρημένοις, ταῦτα ἐργαζόμενος, εὐάρεστος ἔσῃ δοῦλος Θεοῦ εἰς τοὺς αἰῶνας. 'Αμήν.

Πάλιν λέγει αὐτῷ ὁ ἐπίσκοπος· 'Ο διάβολος, ὅταν ἴδῃ ὅτι δι' ἑαυτοῦ, τουτέστι διὰ τοῦ ἰδίου λογισμοῦ, οὐδὲν δύναταί σε βλάψαι, τότε φέρει πρὸς σὲ ἀσθενεστέρους μοναχούς, καὶ δι' αὐτῶν πρόφασίν τινα διαλόγων ἢ ἔργων, ἢ ἀναπαύσεως, ἢ ζήλου σαρκικοῦ δίδωσί σοι, εἰς τὸ σκανδαλίσαι καὶ ταράξαι. Σὺ δὲ νοῶν τοῦ ἐχθροῦ εἶναι κατασκευὴν τοῦτο, μὴ ἄρξῃ εἰς διάνοιάν σου λέγειν. 'Εγὼ ἀπὸ τοῦ τοιούτου γένους εἰμὶ μεγάλου καὶ οὗτος ἰδιώτης καὶ εὐτελής, κἀγὼ εἰς τοὺς πόδας αὐτοῦ ἔχω πεσεῖν; μᾶλλον δὲ διὰ τοῦτο πρόσπεσε αὐτῷ, μεμνημένος τῆς τοῦ Σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ ἐντολῆς, ἥτις σοι παρακελεύεται· «'Εάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην [1]», καὶ μὴ πρότερον αὐτοῦ ἀποστῇς τῶν ποδῶν, ἕως οὗ συγχώρησιν μετ' εὐχῆς παρ' αὐτοῦ δέξῃ, ὅπως τέλειός σοι ἀποδοθῇ τῆς ταπεινοφροσύνης ὁ στέφανος εἰς τοὺς αἰῶνας. 'Αμήν.

11. Καὶ εὐξαμένων αὐτῶν, λέγει αὐτῷ ὁ ἐπίσκοπος· Ἄκουε καὶ τῆς ἑνδεκάτης ἐντολῆς· Ἆρον ἀπὸ σοῦ τὴν λύπην· καὶ γὰρ αὕτη ἀδελφή ἐστι τῆς διψυχίας· καὶ τῆς ὀξυχολίας. Λέγει ὁ 'Αντίοχος· Πῶς, κύριε, ἀδελφή ἐστιν αὐτῆς; Ἄλλο γάρ μοι δοκεῖ ὀξυχολία καὶ ἄλλο διψυχία καὶ ἄλλο λύπη. Λέγει αὐτῷ ὁ ἐπίσκοπος· Διὰ τί οὐ νοεῖς τὰ λεγόμενά σοι; Καὶ γὰρ ἐκεῖνοι οὐ νοοῦσιν, οἱ βάλλοντες ἑαυτοὺς εἰς τὰ σαρκικὰ καὶ κοσμικὰ πράγματα. Οὐ νοεῖς ὅτι ἡ λύπη πάντων τῶν παθῶν πονηροτέρα ἐστὶ καὶ δεινοτάτη τοῖς δούλοις τοῦ Θεοῦ, καὶ παρὰ πάντα τὰ πνεύματα καταφθείρει τὸν ἄνθρωπον; Οἱ δὲ φόβον ἔχοντες Θεοῦ καὶ ἐρευνῶντες περὶ Θεοῦ ἔργων καὶ ἀληθείας καὶ τὴν καρδίαν ἔχοντες πρὸς Κύριον, πάντα τὰ λεγόμενα αὐτοῖς τάχιον νοοῦσι καὶ συνιοῦσιν, ὅτι καθαροί εἰσι καὶ ἀμέριμνοι ἀπὸ πάσης φροντίδος καὶ μερίμνης κοσμικῆς, καὶ οὐδὲν ἄλλο εἰ μὴ τὸν φόβον τοῦ Θεοῦ ἔχουσιν ἐν ἑαυτοῖς. Ὅπου γὰρ ὁ Κύριος κατοικεῖ, ἐκεῖ καὶ σύνεσις πολλή. Κολλήθητι οὖν τοῦ Κυρίου καὶ πάντων νοήσεις. Ἄκουε

1. Ματθ. 5, 39.

οὖν πῶς ἡ λύπη ἐκτρίβει τὸ πνεῦμα καὶ πάλιν σῴζει. Ὅταν ὁ δίψυχος ἐπιβάληται πρᾶξαί τι καὶ ἀποτύχῃ διὰ τὴν διψυχίαν αὐτοῦ, ἡ λύπη ἐκπορεύεται εἰς τὸν ἄνθρωπον καὶ λυπεῖ τὸ Πνεῦμα τὸ ἅγιον καὶ στενοχωρεῖ αὐτό. Εἶτα πάλιν ὀξυχολία ὅταν κολληθῇ τῷ ἀνθρώπῳ περὶ πράγματός τινος, καὶ λίαν πικρανθῇ, καὶ ποιήσῃ τι κακόν, πάλιν ἡ λύπη εἰσπορεύεται εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου τοῦ ὀξυχολήσαντος, καὶ λυπεῖται ἐπὶ τῇ πράξει αὐτοῦ, ᾗ ἔπραξε, καὶ μετανοεῖ, ὅτι πονηρὸν εἰργάσατο. Αὕτη οὖν ἡ λύπη δοκεῖ σωτηρίαν ἔχειν, ὅτι τὸ πονηρὸν πράξας μετενόησεν. [Ἀμφότεραι δὲ τῶν] πράξεων λυποῦσι τὸν ἄνθρωπον· [ἡ μὲν λύπη, ὅτι] ἀπέτυχε τῆς πράξεως, ἡ δὲ ὀξυχολία, ὅτι ἔπραξε τὸ πονηρόν. Ἀμφότερα οὖν λυπηρά ἐστι τῷ Πνεύματι τῷ ἁγίῳ. Ἆρον οὖν ἀπὸ σοῦ τὴν λύπην καὶ μὴ θλῖβε τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐν σοὶ κατοικοῦν, μήποτε ἐντεύξηται τῷ Θεῷ καὶ ἀποστῇ ἀπὸ σοῦ. Τὸ γὰρ Πνεῦμα τοῦ Θεοῦ, τὸ δοθὲν εἰς τὴν σάρκα ταύτην, λύπην σαρκικὴν οὐχ ὑποφέρει, οὐδὲ στενοχωρίαν. Λύπη γὰρ ἡ ἐπὶ τοῖς πρώτοις ἁμαρτήμασι μόνη ἔχει ὠφέλειαν, ἐὰν μὴ πάλιν ἁμαρτήσῃς. Ἔνδυσαι οὖν τὴν ἱλαρότητα, τὴν πάντοτε ἔχουσαν χάριν παρὰ τῷ Θεῷ καὶ εὐπρόσδεκτον οὖσαν αὐτῷ καὶ ἐντρύφησον ἐν αὐτῇ. Πᾶς γὰρ ἱλαρὸς ἀνὴρ ἀγαθὰ ἐργάζεται καὶ ἀγαθὰ φρονεῖ καὶ καταφρονεῖ τῆς ματαίας λύπης. Ὁ δὲ λυπηρὸς ἀνὴρ πάντοτε ὀργίζεται καὶ ἀνομίαν ἐργάζεται μὴ ἐντυγχάνων μηδὲ ἐξομολογούμενος τῷ Θεῷ. Πάντοτε γὰρ λυπηροῦ ἀνδρὸς ἡ ἔντευξις οὐκ ἔχει δύναμιν τοῦ ἀναβῆναι ἐπὶ τὸ θυσιαστήριον τοῦ Θεοῦ· ὅτι ἡ λύπη ἐγκάθηται εἰς τὴν καρδίαν αὐτοῦ. Μεμιγμένη οὖν ἡ λύπη ἡ κοσμικὴ μετὰ τῆς ἐντεύξεως οὐκ ἀφίησι τὴν ἔντευξιν ἀναβῆναι καθαρὰν εἰς τὸ θυσιαστήριον. Ὥσπερ γὰρ ὄξος καὶ οἶνος μεμιγμένα τὴν αὐτὴν ἡδονὴν οὐκ ἔχουσιν, οὕτω καὶ λύπη μεμιγμένη μετὰ τοῦ ἁγίου Πνεύματος τὴν αὐτὴν ἔντευξιν [οὐκ ἔχει]. Καθάρισον οὖν ἑαυτὸν ἀπὸ τῆς λύπης πονηρᾶς ταύτης, καὶ ζήσῃ τῷ Θεῷ εἰς τοὺς αἰῶνας. Ἀμήν.

12. Καὶ εὐξαμένων αὐτῶν, λέγει αὐτῷ ὁ ἐπίσκοπος· Βλέπε στερεῶς, καὶ ἐξ ὅλης τῆς καρδίας σου ἐπίστρεφε πρὸς Κύριον· καὶ μὴ φοβηθῇς τὸν διάβολον· δύναμις γὰρ ἐν αὐτῷ οὐκ ἔστι κατὰ τῶν δούλων τοῦ Θεοῦ. Ὁ Θεὸς γάρ ἐστιν ὁ παρέχων τὴν νίκην. Ὁ διάβολος μόνον φόβον ἔχει· ὁ δὲ φόβος αὐτοῦ τόνους οὐκ ἔχει. Μὴ φοβηθῇς οὖν αὐτόν, καὶ φεύξεται ἀπὸ σοῦ, μηδὲ τὴν ἀπειλὴν αὐτοῦ δειλιάσῃς. Ἄτονος γὰρ ὡς νεκροῦ νεῦρα. Οὐ δύναται γὰρ καταδυναστεύειν τῶν δούλων τοῦ Θεοῦ τῶν ἐξ ὅλης καρδίας ἐλπιζόντων ἐπ' αὐτόν. Δύναται οὖν ὁ διάβολος παλαῖσαι, καταπαλαῖσαι, δὲ οὐ δύναται· Ἐὰν οὖν ἀντιστῇς αὐτόν, νικηθεὶς φεύξεται ἀπὸ σοῦ κατῃσχυμμένος. Μᾶλλον φοβήθητι τὸν Κύριον τὸν δυνάμενον σῶσαι καὶ ἀπολέσαι. Μὴ δειλιάσῃς, μηδὲ φοβηθῇς τὸν θάνατον, φθαρτὸς γάρ ἐστιν· ἀλλὰ φοβοῦ τὴν ἁμαρτίαν, προαιρετικὴ γάρ ἐστι. Φύλασσε σεαυτὸν ἀπὸ τῶν τρίτων μελῶν τοῦ σώματός σου, ὀφθαλμοῦ, στόματος καὶ ἀκοῆς· μήποτε

διὰ τῶν ὀφθαλμῶν σου φθονερῶς καὶ ἀκολάστως προσέχῃς τινί, καὶ διὰ στόματος τοῦ μὴ λαλεῖν ποτε ἀσύμφορα, καὶ ἀκοὴν τῇ ὑγιαινούσῃ [διδασκαλίᾳ ἐπίστρεφε], μήποτε καταδέξῃ λόγ[ους ἀσεβεῖς], μήποτε ἡττηθῇς ἀσυνέτοις λογισμοῖς, ἀκοῇ βλαβερᾷ, καὶ ἐπιστρέψῃς ὡς κύων ἐπὶ τὸν ἴδιον ἐμετόν. ᾿Αλλὰ λάβε μᾶλλον εἰς τὴν σὴν ἔννοιαν τὴν ἐσχάτην ἡμέραν. Οὐ γὰρ μόνος τὸν αἰῶνα βιώσεις, ἀλλὰ τὴν τότε μνήσθητι συνοχὴν καὶ πνιγμὸν καὶ θανάτου ὥραν καὶ ἀπόφασιν Θεοῦ κατεπείγουσαν καὶ ἀγγέλους ἐπισπεύδοντας καὶ ψυχὴν ἐν τούτοις θορυβουμένην καὶ ἅμα τῷ συνειδότι πικρῶς μαστιγουμένην καὶ πρὸς τὰ ὧδε ἐλεεινῶς ἐπιστρέφουσαν. Καὶ τὴν ἀπαραίτητον τῆς μακρᾶς ἐκείνης ἀποδημίας ἀνάγκην διάγραψόν μοι τῇ διανοίᾳ, τὴν τελευταίαν τοῦ κοινοῦ βίου καταστροφήν, ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ Θεοῦ ἐν τῇ δόξῃ αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ τῶν ἁγίων. ῞Ηξει γὰρ καὶ οὐ παρασιωπήσεται, ὅταν ἔλθῃ ὁ Κύριος κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Μνήσθητι τὸν πύρινον ποταμόν, τὸν σκώληκα τὸν ἀκοίμητον, τὸν δεινὸν ᾅδην, τὸ σκότος τὸ ἐξώτερον, τὸν πικρὸν κλαυθμόν, τὸν βρυγμὸν τῶν ὀδόντων, τὴν ἄσβεστον κάμινον. Πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα παραστήσεται· ὅταν ἡ σάλπιγξ ἐκείνη μέγα τι καὶ φοβερὸν ἠχήσασα τοὺς ἀπ' αἰῶνος ἐξ. . . . καθεύδοντας, «καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ πράξαντες εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως.[1]» Μνήσθητι τῆς τοῦ Δανιὴλ ὀπτασίας, πῶς ἐπ' ὄψεσιν ἄγει τὴν κρίσιν, ὅτι, φησίν, «῞Εως οὗ θρόνοι ἐτέθησαν καὶ Παλαιὸς ἡμερῶν ἐκάθισε καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡς χιὼν καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡς ἔριον καθαρόν. ῾Ο θρόνος αὐτοῦ ὡς φλὸξ πυρός· οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ. Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. Κριτήριον ἐκάθισε καὶ βίβλοι ἠνεῴχθησαν.[2]» Τὰ ἀγαθά, τὰ φαῦλα, τὰ φανερά, τὰ κεκρυμμένα, τὰ πράγματα, τὰ ῥήματα, τὰ ἐνθυμήματα, εὐθέως οὖν εἰς ἐξάκουστον τοῖς πᾶσι, καὶ ἀγγέλοις καὶ ἀνθρώποις σαφῶς ἀνακαλύψει. Πάντα γάρ, ὡς προεῖπον, γυμνὰ καὶ τετραχηλισμένα παραστήσει τῷ βήματι τῷ φοβερῷ. Βλέπε λοιπὸν τὸν χρόνον ἐν ᾧ δεῖ σε καρπώσασθαι τὸ ἀμέτρητον αὐτοῦ ἔλεος, μὴ ἐν ματαιότητι ἀναλώσῃς καὶ ἐν πύλαις ᾅδου ζητήσεις τοῦτο καὶ οὐχ εὑρήσεις ὃ ἐν τῷ ὕψει τῶν ἡμερῶν σου προκείμενον οὐκ ἠθέλησας. Μνήσθητι οὖν καὶ ταύτην τὴν φρικτὴν τῆς ἀπολογίας ἡμέραν τῆς κρίσεως, καὶ ἴδε πῶς μέλλεις ἀπολογεῖσθαι τῷ πλάσαντί σε Θεῷ, ὅτι αὐτός ἐστι κριτὴς ζώντων καὶ νεκρῶν, ὅτι δεδόξασται τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ὡς ἐπ' ἀρχῆς καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

13. Καὶ συντελέσας τὰς δώδεκα ταύτας ἐντολὰς ὁ ἐπίσκοπος λέγει

1. ᾿Ιω. 5, 29. 2. Δαν. 7, 9-10.

αὐτῷ· Πορεύου ἐν ταῖς ἐντολαῖς ταύταις καὶ παρακάλει καὶ τοὺς ἀκούοντας πορεύεσθαι ἐν αὐταῖς, ἵνα ἡ μετάνοια αὐτῶν καθαρὰ γένηται τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς αὐτῶν· θαρροῦντες, ὅτι λήψονται, οὐ μόνον ἄφεσιν ἁμαρτιῶν, ἀλλὰ καὶ τὴν κληρονομίαν τῆς ἐπουρανίου βασιλείας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

14. Ταύτας ἀκούσας τὰς ἐντολὰς ὁ Ἀντίοχος καὶ γράψας αὐτὰς ἐπὶ τὴν καρδίαν αὐτοῦ ὡς ἐν βιβλίῳ, σπεύσας ὀρθοδρόμησε τῷ κοινοβίῳ, λέγων ἐν ἑαυτῷ· Μήπως κατὰ μόνας οἰκῶν ὑψωθῶ καὶ βλάψω ἑαυτόν· ἀλλὰ μᾶλλον δίδωμι ἐμαυτὸν εἰς ὑπακοὴν ἀδελφῶν· καὶ θεωρῶν ἑνὸς ἑκάστου τὴν πολιτείαν, ζήλῳ κρατούμενος κἀγὼ τῇ τοῦ Θεοῦ χάριτι τὴν αὐτὴν πληρώσω ἀρετήν· ὅπερ καὶ γέγονεν· εἰσελθὼν γὰρ εἰς κοινόβιον, οὕτως [ἐπολιτεύσατο] μετὰ τῆς ἀδελφότητος, ὡς νομίζειν αὐτὸν μὴ μετὰ ἀνθρώπων οἰκεῖν, ἀλλὰ μετὰ ἀγγέλων Θεοῦ, καὶ τὰ κελευόμενα μετὰ πάσης σπουδῆς καὶ προθυμίας καὶ χαρᾶς ἐποίει. Πάντα τύφον καὶ ὑπερηφανίαν καὶ μνήμην κοσμικὴν ἐκποδὼν ποιήσας, πᾶσαν ἤσκει σωφροσύνην, ὑπακοήν, ταπεινοφροσύνην, φιλαδελφίαν, σιωπήν, ἀγάπην, οὐδὲν ἄλλο ἐννοῶν, εἰ μὴ τὰς ἀντολὰς καὶ νουθεσίας τοῦ ἁγίου πατρὸς καὶ ἐπισκόπου Ἀθανασίου καὶ τὴν ἐλπίδα τὴν ἐν Χριστῷ Ἰησοῦ. Καὶ πάντες ὠφελοῦντο οἱ ἀδελφοὶ βλέποντες τὸν ἄνδρα ποτὲ μὲν ἐν τῷ κόσμῳ πλούσιον καὶ ἔνδοξον καὶ μετὰ πάσης πολιτείας ἀνατραφέντα, νῦν δὲ μὴ λογιζόμενον ἑαυτὸν ἄνθρωπον εὐγενῆ καὶ ἐλεύθερον, ἀλλὰ πᾶσαν εὐτέλειαν ἀσκοῦντα, καὶ ἐδόξαζον τὸν Θεὸν τὸν πλείονα χαριζόμενον τοῖς ἀνθρώποις ὧν αἰτοῦσιν ἢ ζητοῦσιν αὐτόν. Ὅνπερ ἰδὼν ὁ ἡγούμενος τοῦ μοναστηρίου τοσούτων τῇ τοῦ Θεοῦ χάριτι γέμοντα κατορθωμάτων καὶ πᾶσαν ἀρετὴν ἠμφιεσμένον, τῷ δευτέρῳ ἐνιαυτῷ τῆς εἰσόδου αὐτοῦ, κατέστησεν αὐτὸν ἀποκρισιάριον τῆς μονῆς, ὅπως ἐξερχόμενος ἐπὶ τὴν πόλιν πᾶσαν χρείαν μετὰ πάσης εὐλαβείας διακονήσῃ, ᾧτινι καὶ πᾶσα ἡ ἀδελφότης συνήνεσεν.

Ὁ δὲ δοῦλος τοῦ Θεοῦ Ἀντίοχος ἀντιλέγειν μὴ εἰδώς, μετὰ πάσης εὐλαβείας, ὡς ἀπ' ἀρχῆς, καὶ ταύτην ἐποίησε τὴν ὑπακοήν· καὶ αἰτήσας εὐχὴν παρὰ πάσης τῆς ἀδελφότητος, ἐξήρχετο λοιπὸν ἐπὶ τὴν πόλιν εἰς πᾶσαν ἀπόκρισιν τοῦ μοναστηρίου. Εὑρὼν δὲ εἰς τὴν πόλιν φίλον ἀρχαῖον, διάκονον τῆς Ἐκκλησίας, ὀνόματι Πιστόν, παρ' αὐτῷ ἔμενεν, ὅτε ἤρχετο εἰς τὴν πόλιν προφάσει διακονίας. Ἰδὼν οὖν ὁ φθονερὸς δαίμων τὴν τοσαύτην ἐπιστήμην καὶ ἀρετὴν τοῦ ἀνδρός, καὶ μὴ φέρων, ὅρα τί μηχανᾶται.

15. Θυγάτηρ ἦν μονογενὴς τῷ διακόνῳ· ταύτην πολλάκις προσεδρεύσας τις ἀναγνώστης ὀνόματι Ἀλέξανδρος ἔφθειρε· καὶ τῆς κόρης ἐγκύου γενομένης, φοβηθεὶς ὁ ἀναγνώστης τὸν ἐπίσκοπον καὶ τὴν αἰσχύνην μὴ φέρων, ὑπέθετο τῇ κόρῃ τὴν αἰτίαν τῷ δούλῳ τοῦ Θεοῦ Ἀντιό-

χῳ ἐπιγράψαι, ᾧ καὶ συνέθετο ἡ κόρη τοὺς πάντας οὕτω πληροφορῆσαι. Καὶ μεθ' ἡμέρας τεσσαράκοντα τῆς τοῦ παιδίου γεννήσεως φανερὸν γέγονε τῷ ἐπισκόπῳ τὰ κατὰ τὴν κόρην, καὶ προσκαλεσάμενος αὐτὴν ὁ ἐπίσκοπος ἐπυνθάνετο μετὰ πολλῆς ἀπειλῆς τίς ἂν εἴη ὁ τοῦτο πεποιηκώς. Ἡ δὲ ἀπεκρίθη ἀπὸ τοῦ μονάζοντος 'Αντιόχου, καθά, φησίν, ἐν συνηθείᾳ ἐστὶ τοῦ ἔρχεσθαι πρὸς ἡμᾶς. Καὶ ἐπίστευσεν ὁ ἐπίσκοπος καὶ πάντες οἱ παρεστῶτες. Καὶ πέμψας μετὰ πολλοῦ θυμοῦ εἰς τὸ μοναστήριον.....τὸν δοῦλον τοῦ Θεοῦ. Μεθ' ὕβρεως [δὲ εἰσελθόντες] μετ' αὐτοῦ εἰς τὴν πόλιν, ἄλλος μὲν ὕβριζεν αὐτόν, ἄλλος ἐνέπτυεν, ἕτερος ὠνείδιζεν. Αὐτὸς δὲ παρέστη τῷ ἐπισκόπῳ. Καὶ ἐρωτηθεὶς περὶ τῆς κόρης καὶ περὶ τοῦ γεγονότος εἶπεν ὁ 'Αντίοχος· 'Εὰν εἴπω τὴν ἀλήθειαν, ἡ ἀλήθειά μου ἐν τῷ ὑμετέρῳ ψεύδει οὐ μὴ πιστευθῇ. Καὶ παρεστῶτος ὅλου τοῦ ὄχλου εἶπεν ἡ κόρη κράζουσα· Τί ἔχεις εἰπεῖν; Οὐ δύνασαι ἀρνήσασθαι· ἀπὸ σοῦ γὰρ γεγέννηται τὸ παιδίον· καὶ τί αἰσχύνῃ; ὁμολόγησον ὃ ἐποίησας. Τότε στενάξας ὁ δοῦλος τοῦ Θεοῦ 'Αντίοχος λέγει· Δότε μοι τὸ παιδίον, καὶ ἴδω, εἰ ἐξ ἐμοῦ γεγέννηται. Καὶ λαβὼν τὸ παιδίον τεσσαράκοντα ἡμερῶν ὂν καὶ κρατήσας ἐν ταῖς χερσὶν αὐτοῦ, ἀτενίσας εἰς τὸν οὐρανόν, εἶπε τῷ παιδίῳ· 'Εν ὀνόματι τοῦ Κυρίου, εἰπέ, παιδίον· 'Εξ ἐμοῦ γεγέννησαι σύ; Τότε βοᾷ τὸ παιδίον χάριτι τοῦ Θεοῦ μεγάλῃ τῇ φωνῇ· Οὐχί, δοῦλε τοῦ Θεοῦ, καθαρὸς σὺ ἐνώπιον τοῦ Θεοῦ. Ὁ δὲ τοῦτο τὸ σκάνδαλον ποιήσας 'Αλέξανδρός ἐστιν ὁ ἀναγνώστης. Τότε ἡ μὲν κόρη, κατανοήσασα τὴν τοῦ Θεοῦ ἔλεγξιν, παραχρῆμα πεσοῦσα παρὰ τοὺς πόδας αὐτοῦ, ἐξέψυξεν. Ὁ δὲ ἐπίσκοπος ἀμνησικακίας χάριν ᾐτήσατο παρ' αὐτοῦ. Ὁ δὲ ἀναγνώστης, πολλὰ ἐπιθεὶς ἑαυτῷ σίδηρα καὶ μακρὰ ἀπὸ τῆς πόλεως ἀπελθών, ἐγκλείσας ἑαυτὸν ἐν κελλίῳ μικρῷ ἕως τῆς τελευτῆς αὐτοῦ ἐν τῇ μετανοίᾳ, τέλειον τῷ Θεῷ ἀπεδίδου τὴν ἐξομολόγησιν χάριτι τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. 'Αμήν.

16. Καὶ ἐπανερχομένου αὐτοῦ εἰς τὸ μοναστήριον, ἐγγὺς τῆς πύλης τῆς πόλεως προσπίπτει αὐτῷ τις νεώτερος γονυπετῶν καὶ λέγων· Δοῦλε τοῦ Θεοῦ, συγχώρησόν μοι, ὅτι ἐνέπτυσα εἰς τὸ πρόσωπόν σου, πιστεύσας τῇ ἀνόμῳ κόρῃ ἐκείνῃ περὶ τῶν κατὰ σοῦ λεχθέντων, καὶ νηστεύω ἕνεκεν τῆς τόλμης ταύτης, καὶ παρακαλῶ τὸν Κύριον. Ὁ δὲ δοῦλος τοῦ Θεοῦ 'Αντίοχος λέγει αὐτῷ· Μὴ κλαῖε περὶ ἐμοῦ μηδὲ νήστευε· ἀλλὰ κλαῖε καὶ νήστευε διὰ τὸ ἱμάτιον ὃ ἔκλεψας τῆς γυναικὸς τῆς χήρας καὶ πτωχῆς πρὸ τριῶν ἡμερῶν· καὶ σὺ ἔχων πέντε ἱμάτια τὸ ἓν τῆς χήρας ἔκλεψας. Τότε ὁ νεώτερος, ἐλεγχθεὶς καὶ φρίξας καὶ θαυμάσας πῶς φανερὸν γέγονεν ὃ ἐν κρυφῇ καὶ ἑσπέρᾳ ἔπραξε μόνος, ἀπέρχεται τρέμων καὶ φέρει τὰ ἴδια πέντε ἱμάτια καὶ τὸ ἓν τῆς χήρας, καὶ ὅλα δίδωσιν τῇ γυναικὶ παρακαλῶν αὐτῇ σὺν αὐτῷ προσπεσεῖν τῷ δούλῳ τοῦ Θεοῦ. 'Ιδὼν δὲ ἀμφοτέρους προσπίπτοντας καὶ ἀπὸ καρδίας τὸν αἴτιον μετανοοῦντα, ἐδέξαντο αὐτὸν ἐν φιλήματι ἁγίῳ. Καὶ λέγει ὁ νεώτερος· Θέλω, κύ-

ριέ μου, νηστεῦσαι πολλὰς ἡμέρας, ὅτι πολλαί εἰσιν αἱ ἁμαρτίαι μου. Λέγει αὐτῷ ὁ δοῦλος τοῦ Θεοῦ· [Πῶς] θέλεις νηστεῦσαι; Ὁ δὲ εἶπεν αὐτῷ· Ἀπὸ τοῦ πρωῒ ἕως ἑσπέρας. Καὶ λέγει αὐτῷ ὁ Ἀντίοχος· Καὶ μὴ τρώγων ποῦ διάγεις; Ὁ δὲ εἶπε· Τοὺς φίλους καὶ τὰ πράγματά μου βλέπω, καὶ πάλιν ὀλίγον καθεύδω, καὶ ὅταν γένηται ἑσπέρα, μεταλαμβάνω· Λέγει αὐτῷ ὁ δοῦλος τοῦ Θεοῦ Ἀντίοχος· Τοῦτο οὐκ ἔστι νηστεία. Ἐὰν γὰρ νηστεύῃς ἀπὸ βρωμάτων καί τινα κακολογήσῃς ἢ λυπήσῃς ἢ διαβάλῃς, ἢ μνησικακήσῃς ἀπὸ προτέρας μάχης, ἢ ἑσπέρας ποιήσῃς πολύτιμον δεῖπνον, καὶ ἄρξῃ μεθύσκεσθαι, ἢ αἰσχρὰ ἐργάζεσθαι, ἢ κατ' ἔννοιαν ἐπιθυμεῖν τι τοιοῦτον, πολὺ συμφέρει σοι πέμπτον τῆς ἡμέρας ἐσθίειν καὶ τούτων φείσασθαι, ἢ μὴ γευσάμενον ἐκείνοις συμφύρεσθαι. Τίς γὰρ ὠφέλεια βρωμάτων ἀπέχεσθαι, πάσης δὲ ἄλλης ἐπιθυμίας ἐμφορεῖσθαι; Ἢ οὐκ οἶδας ὅτι πᾶς ὁ τὴν ἐπιθυμίαν αὐτοῦ πληρῶν κατ' ἔννοιαν καὶ ἐκτὸς τῶν ἔξωθεν βρωμάτων ἤδη κεκόρεσται καὶ μεθύει; Ἀλλ' εἰ θέλεις ἐγκρατεύεσθαι καὶ νηστεῦσαι, ἵνα ἡ νηστεία σου δεκτὴ ᾖ τῷ Θεῷ, πρῶτον πάντων φύλαξαι νηστεύειν ἀπὸ παντὸς ῥήματος πονηροῦ καὶ ἀκοῆς πονηρᾶς, καὶ καθάρισόν σου τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ καὶ μνησικακίας καὶ αἰσχροκερδείας. Καὶ ἐν ἡμέρᾳ ᾗ νηστεύεις ἀρκέσθητι ἄρτῳ καὶ λαχάνοις καὶ ὕδατι, εὐχαριστῶν τῷ Θεῷ. Συμψηφίσας δὲ τὴν ποσότητα τῆς δαπάνης τοῦ ἀρίστου οὗ ἔμελλες ἐσθίειν κατ' ἐκείνην τὴν ἡμέραν, δὸς χήρᾳ ἢ ὀρφανῷ ἢ στερουμένῳ, (πρὸς) ὃν δὴ σαφῶς ἐμπλήσας τὴν ἑαυτοῦ ψυχήν, εὔξεται ὑπὲρ σοῦ πρὸς Κύριον. Ἐὰν οὖν τελέσῃς τὴν νηστείαν ὡς ἐνετειλάμην σοι, ἔσται ἡ θυσία σου δεκτὴ ἐνώπιον Κυρίου καὶ ἐγγεγραμμένη ἐν τοῖς οὐρανοῖς ἐν ἡμέρᾳ ἀνταποδόσεως τῶν ἡτοιμασμένων ἀγαθῶν τοῖς δικαίοις.

Ταῦτα ἀκούσας ὁ νεώτερος καὶ καταλείψας πάντα, ἐβιάσατο τὸν δοῦλον τοῦ Θεοῦ λαβεῖν αὐτὸν εἰς τὴν μονήν. Καὶ ἀκολουθήσας αὐτῷ, πάντα ὅσα ἐδιδάχθη παρ' αὐτοῦ φυλάξας, ἐν πολλῇ ἐγκρατείᾳ καὶ δάκρυσι καὶ στεναγμοῖς πληρώσας ἐνιαύσιον χρόνον, ἐν εἰρήνῃ ἐκοιμήθη, παραδοὺς τὸ πνεῦμα τῷ Κυρίῳ.

17. Καὶ μετὰ τρία ἔτη, μέλλοντος τοῦ ἡγουμένου τῆς μονῆς τελευτᾶν, ἦλθον εἰς ἐπίσκεψιν αὐτοῦ τινες ἅγιοι ἐπίσκοποι· καὶ παρεκάλει αὐτοὺς ἡγούμενος, ὅπως ἀντ' αὐτοῦ τὸν φιλάδελφον καὶ ἀμνησίκακον καὶ ταπεινόφρονα Ἀντίοχον καταστήσωσι· καὶ πᾶσα δὲ ἡ ἀδελφότης συμπαρεκάλει. Τοῦ δὲ ἀντιλέγοντος καὶ ὀδυρομένου, μετὰ πολλῆς βίας καὶ ἀνάγκης χειροτονήσαντες τοῦτον οἱ ἐπίσκοποι πρεσβύτερον κατέστησαν καὶ ἡγούμενον. Καὶ παραθέμενος αὐτῷ ὁ ἡγούμενος πᾶσαν τὴν ἐν Χριστῷ ἀδελφότητα, ἐκοιμήθη ἐν εἰρήνῃ. Λαβὼν οὖν τὴν φροντίδα ὁ Ἀντίοχος, ἐν πολλῇ σπουδῇ καὶ ἐγκρατείᾳ καὶ ἀγρυπνίᾳ καὶ εὐχαῖς διετέλει· πολλά τε [ἔνδοξα] καὶ κατορθώματα διεπετέλει ὁ Χριστός.

18. Καὶ μετὰ δύο ἔτη τοῦ ἡγήσασθαι αὐτὸν τῆς μονῆς δύο

ἀδελφοὶ ὀλιγόψυχοι κοινῇ γνώμῃ ἐξῆλθον τοῦ μοναστηρίου, καὶ ἐπέστρεψαν ὡς κύων ἐπὶ τὸν ἴδιον ἐμετὸν σπαταλῶντες καὶ ἐντρυφῶντες ἐπὶ ταῖς βιωτικαῖς ἀσελγείαις. Καὶ ταῦτα μαθὼν ὁ δοῦλος τοῦ Θεοῦ 'Αντίοχος πάνυ ἔθλιψεν ἑαυτὸν θρηνῶν τοὺς δύο ἀδελφούς, καὶ ἐδέετο περὶ αὐτῶν τοῦ Κυρίου. Ψαλλόντων δὲ αὐτῶν τὴν ἐνάτην, ὡς ἔκλινε τὰ γόνατα σὺν τοῖς ἀδελφοῖς, γέγονεν ἐν ἐκστάσει, καὶ παραλαμβάνεται ἡ ψυχὴ αὐτοῦ ὑπὸ ἀγγέλου. Καὶ πολλῆς ὥρας παρελθούσης, καὶ μὴ ἐγειρομένου αὐτοῦ, ἐγείρεται ὁ δευτεράριος αὐτοῦ, καὶ μετ' ἐπιεικείας παρεκάλει ἀναστῆναι, καὶ τελέσαι τὴν λειτουργίαν τῆς εὐχῆς. 'Ως δὲ εἶδον, ὅτι οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις, ἐγνώρισαν ὀπτασίαν αὐτὸν βλέπειν καὶ ὑπεχώρησαν ἀπ' αὐτοῦ πληρώσαντες τὸν κανόνα. Μέλλοντος δὲ δύνειν τοῦ ἡλίου κράξας εἶπεν. Δόξα σοι, ὁ Θεός, δόξα σοι. Τότε προσῆλθον αὐτῷ πᾶσα ἡ συνοδία, ἱκετεύουσα μηδὲν ἀπ' αὐτῶν κρύψαι, ὧν ὁ Θεὸς αὐτῷ ἀπεκάλυψεν. Καὶ μὴ δυνηθεὶς κρύψαι διὰ τὴν πολλὴν ὄχλησιν τῶν ἀδελφῶν, ποιήσας εὐχήν, ἤρξατο λέγειν· Παραληφθεὶς χάριτι Χριστοῦ ὑπὸ ἀγγέλου ἦλθον εἰς πεδίον, καὶ [δείκνυσί μοι] παῖδα νεανίσκον ἐνδεδυμένον σύνθεσιν ἐνδυμάτων κροκέων, βόσκοντα πρόβατα πολλὰ λίαν· καὶ τὰ πρόβατα ταῦτα ἦν ὡσεὶ τρυφῶντα καὶ λίαν σπαταλῶντα καὶ ἱλαρά, σκιρτῶντα ὧδε κἀκεῖ. Καὶ αὐτὸς ὁ ποιμὴν πάνυ ἱλαρὸς ἐπὶ τῷ ποιμνίῳ αὐτῷ ἦν καὶ περιέτρεχε τὰ πρόβατα. Καὶ ἄλλα πρόβατα εἶδον σπαταλῶντα καὶ τρυφῶντα ἐν τόπῳ ἑνί, οὐ μέντοι σκιρτῶντα. Καὶ λέγει μοι· Βλέπεις τὸν ποιμένα τοῦτον; Βλέπω, φησί, Κύριε. Οὗτος, φησίν, ἄγγελος τρυφῆς καὶ ἀπάτης ἐστίν· οὗτος ἐκτρίβει τὰς ψυχὰς τῶν δούλων τοῦ Θεοῦ καὶ καταστρέφει ἀπὸ τῆς ἀληθείας ἀπατῶν αὐτὰς ταῖς ἐπιθυμίαις ταῖς πονηραῖς, ἐν αἷς ἀπόλλυνται ἐπιλαμβανόμενοι τῶν ἐντολῶν τοῦ ζῶντος τοῦ Θεοῦ καὶ πορευόμενοι ταῖς ματαίαις τρυφαῖς καὶ ἀπάταις τοῦ βίου τούτου. Διὸ καὶ ἀπόλλυνται ὑπὸ τοῦ ἀγγέλου τούτου εἰς θάνατον καὶ καταφθοράν. Λέγω αὐτῷ· Οὐ γινώσκω, Κύριε, τί ἐστιν, εἰς θάνατον καὶ καταφθοράν. Καὶ λέγει μοι· Ἄκουε, φησίν, ἃ εἶδες. Πρόβατα ἱλαρὰ καὶ σκιρτῶντα οὗτοί εἰσιν οἱ ἀπεσπασμένοι ἀπὸ τοῦ Θεοῦ εἰς τέλος καὶ παραδεδωκότες ἑαυτοὺς ταῖς ἐπιθυμίαις τοῦ αἰῶνος τούτου. 'Εν τούτοις οὖν μετάνοια ζωῆς οὐκ ἔστιν, ὅτι καὶ τὸ ὄνομα τοῦ Θεοῦ δι' αὐτοὺς βλασφημεῖται. Τῶν τοιούτων ἡ ζωὴ θάνατός ἐστιν. Ἃ δὲ εἶδες μὴ σκιρτῶντα, ἀλλὰ καὶ ἐν τόπῳ βοσκόμενα, οὗτοί εἰσιν οἱ παραδεδωκότες μὲν τῇ τρυφῇ καὶ ἀπάτῃ ἑαυτούς, εἰς δὲ τὸν Κύριον μὴ βλασφημήσαντες. Οὗτοι οὖν κατεφθαρμένοι εἰσὶν ἀπὸ τῆς ἀληθείας· ἐν τούτοις ἐλπίς ἐστι μετανοίας, ἐν ᾗ δύνανται ζῆσαι. 'Η καταφθορὰ οὖν ἐλπίδα ἔχει ἀναστάσεως ἕως τινός· ὁ δὲ θάνατος ἀπώλειαν ἔχει αἰώνιον.

19. Πάλιν προέβημεν μικρόν, καὶ δείκνυσί μοι ἕτερον ποιμένα μέγαν, ὡς ἄγριον τῇ ἰδέᾳ, περικείμενον δέρμα αἴγειον λευκόν, καὶ πήραν τινὰ εἶχεν ἐπὶ τὸν ὦμον καὶ ῥάβδον σκληρὰν λίαν καὶ ὄζους ἔχου-

σαν· καὶ τὸ βλέμμα εἶχε πικρόν, ὥστε φοβηθῆναί με αὐτόν. Οὗτος οὖν ὁ ποιμὴν παρελάμβανε τὰ πρόβατα ἀπὸ τοῦ ποιμένος τοῦ πρώτου τοῦ νεανίσκου, ἐκεῖνα τὰ σπαταλῶντα καὶ τρυφῶντα, μὴ σκιρτῶντα δέ, καὶ ἔβαλλεν αὐτὰ εἴς τινα τόπον κρημνώδη καὶ ἀκανθώδη καὶ τριβολώδη· ὥστε ἀπὸ τῶν ἀκανθῶν καὶ τριβόλων μὴ δύνασθαι ἐκπλέξαι τὰ πρόβατα, ἀλλ' ἐμπλέκεσθαι ταῖς ἀκάνθαις καὶ τριβόλοις καὶ λίαν ἐταλαιπώρουν δαιρόμενα ὑπ' αὐτοῦ καὶ ὧδε κἀκεῖ περιέλαυνεν αὐτὰ καὶ ὅλως ἀνάπαυσιν αὐτοῖς οὐκ ἐδίδου, οὐδὲ ἵσταντο. Βλέπων οὖν αὐτὰ ἐγὼ οὕτω μαστιζόμενα καὶ ταλαιπωροῦντα, ἐλυπούμην ἐπ' αὐτοῖς, ὅτι οὕτως ἐβασανίζοντο καὶ ἀνοχὴν ὅλως οὐκ εἶχον. Καὶ λέγω τῷ ἀγγέλῳ τῷ μετ' ἐμοῦ λαλοῦντι· Κύριε, τίς ἐστιν οὗτος ὁ ποιμήν, ὁ ἄσπλαγχνος καὶ πικρός; Καὶ λέγει μοι· Οὗτός ἐστιν ὁ ἄγγελος τῆς τιμωρίας· ἐκ δὲ τῶν ἀγγέλων τῶν δικαίων ἐστί, τεταγμένος δὲ ἐπὶ τῆς τιμωρίας. Παραλαμβάνει οὖν τοὺς ἀποπλανηθέντας ἀπὸ τοῦ Θεοῦ καὶ πορευθέντας ταῖς ἐπιθυμίαις αὐτῶν καὶ τιμωρεῖται αὐτούς, καθὼς ἄξιοί εἰσιν, δειναῖς καὶ ποικίλαις τιμωρίαις. Λέγω αὐτῷ· Ἤθελον γνῶναι, κύριε, τὰς ποικίλας ταύτας τιμωρίας, ποταπαί εἰσιν. Ἄκουε, φησίν. Αἱ ποικίλαι τιμωρίαι καὶ βάσανοι βιωτικαί εἰσι βάσανοι. Ἐπὰν γὰρ ἀποστῶσι τοῦ Θεοῦ νομίζοντες ἐν ἀναπαύσει εἶναι καὶ πλούτῳ, τότε τιμωροῦνται οἱ μὲν ζημιούμενοι, οἱ δὲ ὑστερούμενοι, οἱ δὲ ἀσθενείαις ποικίλαις περιπίπτοντες, ἄλλοι ἐν ἀκαταστασίαις, ἕτεροι ὑβριζόμενοι ὑπὸ ἐλαττόνων, καὶ ἑτέραις ποικίλαις πράξεσι. Πολλοὶ γὰρ ἀκαταστάντες ἐν ταῖς βουλαῖς αὐτῶν ἐπιβάλλονται εἰς πολλὰ πράγματα καὶ οὐδὲν αὐτοῖς ὅλως ἀποβαίνει, καὶ δυσχεραίνουσι, καὶ οὐ γινώσκουσιν, ὅτι διὰ τὰ πονηρὰ ἃ ἔπραξαν οὐκ εὐοδοῦνται καὶ λοιπὸν αἰτιῶνται τὸν Κύριον καὶ οὐκ ἀνέχονται τὰς λοιπὰς ἡμέρας αὐτῶν ἐπιστρέψαντες δουλεῦσαι τῷ Θεῷ ἐν καθαρᾷ καρδίᾳ. Ἂν δὲ μετανοήσωσι καὶ ἀνανήψωσι, τότε συνιῶσιν, ὅτι διὰ τὰ ἔργα αὐτῶν τὰ πονηρὰ οὐκ εὐωδοῦντο καὶ οὕτω δοξάζουσι τὸν Κύριον, ὅτι δίκαιος κριτής ἐστι, καὶ δικαίως ἔπαθον, καὶ ἐπαιδεύθησαν κατὰ τὰς πράξεις αὐτῶν. Ἄκουε οὖν ἀμφοτέρων τὴν δύναμιν, τῆς τρυφῆς καὶ τῆς βασάνου. Τῆς τρυφῆς καὶ τῆς ἀπάτης ὁ χρόνος ὥρα ἐστὶ μία, τῆς δὲ βασάνου ὧραι τριάκοντα ἡμερῶν δύναμιν ἔχουσαι. Ἐὰν οὖν μίαν ἡμέραν τις τρυφήσῃ καὶ ἀπαιτηθῇ, μία δὲ ἡμέραν βασανισθῇ, ἐνιαυτοῦ ὁλοκλήρου ἰσχὺν ἔχει ἡ ἡμέρα ἐκείνη τῆς βασάνου. Ὅσας οὖν ἡμέρας τρυφήσῃ τις, τοσούτους ἐνιαυτοὺς βασανισθήσεται. Βλέπεις οὖν, ὅτι τῆς τρυφῆς καὶ ἀπάτης ὁ χρόνος οὐδέν ἐστι, τῆς δὲ τιμωρίας καὶ βασάνου πολύς. Ὁ τρυφῶν καὶ ἀπατώμενος καὶ πράσσων ἃ βούλεται πολλὴν ἀφροσύνην ἐνδέδυται· ἀντὶ γὰρ τῆς τρυφῆς καὶ ἀπάτης ἑκάστης ἡμέρας ἀποτίσει βάσανον μεγάλην, ἐνιαυτὸν τῇ ἡμέρᾳ. Καὶ λέγω τῷ ἀγγέλῳ· Ποῖαι τρυφαί εἰσι βλαβεραί, λέγε μοι. Πᾶσα πρᾶξις σαρκική, τρυφή ἐστι. Νῦν ἡδέως ποιεῖ αὐτήν. [Ὁ γὰρ] ὀξύχολος τῷ ἑαυτοῦ πάθει τὸ ἱκανὸν ποιῶν τρυφᾷ, ὁμοίως καὶ ὁ μοιχὸς καὶ ὁ μέθυσος καὶ ὁ

κατάλαλος καὶ ὁ ψεύστης καὶ ὁ πλεονέκτης καὶ ὁ ἀποστερητὴς καὶ ὅσα τοιαῦτα. Τρυφῶσι γὰρ ἐν τῇ αὐτῶν πράξει. Αὗται δὲ αἱ πράξεις βλαβεραί εἰσι τοῖς δούλοις τοῦ Θεοῦ. Εἰσὶ δὲ καὶ τρυφαὶ σῴζουσαι τοὺς ἀνθρώπους· Πολλοὶ γὰρ ἀγαθὰ ἐργαζόμενοι τρυφῶσιν. Αὕτη οὖν ἡ τρυφὴ τοῖς δούλοις τοῦ Θεοῦ περιποιεῖται ζωήν, αἱ δὲ προειρημέναι τρυφαὶ βάσανον. Ταῦτά μοι φανερώσας ὁ ἄγγελος ἀπέστρεψέ με εἰς τὸν τόπον μου. Δοξάσωμεν οὖν, ἀδελφοί, τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· πῶς μακρόθυμος καὶ εὔσπλαγχνός ἐστιν ἐπὶ τῇ τοσαύτῃ κακίᾳ τῶν ἀνθρώπων. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

20. Καὶ μετ' ὀλίγον χρόνον οἱ δύο ἀδελφοὶ οἱ ἐξελθόντες τοῦ μοναστηρίου ἐνέπεσαν εἰς πειρασμὸν καὶ θλίψεις. Τῷ γὰρ ἑνὶ ἕλκος ἀνεφάνη εἰς τὴν πλευράν, καὶ εἰσελθὼν εἰς νοσοκομεῖον εἰς δύο μῆνας τρίτον ἐχειρουργήθη ὑπὸ τοῦ ἰατροῦ, καὶ οὐδὲ ἐθεραπεύθη. Τῷ δὲ ἑτέρῳ ἐμπεσόντι μετὰ τῶν στασιαστῶν συνέβη νώτῳ καὶ κοιλίᾳ μαστιγωθέντι σιδηροδέσμιον ἐμβληθῆναι ἐν τῇ φυλακῇ καὶ ἐν σκότει διάγειν ἐπὶ πολλὰς ἡμέρας. Ἀλλ' ἐπειδὴ ἡ εὐχὴ τοῦ ὁσίου Πατρὸς Ἀντιόχου ἐδυσώπει τὸν ἐλεήμονα Θεόν, μεθ' ἡμέρας ἔδωκεν ὁ Χριστός, καὶ ἐξεβλήθη ἐν τῇ φυλακῇ. Καὶ πάλιν ἐκεῖνος, ἀπελθὼν ἐν τῷ νοσοκομείῳ, ἔτι ἐν τῇ ἀλγηδόνι ὄντα τὸν ἀδελφὸν διαβαστάζων ὀλίγον τῇ χειρὶ ἀναπαυόμενον ἤγαγεν εἰς τὸ μοναστήριον· καὶ ὡς ἐσήμανεν ὁ θυρωρός, εὗρε τοὺς ἀδελφοὺς πρὸ τοῦ πυλεῶνος, καὶ εὐχαριστήσας τῷ φιλανθρώπῳ Θεῷ ἐδέξατο αὐτούς. Καὶ εὐχὴν ἐπ' αὐτοὺς ποιήσας παραχρῆμα ὑγιεῖς τῷ σώματι ἀποκατέστησε. Καὶ λοιπὸν μετανοοῦντες ἐφ' οἷς ἔπραξαν ἐν πολλῇ ἀσκήσει δακρύοντές τε καὶ ἀγρυπνοῦντες διετέλουν ἐν πολλῇ ταπεινοφροσύνῃ. Καὶ οὕτω μετὰ τρεῖς ἐνιαυτοὺς μετ' εἰρήνης καὶ ἀγαθῆς ἐξομολογήσεως ἐκοιμήθησαν ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

21. Ἄλλοτε καθημένου καὶ ἀναγινώσκοντος αὐτοῦ τὴν βίβλον τῶν ἐντολῶν τοῦ ὁσίου Πατρὸς καὶ ἐπισκόπου Ἀθανασίου μετὰ φωνῆς καὶ ἡδονῆς πολλῆς, εἷς τῶν ἀδελφῶν, ἀκροασάμενος ἀκριβῶς ὅλας, λέγει αὐτῷ· «Κύριε, αἱ ἐντολαὶ αὗται μεγάλαι καὶ καλαὶ καὶ δυναταί εἰσι, δυνάμεναι εὐφρᾶναι τὴν καρδίαν τοῦ δυναμένου τηρῆσαι αὐτάς. Οὐκ οἶδα, κύριε, εἰ δύνανται αἱ ἐντολαὶ αὗται ὑπὸ πολλῶν φυλαχθῆναι, διότι σκληραί εἰσιν.» Ἐμβλέψας δὲ αὐτὸν ὁ δοῦλος τοῦ Θεοῦ μετὰ πολλῆς αὐστηρίας εἶπεν· «Ἄνανδρε, ἀκηδιαστά, ῥάθυμε καὶ ὀλιγόψυχε, οὐκ οἶδας, ὅτι ἐὰν ἐν σοὶ ἑαυτῷ προθῇ, ὅτι δύνανται φυλαχθῆναι, εὐκόλως αὐτὰς φυλάξεις, καὶ οὐκ ἔσονται σκληραί; Εἰ δὲ ἀναβῇ ἐπὶ τὴν καρδίαν σου μὴ δύνασθαι αὐτὰς ὑπὸ ἀνθρώπου φυλαχθῆναι, οὐ φυλάξεις αὐτάς. Οὐ νοεῖς τὴν δόξαν τοῦ Θεοῦ, πῶς μεγάλη ἐστὶ καὶ ἰσχυρὰ καὶ θαυμαστή, ὅτι ἔκτισε τὸν κόσμον διὰ τὸν ἄνθρωπον, καὶ τὴν ἐξουσίαν ἅπασαν ἔδωκεν αὐτῷ κυριεύειν πάντων τῶν ἐπὶ τῆς γῆς. Τί οὖν πάντων τούτων ὁ ἄνθρωπος κύριός ἐστι καὶ πάντων δύναται κατακυριεῦσαι; πῶς οὐ δυνήσεται καὶ τούτων τῶν ἐντολῶν

κατακυριεῦσαι; Πῶς Δαυὶδ ἐτροπώσατο τὸν ἀλλόφυλον γίγαντα καὶ πολεμιστὴν ἄνθρωπον πάντοθεν καθωπλισμένον; Οὐχὶ μόνον τῇ προαιρέσει καὶ τῇ ἀπὸ καρδίας πίστει; ἐκεῖνος μόνον ταῦτα προσήνεγκε τῷ Θεῷ. Ὁ δὲ Θεός, ἰδὼν αὐτοῦ τὴν προθυμίαν καὶ τὴν ἀπὸ καρδίας πίστιν καὶ ἐλπίδα, λοιπὸν αὐτὸς εἰργάσατο τὴν νίκην, καὶ δι' ἑνὸς μειρακίου κατέβαλε τὸν ὑπεναντίον. Καὶ μάθης, ὅτι οὐχὶ Δαυίδ, ἀλλ' ὁ Θεὸς τὸ ἔργον εἰργάσατο. Κατανόησον Στέφανον τὸν πρωτομάρτυρα, πόσους λίθους ὑπὸ τοσούτων ἀνθρώπων ἐδέξατο, καὶ εἰ μὴ αὐτὸς παρεκάλεσε τὸν Δεσπότην Χριστόν, οὐκ ἂν παρέδωκε τὸ πνεῦμα. Τί δὲ λέγομεν περὶ ἀνδρῶν; Κατανόει μοι τὴν Ἰουδὶθ πρὸς τὸν Ὁλοφέρνην πορευομένην καὶ μὴ κατανοήσασαν τὴν ἑαυτῆς ἀσθένειαν, τὸ εὐπρεπές, τὸ εὐάλωτον. Πῶς οὐκ εἶπεν ἐν ἑαυτῇ· Τοσοῦτοι ἄνθρωποι ἐν τῇ πόλει ἰσχυροὶ καὶ δυνατοὶ καὶ φρόνιμοι καὶ εὐμήχανοι, καὶ οὐδεὶς ἐπιχερεῖ τοῦτο ποιῆσαι· κἀγὼ τὸ ἀσθενέστερον μέρος τοῦτο ποιῆσαι τολμήσω; Οὐδὲν τοιοῦτον ἐλογίσατο· ἀλλὰ πάσῃ προθυμίᾳ καὶ πίστει προσῆλθε τῷ παντοκράτορι Θεῷ θαρροῦσα, καὶ ὁ Θεὸς ὁ παντοδύναμος, δεξάμενος παρ' αὐτῆς ταύτην τὴν πεποίθησιν, τὸ πᾶν λοιπὸν αὐτὸς ἐπετέλεσεν. Ὁ γὰρ ἐλεήμων Θεὸς οὐ ζητεῖ σώματος δύναμιν, ἀλλὰ προαίρεσιν καὶ σπουδὴν καὶ ὑπομονήν. Πᾶσα οὖν ἀφορμὴ ἀνθρώπου ἐκποδὼν γενέσθω. Οὐ γάρ ἔστι λέγειν Θεῷ· Ἐγὼ ἀσθενής εἰμι. Ὁ Θεὸς γὰρ ἀπὸ σοῦ ἰσχὺν οὐ ζητεῖ, ἀλλὰ προαίρεσιν ἀπὸ καρδίας. Εἰπέ μοι, ποίαν δύναμιν εἶχεν ὁ λῃστὴς ἐμπαγεὶς ἐν τῷ ξύλῳ ἐκ δεξιῶν; Οὐχὶ ὅλος ἐν τῷ ᾅδῃ ἦν πορευόμενος; Καὶ ἡ γυνὴ ἡ ἀλείψασα τὸν Κύριον μύρῳ καὶ δάκρυσι βρέξασα τοὺς πόδας, οὐχὶ τῇ προαιρέσει καὶ τῇ πίστει μόνον ἐσώθη; Οὐ θέλω λέγειν τὰ περὶ Θέκλης καὶ τὰς λοιπὰς γυναῖκας, αἵτινες ἐν τῷ μέλλοντι αἰῶνι μετὰ δόξης στεφανοφοροῦσαι παραστήσονται τῷ Χριστῷ. Οἱ δὲ ὀλιγόψυχοι καὶ ῥᾴθυμοι κατῃσχυμμένοι πορεύσονται εἰς τὴν αἰώνιον κόλασιν. Ὥστε πασῶν τῶν ἐντολῶν τούτων κατακυριεῦσαι ὁ ἄνθρωπος ὁ ἔχων τὸν Κύριον ἐν τῇ καρδίᾳ αὐτοῦ. Οἱ δὲ ἐπὶ τὰ χείλη ἔχοντες τὸν Κύριον, τὴν δὲ καρδίαν πεπωρωμένην καὶ μακρὰν ὄντες ἀπὸ τοῦ Κυρίου διὰ τὴν ἑαυτῶν ῥᾳθυμίαν ἐκείνοις αἱ ἐντολαὶ αὗται σκληραί εἰσι καὶ δυσκατόρθωτοι. Θέσθε οὖν ὑμεῖς, οἱ ὀλιγόψυχοι καὶ ἐλαφροὶ τῇ πίστει, τὸν Κύριον ἀδιαλείπτως εἰς τὰς καρδίας ὑμῶν καὶ γνώσεσθε, ὅτι οὐδέν ἐστιν εὐκολώτερον τῶν ἐντολῶν τούτων, οὔτε γλυκύτερον, οὔτε ἡμερώτερον· βιαστῶν γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ· τῷ γὰρ αἰτοῦντι δίδοται, καὶ ὁ ἐμπόνως ζητῶν εὑρήσει, καὶ τῷ ἀπὸ καρδίας καὶ ὑπομονῆς κρούοντι ἀνοιγήσεται· καὶ πλείονα χαρίζεται ὧν αἰτοῦμεν. Μάταιος γάρ ἐστιν ἄνθρωπος ὅστις καὶ ὧδε θέλει ἀπολαῦσαι καὶ ἀναπαύεσθαι, κἀκεῖ σὺν Χριστῷ συμβασιλεῦσαι. Βίασαι οὖν σεαυτὸν καὶ ἐλπίδα ἔχε εἰς τὸν παντοκράτορα Θεόν· ὅτι παρ' αὐτῷ ἡ ῥίζα τῆς ἀγαθότητος καὶ ἡ πηγὴ τοῦ ἐλέους καὶ τὸ πέλαγος τῶν οἰκτιρμῶν. Αὐτῷ ἡ δόξα καὶ ἡ μεγαλοσύνη εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΡΟΣ ΑΝΤΙΟΧΟΝ ΑΡΧΟΝΤΑ*

Σκοπήσωμεν, ηὐλογημένε τοῦ Θεοῦ ἄνθρωπε, ἐπὶ πᾶσι, διὰ πᾶσι καὶ πρὸ πάντων, πῶς περιπατοῦμεν, καὶ τί περὶ ἑαυτῶν βουλευόμεθα· πολλοὺς γινώσκοντας, τῶν παρ' ἡμῶν γινομένων τε καὶ νοουμένων ἀοράτους παρίστασθαι μάρτυρας, οὐκ εἰς τὸ φαινόμενον βλέποντας μόνον, ἀλλ' ἐπ' αὐτὰς παρακύπτοντας τὰς ψυχὰς καὶ τὸ κρυπτὸν διελέγχοντας τῆς καρδίας. Πολλοὶ γὰρ ὡς ἀληθῶς πανταχόθεν ἀγγελικῶν δυνάμεων ἡμᾶς παριεστήκεισαν, τὰ λεγόμενά τε καὶ γινόμενα παρ' ἡμῶν, καὶ νοούμενα μέχρι ψιλῆς ἐνθυμήσεως, δι' ἀκριβείας πάσης ἐν οὐρανῷ καταγράφοντες, πρὸς ἔλεγχον ἡμῶν ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως· ὅτε πᾶσα τῶν ὁρατῶν ἡ κτίσις, κλονουμένη κατ' ἔπειξιν ἄφατον, πρὸς τὴν οἰκείαν ὠθεῖται συντέλειαν· καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ ῥιζηδὸν παρελεύσεται, καὶ τὰ διὰ μέσου στοιχεῖα καυσούμενα λυθήσονται· καὶ Παλαιὸς ἡμερῶν καθέξεται, καὶ βίβλοι ἀνοίγονται, τῶν ἡμετέρων ἔργων τε καὶ λόγων καὶ νοημάτων τὰ ἔγγραφα, πιστῶς τε καὶ ἀνοθεύτως ἔχουσι. Χίλιαί τε χιλιάδες λειτουργοῦσιν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ, καὶ ἀπειλὴ πυρὸς πανταχοῦ διατρέχουσα καὶ τὰ κύκλῳ πάντα περιλαμβάνουσα, καὶ ὄρη ὡσεὶ κηρὸν ἐκτήκουσα· ποταμὸς γὰρ πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· ἡνίκα τάρταρος καὶ βόθρος ἀχανὴς καὶ ἀνείκαστος καὶ σκότος ἐξώτερον καὶ σκώληξ ἀκοίμητος ἀναδειχθῶσι παρόντα. Καὶ ὁ ἐπ' αὐτὰς φόβος εἱστήκει μετέωρος, ἐκδεχομένων τὴν ἔκβασιν· καὶ ὀργῆς ἄγγελοι κολαστικοί, πῦρ ἀποστίλβοντες, πῦρ τε βλέποντες καὶ πῦρ ἀναπνέοντες, ἕτοιμοι εἰς πᾶσαν ἐκδίκησιν πάσης παρανομίας ἑστήκασι. Πᾶσά τε πρὸς τούτοις κτίσις ἐπίγειός τε καὶ ἐπουράνιος, ὅση τε ἐν ἀγγέλοις καὶ ταῖς ὑπὲρ ἀγγέλους δυνάμεσι, καὶ ὅση ἐν οὐρανοῖς παρίστανται μετὰ τρόμου τὴν φοβερὰν τῆς θείας βουλῆς ἐκδεχόμενοι φανέρωσιν. Ἐφ' ὧν κατιόντων ἡμῶν, ἀναγνωσθήσονται πράξεις, καὶ τῶν κρυπτῶν γύμνωσις γενήσεται· ὥστε πάντας οὕτως γινώσκειν ἀλλήλων τὰς ἁμαρτίας· ὡς ἕκαστος τὰς ἑαυτοῦ, τὴν βίβλον ἀναγινώσκειν τῆς ἑαυτοῦ συνειδήσεως. «Ἐλέγξω σε» γάρ, φησί, «καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 28, σ. 589 ἑξ.

σου·[1]» καὶ πάλιν, «Κυκλώσει αὐτοὺς τὰ διαβούλια αὐτῶν.[2]» Καὶ ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ, καὶ δικαστὴς ἀπαραλόγιστος, παρισταμένην ἔχων τὴν μεγαλοπρεπῆ τῶν οὐρανίων ταγμάτων δύναμιν, ὑψηλῶς προκαθέζεται πᾶσαν ἀπαστράπτων δικαιοσύνην καὶ ἑκάστῳ δι' ἀποδόσεως ἀληθοῦς καὶ δικαίας νέμων τὰς πρὸς ἀξίαν, τοῖς μὲν ἐκ δεξιῶν διὰ τὰς καλὰς πράξεις σταθεῖσιν προσηνής, πρᾶος, ἐπιεικής, τὴν ἡτοιμασμένην ἀπὸ καταβολῆς κόσμου βασιλείαν διδούς· τοῖς δὲ ἐξ εὐωνύμων διὰ τὴν ἐρημίαν τῶν ἀγαθῶν ἔργων στάσει λαχόντας, εἰς τὸ αἰώνιον πῦρ, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, μετ' ὀργῆς ἀπωθούμενος.

2. Τίς ἐκεῖνο τὸ πῦρ ἐνέγκοι μαινόμενον; τίς οὐ καταπτήσσει τὸ ξένον ἐκεῖνο τοῦ σκώληκος θέαμα; Τίς τοῦ σκότους ἐκείνου τοῦ ἐξωτέρου τὸ παχύν τε ὁμοῦ καὶ βαρὺν φέρειν δυνήσεται; Τίς μυκώμενον τὸν τάρταρον, καὶ ἐκ πυθμένος αὐτῷ συμβραζομένην τὴν ἄβυσσον ὑποστήσεται; Τίς τῶν ἐπὶ τοῦτο τεταγμένων ἀγγέλων τὸ βλοσυρόν τε καὶ δριμὺ τοῦ βλέμματος καὶ τοῦ προσώπου τὸ κατηφὲς οὐχ ὑποτρέμει δονούμενον; Τίς τὸ πάντων δεινότερον τῶν κακῶν, τὴν ἀποστροφὴν τοῦ προσώπου τοῦ φύσει πράου καὶ φιλανθρώπου Θεοῦ καὶ οἰκτίρμονος οὐ φοβηθήσεται; Ἅπασα κτίσις συναποστρέφεται καὶ βδελύττεται τοὺς διὰ φιλαπεχθήμονα γνώμην ἑαυτοὺς τοσούτοις κακοῖς περιπείραντας, ἀγανακτοῦσα κατ' αὐτῶν ἐνδίκως, ὡς τοιούτους ἑαυτοὺς φανῆναι τὸν φύσει τε καὶ μόνον φιλάνθρωπον Θεὸν θεασαμένων; Τίς τὴν κατὰ συνείδησιν ἀπέραντον αἰσχύνην μέλλουσαν ἔσεσθαι ἐπὶ τῇ φανερώσει τῶν κρυπτῶν ὑποστήσεται; Τίς τὸν ἀσίγητον κλαυθμὸν καὶ τὸ πικρὸν ἐκεῖνο δάκρυον καὶ τὸν βρυγμὸν τῶν ὀδόντων καὶ τοὺς κωκυτοὺς τῶν ἐν ταῖς βασάνοις πιεζομένων, ἢ τῶν ἐκ τῆς ἀμελείας πόνων, κατὰ μέσης αὐτῶν ἐπικειμένων τῆς καρδίας, καὶ διασμύχοντας δικαίως αὐτῶν, τίς δυνήσεται; Τίς τὴν ἐγγινομένην αὐτοῖς στενοχωρίαν ἐκ τοῦ μὴ ἐλπίζειν προθεσμίαν μεταποιήσεως καὶ τέλος τῆς ἐπικειμένης κολάσεως, μηδὲ πρὸς τὸ εὐζῆν πάλιν μεταβολὴν ἐκδέχεσθαι, ἢ προσδοκᾶν, ἐξειπεῖν ἐστιν ἱκανός; Τελευταῖον γὰρ ἐκεῖνο καὶ μόνον φοβερὸν δικαστήριον, καὶ δίκαιον πλέον ἢ ὅσον ἐπίφοβον· καὶ διὰ τὸ τυχὸν φοβερόν, ὅτι δίκαιον, καὶ τὸ πάντας ἑαυτῷ κατὰ τὴν δικαίαν ψῆφον ἐναποκλεῖον τοὺς αἰῶνας. Τίς τὰς οἰμωγὰς καὶ τοὺς στεναγμοὺς τοὺς ἐκ μέσης αὐτῶν προσφερομένους τῆς καρδίας, καὶ αὐτῶν καθαπτομένων τῶν μυελῶν, καὶ πικρῶς τὰ σπλάγχνα καταδακνόντων, ἐπὶ νοῦν λαμβάνων δακρύων ἐλεύθερος εἶναι δυνήσεται; Τίς τὸν θρῆνον καὶ τὸν ὀλοφυρμὸν ἐνέγκοι χωρὶς καὶ τῆς ἐπ' αὐτῆς κατηφείας, καὶ μεθ' οἵων προσφερομένους τῶν μεταμελείας λόγων τῶν τε πρὸς ἑαυτὸν ἑκάστου τῶν κολαζομένων, καὶ πάντων πρὸς πάντας; Τότε γὰρ ἀληθῶς ἐπιγνώμων τῶν ἑαυτοῦ πταισμάτων

1. Ψαλμ. 49, 21. 2. Πρβλ. Ψαλμ. 7, 8.

καθέστηκεν ἕκαστος, ὅτ' ἂν ἐφ' ἑαυτῶν γυμνὰ φανῶσι τὰ πράγματα καὶ παντὸς κωλύματος ἀπάτης ἐλεύθερα.

3. Δικαία ἡ κρίσις σου, ὁ Θεός· ἐκάλεσας γὰρ ἡμᾶς, καὶ οὐχ ὑπηκούσαμέν σου· λόγους δὲ παρεῖχες ἡμῖν, καὶ οὐ προσέσχομεν· τοιγαροῦν ἀλλὰ ἀκύρους ἐποιοῦμεν τὰς σὰς βουλάς. Δικαίως ἦλθεν εἰς ἡμᾶς ἀπώλεια καὶ ὄλεθρος καὶ καταιγὶς καὶ θλίψις καὶ πολιορκία. Καὶ νῦν ἡμεῖς ἐπικαλούμεθά σε, καὶ οὐκ εἰσακούεις, καὶ ζητοῦμεν παρὰ σοῦ, καὶ οὐχ εὑρίσκομεν ἔλεος. Οἱ γὰρ μισήσαντες σοφίαν καὶ λόγον Κυρίου μὴ προσελόμενοι, μηδὲ θελήσαντες Θεοῦ προσέχειν βουλάς, τοιούτους δρεπόμεθα τοὺς καρποὺς τῶν οἰκείων σπερμάτων, καὶ τῆς ἑαυτῶν ἀνοίας ἐμπιμπλάμεθα. Ἀπετύφλωσε γὰρ ἡμᾶς ἡ ἀπάτη τοῦ βίου, καὶ οὐκ ἔγνωμεν μυστήρια Θεοῦ, οὐδὲ μισθὸν εἶναι τὸ σύνολον ἠλπίσαμεν ὁσιότητος· καὶ διὰ τοῦτο τρίβοις ἀνομίας ἐνεπλήσθημεν. Διωδεύσαμεν δὲ τρίβους ἀβάτους, δηλαδὴ τῆς θείας ἐπισκοπῆς· τὴν δὲ ὁδὸν Κυρίου οὐκ ἔγνωμεν. Καὶ τίς ὁ πλοῦτος ὃς μετὰ ἀλαζονείας συμβέβληται ἡμῖν; παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ καὶ ὡς ἀγγελία παρατρέχουσα, καὶ ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ, ἧς διαβάσης, οὐκ ἔστιν ἴχνος εὑρεῖν, οὐδὲ ἀτραπὸν τροπαίως αὐτῆς, ἐν κύμασιν. Ἢ ὡς ὀρνέου διαπτάντος ἀέρα, οὐδὲν εὑρίσκεται τεκμήριον πορείας. Παρῆλθεν ἐκεῖνα πάντα, τοῦτο τὸ πῦρ ἡμῖν ἀφέντα, κληρονομίαν εἰς πάντας διαμένουσαν αἰῶνας. Δικαία ἡ κρίσις σου, ὁ Θεός· ταῦτα γὰρ λέγοντες οὐδέποτε παυσόμεθα λοιπόν· ἐκαλούμεθα καὶ οὐχ ὑπηκούομεν· ἐνουθετούμεθα καὶ οὐ προσέχομεν. Περὶ τούτων καθ' ἑκάστην ἡμέραν ἐδιδασκόμεθα τῶν δεινῶν, καὶ κατεφρονοῦμεν τῶν λεγομένων· οὐκ ἐλύπει ἡμᾶς τότε κἂν μικρὸν τὰ περὶ τούτων ῥήματα· ἐπεὶ οὐκ ἂν σφοδρῶς οὕτως ἐλύπει τὰ πράγματα· λῆρος ἡμῖν ἐνομίζετο τὰ νῦν ἡμῶν συνέχοντα τὴν ζωήν. Τοῦτο συνεχῶς ἐπᾴδομεν· Ὢ τῆς ῥαθυμίας! ὢ τῆς ἀπάτης! ὢ τῶν κακῶν βουλευμάτων! ὢ τῶν πονηρῶν συναλλαγμάτων! ὢ τοῦ θαύματος τῆς ἐπὶ τούτοις τοῦ Θεοῦ δικαίας κρίσεως καὶ ἀποφάσεως! Πῶς ἑκάστου τῶν ἡμετέρων ἁμαρτημάτων εἴδους πρόσφορον ἡμῖν ἀντέδωκε βάσανον! δι' οἰκτραν γὰρ καὶ ἀπόπτυστον σαρκὸς ἡδονήν, ταύτην ἔχειν τὴν φοβερὰν δικαίως κατεκρίθημεν γέενναν· τὸν ζόφον καὶ τὸ σκότος τοῦτο οἰκεῖν κατεκρίθημεν. Ἐπειδὴ ἠγαπήσαμεν πάντα τὰ αἰσχρά, καὶ πάντων ὁμοῦ τῶν θείων ἀγαθῶν καταφρονήσαντες, τὰ ἱππικὰ καὶ τὰ θέατρα καὶ τὰ κυνηγέσια προετιμήσαμεν, ἐν οἷς δαιμόνων ἐχόρευον δῆμοι, καὶ πᾶσα θεία ἀγγέλων ἀπῆν σκοπιὰ καὶ ἐπίγνωσις. Ἔνθα τὸ μὲν σεμνὸν τῆς εὐφροσύνης πολλοῖς καθυβρίζετο τρόποις· τὸ δὲ τῆς ἀκολασίας κακόν τε καὶ βδελυρὸν ἐσεμνύνετο. Δικαίως τοῦ φωτὸς ἐστερήμεθα νῦν, ὅτι πρὸς δόξαν τοῦ πεποιηκότος Θεοῦ τὴν κτίσιν κατὰ τὴν πρόσκαιρον ἡμῶν ζωὴν οὐκ ἐθεασάμεθα· ἀλλ' ἐμολύναμεν τοὺς ὀφθαλμοὺς ἡμῶν καὶ τὰ ὦτα καὶ γλῶσσαν, μᾶλλον δὲ τὴν κατ' εἰκόνα Θεοῦ γεγενημένην ψυχὴν πᾶσι τοῖς τῷ Θεῷ μισουμένοις

θεάμασί τε καὶ ἀκροάμασι καὶ ῥήμασι, καὶ ταῖς κατ' ἀλλήλων βασκανίαις ἐφθείραμεν, εἰς δὲ τὸν τάρταρον τοῦτον ἀπερρίφημεν, πήξει καὶ βυθῷ κατ' αὐτῶν τρυχόμενον δεινῶς. Ἐπειδὴ τῆς μὲν ὑψηλῆς καὶ τῶν ὑψηλῶν καὶ θείων προξενοῦν ταπεινοφροσύνης προεκρίναμεν τὴν ὑπερηφανίαν, καὶ τὸ τῆς ἀρετῆς στενόν τε καὶ σύντονον διὰ τὴν τῆς σαρκὸς ὑπερβάλλουσαν θρύψιν τε καὶ διάθεσιν ἀπεωσάμεθα.

4. Ποῦ νῦν ἡμῶν ἐστιν ἡ ὑπερηφανία, καὶ ἡ διὰ τὴν ἀλαζὼν πρὸς πάντας διάθεσις, καὶ ἡ τῆς σαρκὸς βλακώδης καὶ εὐδιάχυτος θρύψις; Ὢ τῆς ἀβουλίας! ἀντὶ γέλωτος ἀκρατοῦς καὶ τοῦ ἀκολάστου ψόφου τῶν παρειῶν ὁ βαρὺς οὗτος βρυγμός ἐστι τῶν ὀδόντων. Τὴν τῶν θείων καὶ σωτηρίων λόγων ἀσκῆσαι μάθησιν μὴ βουληθέντες, ἀλλὰ μέθης ἀμετρίαν τῆς διὰ λόγου θείας προτιμήσαντες αἰνέσεως, δεινῶς κολαζόμεθα νῦν τῆς γλώσσης δίψει φοβερᾷ διακενῆς. Ἄξιον δὲ καὶ τοῦ πρὸς τοὺς ἀδελφοὺς ἡμῶν μίσους, φθόνου τε καὶ δόλου καὶ ὑποκρίσεως (ἐξ ὧν καὶ δι' ὧν ὁ φθόνος) λοιδορίας τε καὶ συκοφαντίας καὶ μνησικακίας καὶ ψεύδους καὶ ἐπιορκίας δρεπόμεθα καρπόν, τοῦτον τὸν ἀκοίμητον σκώληκα τὸ βάθος ἡμῶν τῆς ψυχῆς ἀκορέστως ἐσθίοντα. Ἐπειδὴ τῆς ἀγάπης τὸ εὐθές, διαφθείραντες αὐτήν, ἐσκαμβώσαμεν, κακὸν διὰ μίσους αὐτοῖς ἑκούσιον δημιουργήσαντες σκώληκα καὶ πονηροτέραν σκαμβότητα διὰ ψεύδους ὀρύξαντες, δι' ἣν τῷ Θεῷ τῷ εὐθεῖ καὶ ὀρθῷ οὐχ ἡνώθημεν. Αὐτὸς γὰρ εἶπε διὰ τοῦ ἁγίου Δαυὶδ τοῦ προφήτου· «Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή.[1]» Ἄξια τοιγαροῦν ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· μᾶλλον δὲ τῆς οἰκείας κατὰ πρόθεσιν διαθέσεως ἄξια κομιζόμεθα τὰ ἐπίχειρα· πυρὸς ἡδονῆς πῦρ γεέννης καὶ σκότους ἀγνοίας καὶ ἀπάτης προσκαίρου σκότος αἰώνιον καὶ σκώληκα κολαστικόν τε καὶ ἀκοίμητον· σκώληκος τοῦ διὰ μίσους καὶ ψεύδους τὴν καρδίαν σκολιώσαντος καὶ σκαμβώσαντος, καὶ ψόφους παρειῶν ἀσελγοῦς, βράσματος ψόφον καὶ ὀδόντων βρυγμόν· καὶ ὕψους ὑπερηφανίας ματαίας καὶ διαχύσεως πόσιν καὶ βάθος ἀχανὲς καὶ στενότητα πήξεως καὶ ἁπλῶς εἰπεῖν, ἑκάστου τῶν ἑκουσίων ἡμῶν κακῶν τὴν ἑκάστου προσφορὰν καὶ ἀκούσιον τιμωρίαν ἀντιλαμβάνομεν.

5. Ὢ τῆς ἐλεεινότητος ἡμῶν! ἡμᾶς τοὺς ἀθλίους, μὴ κατασβέσαι τὸ πῦρ τῆς σαρκὸς διὰ νηστείας καὶ ἀγρυπνίας καὶ τῆς τῶν θείων λογίων μελέτης, καλῶν ὄντων καὶ εὐμαρῶν τοῦ πυρὸς σβεστηρίων, καὶ μὴ τούτῳ νῦν τῷ πυρὶ τηγανίζεσθαι. Τί μὴ κατὰ φύσιν ὁρᾶν τε καὶ ἀκούειν καὶ λαλεῖν τὴν γλῶτταν εἰθίσαμεν, ἵνα μὴ τοῦτον ἔχωμεν νῦν τὸ ζόφον καὶ τὴν βαρυτάτην σιγήν, ἀλλὰ καὶ ἡμεῖς τοῦ φωτὸς καὶ τοῦ λόγου καὶ τῆς σοφίας τοῦ Θεοῦ μετὰ τῶν ἁγίων ἀπολαύσωμεν, ὡς τῆς θείας γενόμενοι δόξης θεαταὶ καὶ ἀκουσταὶ καὶ ὑμνῳδοί; Ἢ δι' ἀγάπης τὸν ἑκούσιον τοῦ μίσους ἐνεκρώσαμεν σκώληκα, καὶ δι'

1. Ψαλμ. 100, 3.

ἀληθείας τὸ ψεῦδος ἠφανίσαμεν; νῦν ἂν τούτου τοῦ καυστικοῦ καθεστήκαμεν ἐλεύθεροι σκώληκος, καὶ τῶν λοιπῶν νῦν ὅσα τὴν ἡμῶν συνέχει δεινοτάτην ζωήν. Δικαία ἡ κρίσις τοῦ Θεοῦ. Οὐχ εὑρίσκομεν ὅπερ ἐζητήσαμεν, οὐκ ἀνοίγεται ἡμῖν θύρα τῆς βασιλείας τῶν οὐρανῶν. ᾿Επειδὴ γὰρ τὴν θύραν τῶν ἀγαθῶν διὰ πράξεως οὐκ ἐκρούσαμεν, οὐ λαμβάνομεν τῶν αἰωνίων ἀγαθῶν τὴν ἀπόλαυσιν· ἐπειδὴ δι' εὐχῆς τὴν χάριν τῆς γνώσεως οὐκ ἠτήσαμεν· (οὐδένα γὰρ τῶν θείων εἴχομεν ἔρωτα, ἀλλά, τοῖς γηΐνοις τὸν νοῦν καταδήσαντες, πᾶσαν αὐτοῖς ἡμῖν τὴν ζωὴν συνεφθείραμεν·) κἀκεῖνα μὲν πάντα καπνοῦ δίκην ἀφανισθέντα παρῆλθεν· ὁ δὲ τῆς ἐπ' αὐτοῖς δίκης λόγος μένει διὰ παντὸς ἀπαρόδευτος.

6. Καὶ ταῦτα μὲν ἐκεῖνοι τῆς θείας δικαιοσύνης μεταμανθάνοντες, ἐξ ὧν πάσχουσι τὴν δύναμιν, ὡς τύπῳ περιλαβεῖν, ἀλλήλοις διαλεχθήσονται. ᾿Εγὼ δὲ τίς γενόμενος τάλας, τίσιν ἐρειδόμενος πράξεσιν ἐλπίσω τῆς φοβερᾶς ἐξαιρεθῆναι κατακρίσεως; Πάσης ἀρετῆς καὶ πάσης γνώσεως ὑπάρχων ἔρημος, δέδοικα μὴ δεθεὶς χεῖρας καὶ πόδας ῥιφῶ εἰς γῆν σκοτεινὴν καὶ γνοφεράν, εἰς γῆν σκότους αἰωνίου, ἔνθα οὐκ ἔστι φέγγος οὐδὲ ὁρᾶν ζωὴν βροτῶν, ὡς δήσας τοῖς πάθεσιν ἑκουσίως τὰς πρακτικὰς τῆς ψυχῆς ἀρετάς, καὶ ἀπὸ τοῦ θείου δρόμου τῆς ἀγγελικῆς πολιτείας, κωλύσας ταύτης τὰ διαβήματα. ῾Ιλάσθητι, Χριστέ, καὶ σῶσον ἡμᾶς ταύτης τῆς ὀδύνης. Οἷς γὰρ κατὰ τὸν αἰῶνα τοῦτον διὰ τῶν ἐπιτηδευμάτων ἡμῶν τῶν πονηρῶν συνεῖναι κατὰ θέλησιν γνωμικῶς ἐπελεξάμεθα, σὺν τούτοις εἰκότως ἐξ ἀνάγκης εἶναι κατὰ τὸν αἰῶνα τὸν μέλλοντα μὴ θέλοντες κατακριθησόμεθα. ῎Εσται γὰρ ὡς ἀληθῶς, ἔσται καιρός, ὅτε φοβερά τις βοήσει σάλπιγξ ξένην ἔχουσα φωνήν, καὶ τὸ πᾶν τοῦτο λυθήσεται διαπίπτον τῆς ἐν αὐτῷ ὁρωμένης διακοσμήσεως· ὁ μὲν φαινόμενος κόσμος ὅλος παρελεύσεται τὴν οἰκείαν λαμβάνων συντέλειαν· ὁ δὲ νῦν προσδοκώμενος τῶν ὄντων φανήσεται κόσμος, ὀφθαλμοῖς καὶ ἀκοαῖς καὶ διανοίαις ξένα κομίζων μυστήρια. ῾Ο δὲ Θεὸς ἑκάστῳ πρὸς ἃ διὰ τοῦ σώματος ἔπραξεν, εἴτε καλὸν εἴτε φαῦλον, κατ' ἀξίαν ἀποδίδωσιν· μέγα καὶ φοβερὸν καὶ εἰς ἔσχατον πᾶσιν ἀποδιδοὺς συγκλεισμόν. ᾿Αλλὰ γένοιτο πάντας ἡμᾶς τόν τε σωτήριον τῆς γεέννης φόβον καὶ τὸν τίμιον πόθον τῆς τῶν οὐρανῶν βασιλείας ἀναλαβεῖν! τὸν μὲν φόβον παντελῆ τῶν κακῶν ἡμῖν ἀποχὴν καὶ ἀργίαν ποιοῦντα· τὸν δὲ πόθον καὶ εἰς τὰς τῶν ἀγαθῶν πράξεις προτρεπόμενον ἱλαρῶς, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν ἐν Χριστῷ ᾿Ιησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ (Πατρὶ) καὶ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΡΟΣ ΑΝΤΙΟΧΟΝ ΑΡΧΟΝΤΑ*

Περὶ πλείστων καὶ ἀναγκαίων ζητημάτων, τῶν ἐν ταῖς θείαις Γραφαῖς ἀπορουμένων καὶ παρὰ πᾶσι Χριστιανοῖς γινώσκεσθαι ὀφειλομένων.

Ἐρώτησις α΄. Πιστεύσαντες καὶ βαπτισθέντες εἰς Τριάδα ὁμοούσιον καὶ λέγοντες Θεὸν εἶναι τὸν Πατέρα, ὁμοίως καὶ Θεὸν εἶναι τὸν Υἱόν, ὡσαύτως δὲ καὶ Θεὸν εἶναι τὸ ἅγιον Πνεῦμα, πῶς οὐ λέγομεν τρεῖς θεούς, ἀλλ' ἕνα καὶ μόνον Θεόν; Καὶ εἰ μὲν ἕνα προσκυνοῦμεν Θεόν, εὔδηλον ὅτι, εἰς μοναρχίαν πιστεύοντες, Ἰουδαΐζομεν· εἰ δὲ πάλιν τρεῖς θεούς, πρόδηλον ὅτι Ἑλληνίζομεν, πολυθεΐαν εἰσάγοντες καὶ οὐχ ἕνα μόνον Θεὸν εὐσεβῶς προσκυνοῦντες.

Ἀπόκρισις. Ἀπερίεργος ὁ λόγος καὶ ὁ τρόπος τῆς εὐσεβείας, πίστει μόνῃ, ἀλλ' οὐκ ἐξερευνήσει γνωριζόμενος καὶ τιμώμενος. Θεὸς γὰρ καταλαμβανόμενος, οὐκ ἔστι Θεός. Εἰ γὰρ τοὺς ἀγγέλους, ἢ τὰς ἡμετέρας ψυχὰς κτίσματα ὄντα καταλαβεῖν οὐ δυνάμεθα, πόσῳ μᾶλλον αὐτῷ τῷ τούτων ποιητῇ πρέπει τὸ εἶναι ἀκατάληπτον; Μυστήριον γὰρ γνωριζόμενον οὐδέν ἐστι λοιπὸν θαυμαζόμενον. Οὐκοῦν ἡ Χριστιανῶν πίστις, καὶ ὁ τούτων, τρισυπόστατος Θεὸς οὔτε εἷς ἐστι τὴν ὑπόστασιν ἀνθρωπόμορφος, ὡς οἱ Ἑλλήνων παῖδες μυθεύονται, οὔτε πάλιν τρεῖς τινες θεοί, ὥσπερ ἀλλήλων ἀπέχοντες. Ἄπαγε τῆς Ἑλληνικῆς μυθολογίας! Ἀδιαίρετος γὰρ ἐν ταῖς τρισὶν ὑποστάσεσιν ἡ τῆς μιᾶς οὐσίας θεότης. Πλὴν εἰδέναι χρή, ὅτιπερ οὔτε ῥήμασιν οὔτε ἐνθυμήμασι καταλαβεῖν, ἢ διηγήσασθαί τι τῆς θεότητος, νοῦς ἀνθρώπινος δύναται. Πάντες δὲ ὅσοι Θεὸν καταλαβέσθαι ἔσπευσαν, τὴν ἑαυτῶν σκιὰν κατεδίωξαν· καὶ ὅσοι τι περὶ οὐσίας Θεοῦ εἰπεῖν ἠβουλήθησαν, τὴν ἄβυσσον μετρῆσαι τῇ ἑαυτῶν δρακὶ ἔσπευσαν. Καὶ ὅσοι βαθῦναι ἐνόμισαν, εἰς πονηρὰς αἱρέσεις ἐνέπεσαν. Ὁ γὰρ Πατὴρ καὶ Θεὸς οὐχ ὡς ἐγὼ ὁ κτιστὸς ὑπάρχει πατήρ, γεννήσας ὡς ἐγὼ κτιστὸν υἱόν· οὐδὲ ὁ Υἱὸς ὡς πᾶς σαρκικὸς γεγέννηται υἱός· οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον ὡς τὸ τοῦ ἀνθρώπου πνεῦμα περίγραπτον· ἀλλ' ἄρρητον καὶ ἀνέκφραστον τὸ τῆς ἁγίας Τριάδος ὑπάρχει μυστήριον. Καὶ μὴ εἴπῃς, Πῶς; ὑπὲρ γὰρ τὸ πῶς ἐστι τοῦτο· μηδὲ εἴπῃς, ποίῳ τρόπῳ; ὑπὲρ γὰρ τρόπον ὁ θεῖος τρό-

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 28, σ. 597 ἑξ.

πος· μηδὲ εἴπης, Ποίῳ λόγῳ; ὑπὲρ γὰρ λόγον ὁ θεῖος λόγος. Ἀλλὰ πίστευε εἰς Πατέρα· μὴ ἐρευνήσης δὲ τὸ πρᾶγμα· προσκύνει τὸν Υἱόν, μὴ πολυπραγμονῶν τὴν αὐτοῦ γέννησιν· ἀνύμνει τὸ Πνεῦμα τὸ ἅγιον, μὴ ἐκζητῶν τὸ τῆς ἁγίας Τριάδος μυστήριον. Δεῦρο ἐν Ἰορδάνῃ, καὶ ὅρα διὰ πραγμάτων τηλαυγῶς τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος τὴν δύναμιν· Πατέρα μὲν ἄνωθεν μαρτυροῦντα· Υἱὸν δὲ κάτωθεν βαπτιζόμενον, Πνεῦμα δὲ πανάγιον ἐν εἴδει περιστερᾶς κατερχόμενον. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ προσκύνησις σὺν τῷ Πατρὶ τῷ παντοκράτορι καὶ τῷ Μονογενεῖ αὐτοῦ Υἱῷ, τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐρώτ. β'. Πόθεν ἐπιγινώσκει ἄνθρωπος, ὅτι ὅλως ἐβαπτίσθη καὶ Πνεῦμα ἅγιον ἔλαβε, νήπιος ὢν ἐν τῷ ἁγίῳ βαπτίσματι;

Ἀπόκ. Ὁ προφήτης Ἡσαΐας φησὶ πρὸς τὸν Θεόν· «Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν Πνεῦμα σωτηρίας.[1]» Ὥσπερ οὖν ἡ ἐν γαστρὶ λαβοῦσα γυνὴ ἐκ τῶν σκιρτημάτων τοῦ βρέφους, τοῦ ἐν τῇ μήτρᾳ αὐτῆς, ἐπίσταται ἀψευδῶς ὅτι καρπὸν ἔλαβεν, οὕτω καὶ ἡ ψυχὴ τοῦ ἀληθῶς Χριστιανοῦ, οὐ διὰ ῥημάτων τῶν γονέων, ἀλλὰ διὰ πραγμάτων καὶ σκιρτημάτων τῆς καρδίας αὐτοῦ, καὶ μάλιστα τῷ καιρῷ τῶν φωτισμάτων καὶ τῆς μεταλήψεως τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ, μανθάνει ἐκ τῆς χαρᾶς τῆς αὐτοῦ ψυχῆς, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβε βαπτισθείς.

Ἐρώτ. γ'. Πότε, καὶ πόθεν, καὶ πῶς, γεγόνασιν οἱ ἄγγελοι;

Ἀπόκ. Οὔτε πόθεν, οὔτε πῶς γεγόνασιν οἱ ἄγγελοι, δυνατὸν φύσει ἀνθρωπίνῃ εἰπεῖν· εἰ μὴ τοῦτο μόνον, ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι λόγῳ Θεοῦ γεγόνασι. Τὸ δὲ πότε, οἱ μέν φασι τῇ πρώτῃ ἡμέρᾳ, οἱ δὲ πρὸ τῆς πρώτης ἡμέρας.

Ὁ δὲ ἐν ἁγίοις Πατὴρ ἡμῶν καὶ θαυματουργὸς Ἐπιφάνιος ὁ ἀρχιεπίσκοπος Κύπρου, εἰς τὸν λόγον αὐτοῦ τὸν κατὰ Παύλου τοῦ Σαμοσατέως εἰς τὰ Πανάρεια πλατυτέρως ἐξέθετο, ἅμα οὐρανῷ καὶ γῇ τούτους δημιουργηθῆναι, καὶ οὐχὶ πρότερον, ἀνατρέπων διὰ συλλογισμῶν τοὺς τοῦτο λέγοντας. Καὶ ἐν ἑτέρῳ δὲ αὐτοῦ λόγῳ τοῦτό φησιν.

Ἐρώτ. δ'. Πόθεν δῆλον ὅτι κτιστοί εἰσιν οἱ ἄγγελοι; οὐδὲ γὰρ ἐμφέρεταί τι τοιοῦτον ἐν τῇ βίβλῳ τῆς Γενέσεως.

Ἀπόκ. Γινώσκων ὁ Θεὸς τὸ φιλείδωλον καὶ πολύθεον τῶν ἀνθρώπων, καὶ μάλιστα τῶν Ἰουδαίων, τούτου χάριν ἀπέκρυψεν ἐν τῇ Γενέσει τὸν περὶ τῶν ἀγγέλων λόγον· ἵνα μὴ καὶ αὐτοὺς θεοποιήσωμεν οἱ τὸν μόσχον καὶ ἄλλα τινὰ θεοποιήσαντες ὡς θεούς. Ὅτι δὲ καὶ κτιστοί εἰσιν οἱ ἄγγελοι, ἄκουσον τοῦ ἁγίου Πνεύματος διὰ τοῦ Προ-

1. Ψαλμ. 26, 17-18.

φήτου λέγοντος· «Αἰνεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ [1], ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτισθησαν. [2]»

Ἐρώτ. ε΄. Ἐκ τῆς οὐσίας δὲ τοῦ φωτὸς τούτου εἰσίν, ἢ ἄλλης τινὸς φύσεως;

Ἀπόκ. Ὅσον διαφέρει τοῦ ἀστέρος ὁ ἥλιος, τοσοῦτον διαφέρει ἡ οὐσία τῶν ἀγγέλων πάσης τῆς ὁρωμένης κτίσεως.

Ἐρώτ. ς΄. Πόσος δὲ ἄρα τῶν ἀγγέλων ὁ ἀριθμὸς ὑπάρχει ὑπὲρ τὸν ἀριθμὸν τῆς ἀνθρωπότητος;

Ἀπόκ. Οἱ μέν φασιν ἐνενήκοντα ἐννέα μέρη εἶναι τοὺς ἀγγέλους πρὸς τὸν ἀριθμὸν τῆς ἀνθρωπότητος, κατὰ τὴν παραβολὴν τοῦ Κυρίου τῶν ἑκατὸν προβάτων· ἄλλοι δὲ ἐννέα κατὰ τὴν παραβολὴν τῶν δέκα δραχμῶν. Ἕτεροι δὲ ἰσαρίθμους λέγουσι τοὺς ἀνθρώπους καὶ τοὺς ἀγγέλους, φέροντες εἰς μαρτυρίαν τό· «Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ. [3]»

Ἐρώτ. ζ΄. Τί παρήλλακται ἡ οὐσία τῶν δαιμόνων τῆς οὐσίας τῶν ἀγγέλων;

Ἀπόκ. Ἡ οὐσία οὐ παρήλλακται, ἀλλ' ἡ προαίρεσις, ὥσπερ ἡ γνώμη δικαίου καὶ ἁμαρτωλοῦ.

Ἐρώτ. π΄. Πόσα τάγματα καὶ πόσαι οὐσίαι ἀγγέλων εἰσίν;

Ἀπόκ. Οὐσία μία, ὥσπερ καὶ ἀνθρώπων μία. Τάγματα δέ, ὡς ὁ πολὺς ἐν θεολογίᾳ Διονύσιός φησιν, ἐννέα, ἅπερ εἰσὶ ταῦτα· ἄγγελοι, ἀρχάγγελοι, ἀρχαί, ἐξουσίαι, δυνάμεις, κυριότητες, τὰ ἑξαπτέρυγα σεραφίμ, τὰ πολυόμματα χερουβίμ, καὶ οἱ θρόνοι. Περὶ μιᾶς οὐσίας ἀγγέλων καὶ ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης λέγει εἰς τὸ ἑπτακαιδέκατον κεφάλαιον τοῦ «Εἰς τὸν ἄνθρωπον» λόγου αὐτοῦ.

Ἐρώτ. θ΄. Πόσοι οὐρανοί εἰσιν;

Ἀπόκ. Ἀμφιβάλλεται πολλοῖς τὸ ἐρώτημα. Ἡ μὲν γὰρ βίβλος τῆς Γενέσεως δύο οὐρανοὺς λέγει· ὁ δὲ ἅγιος Παῦλος καὶ τρίτον οὐρανὸν εἶδεν. Ὁ δὲ προφήτης Δαυίδ, καὶ τέταρτον λέγει, καθὼς φησιν· «Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν.» Ἰστέον δὲ λογίζεσθαι τοὺς λέγοντας εἰς τὸ τρίτον τοῦ οὐρανοῦ, καὶ οὐκ εἰς τρεῖς οὐρανοὺς ἁρπαγῆναι τὸν ἅγιον Παῦλον, ὅτι, καθάπερ ἡ φύσις τῶν ἀνθρώπων καὶ εἷς λέγεται ἄνθρωπος, καὶ πάλιν πολλοὶ ἄνθρωποι· οὕτω καὶ ἡ τῶν οὐρανῶν φύσις, καὶ εἷς οὐρανὸς καὶ πολλοὶ οὐρανοὶ ἐν τῇ θείᾳ Γραφῇ λέγονται.

Ἐρώτ. ι΄. Πότε καὶ διὰ τί ἐξέπεσεν ὁ διάβολος; Μυθεύονται γάρ τινες, ὅτι, καταδεξάμενος, προσκυνῆσαι τὸν Ἀδάμ, διὰ τοῦτο ἐξέπεσεν.

Ἀπόκ. Ἀφρόνων ἀνδρῶν τὰ τοιαῦτα τυγχάνουσι ῥήματα. Ὁ γὰρ διάβολος, πρὶν γενέσθαι τὸν Ἀδάμ, ἐξέπεσε. Πρόδηλον δέ,

---

1. Ψαλμ. 148, 2. 2. Ψαλμ. 148, 5. 3. Δευτ. 32, 8.

ὅτι διὰ τὴν ὑπερηφανίαν αὐτοῦ, ὥς φησιν Ἡσαΐας ὁ προφήτης, λογισάμενος, ὅτι «Θήσω τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ.[1]»

Ἐρώτ. ια΄. Τίνος δὲ χάριν συνεχώρησεν αὐτῷ ὁ Θεὸς πολεμεῖν τὸ γένος τῶν ἀνθρώπων;

Ἀπόκ. Ὅπως καὶ οἱ ἀγαπῶντες τὸν Θεὸν φανερωθῶσι, καὶ προσκείμενοι ταῖς ἡδοναῖς ἐλεγχθῶσιν. Ἀντιδίκου γὰρ μὴ προσκειμένου οἱ γνήσιοι στρατιῶται τοῦ βασιλέως οὐ φανεροῦνται. Ὁ οὖν διάβολος αἴτιος νίκης καὶ στεφάνων γίνεται καὶ τιμῶν τοῖς ἀγαπῶσι τὸν Θεόν.

Ἐρώτ. ιβ΄. Πεσόντος τοῦ διαβόλου ἐκ τῶν οὐρανῶν, πῶς γέγραπται ἐν τῷ Ἰὼβ ὅτι «ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐνώπιον Κυρίου, καὶ ὁ διάβολος ἐν μέσῳ αὐτῶν;[2]»

Ἀπόκ. Οὐκ εἶπεν ἡ Γραφή, ὅτι ἦλθεν ὁ διάβολος ἐν τοῖς οὐρανοῖς ἐν μέσῳ τῶν ἀγγέλων· πρόδηλον οὖν, ὅτι ἐπὶ τῆς γῆς. Καὶ γὰρ ὅπου ἐάν εἰσιν οἱ ἅγιοι ἄγγελοι, τῷ Θεῷ παρίστανται. Πλὴν δεῖ εἰδέναι, ὅτι ὁ Θεὸς διά τινος ἁγίου ἀγγέλου πρὸς τὸν διάβολον διελέγετο, καθάπερ καὶ βασιλεύς, διά τινος μέσου ἀνθρώπου, πρὸς τὸν κατάδικον.

Ἐρώτ. ιγ΄. Ἆρα ἰσχύει φάρμακον ἀποκτεῖναι ἄνθρωπον;

Ἀπόκ. Δίκαιον μὲν οὐδαμῶς, ἀλλ᾿ οὐδὲ προσεγγίσαι αὐτῷ· ἁμαρτωλὸν δὲ καὶ τοῦ Θεοῦ συγχωροῦντος. Ἐπεὶ οὐδὲ κατὰ χοίρων ἔχει ἐξουσίαν, ὡς ἐν τοῖς Εὐαγγελίοις ἠκούσαμεν.

Ἐρώτ. ιδ΄. Ποίαν εὐχὴν καὶ ῥῆμα παρὰ πᾶσαν εὐχὴν καὶ ῥῆμα φοβοῦνται οἱ δαίμονες καὶ ὁ διάβολος;

Ἀπόκ. Διηγήσαντό τινες πνευματοφόροι ἄξιοι τοῦ πιστεύεσθαι, ὅτιπερ αὐταῖς ὄψεσί ποτε φανεὶς αὐτοῖς ὁ διάβολος, καὶ τοῦτο τὸ ἐρώτημα ἐρωτηθεὶς ὑπ᾿ αὐτῶν ἀπεκρίνατο, ὅτι οὐκ ἔστιν ἐν πάσῃ Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ ῥῆμα ἐκφοβοῦν καὶ διασκορπίζον πᾶσαν ἡμῶν τὴν δύναμιν, ὡς ἡ ἀρχὴ τοῦ ξζ΄ ψαλμοῦ. Ὡς οὖν ὁ διάβολος τοῦτο εἴρηκεν, ἀρξαμένων αὐτῶν τοῦ ψαλμοῦ, καὶ εἰρηκότων μόνον τὸ πρῶτον ῥῆμα, τό, «Ἀναστήτω ὁ Θεός[3]», εὐθέως ὀλολύζων ἄφαντος ἐγένετο ὁ διάβολος, ἔργοις δείξας τῆς εὐχῆς τὴν ἐνέργειαν.

Ἐρώτ. ιε΄. Πόθεν κινοῦνται ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου διαλογισμοὶ καὶ λόγοι βλάσφημοι καὶ ἀθέμιτοι, καὶ αὐτὸν τὸν Θεὸν ὑβρίζοντες πολλάκις, οὓς οὐ βεβούλευται λαλῆσαι ἡ ψυχή, ἢ γλῶσσα τοῦ ἀνθρώπου ὀνομάσαι;

Ἀπόκ. Τοῦτο ὁ διάβολός ἐστιν ἐργαζόμενος, καὶ οὗτος τὰ τοιαῦτα ἀθέμιτα ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου ὑποβάλλει, λαλῶν κατὰ τοῦ Θεοῦ ῥήματα, εἰς ἀπόγνωσιν τὸν ἄνθρωπον ἐνέγκαι βουλόμενος. Ἀλλ᾿ οὐκ ἐκ τούτου τὸ σύνολον κατακρίνεται ὁ ἄνθρωπος· μὴ γένοιτο! Πολλάκις δὲ καὶ ἐξ οἰήσεως ὁ τοιοῦτος λογισμὸς ἐπανάγεται τῷ ἀνθρώπῳ·

1. Ἡσ. 14, 14. 2. Ἰὼβ 1, 6. 3. Ψαλμ. 67, 2.

ἀπαλλάττεται δὲ αὐτοῦ γῆν καὶ σποδὸν ἑαυτὸν λογιζόμενος, καὶ μηδ' ὅλως εἰς μέτρον τὸν τοιοῦτον λογισμὸν ἔχων, ἀλλὰ λέγων τῷ διαβόλῳ· «Ἡ βλασφημία σου ἐπὶ τὴν κεφαλήν σου, διάβολε. Ἐγὼ γὰρ Κύριον τὸν Θεόν μου προσκυνήσω καὶ αὐτὸν οὐδέποτε βλασφημήσω.» Ἀσφαλῶς οὖν προσεκτέον τοῖς εἰρημένοις. Πολλοὶ γὰρ τῶν ἀνθρώπων ὑπὸ τούτου τοῦ λογισμοῦ κρατηθέντες, οἱ μὲν ἑαυτοὺς ἐκρήμνισαν, οἱ δέ, εἰς ἀπόγνωσιν ἐλθόντες ἀπώλοντο.

Ἐρώτ. ις'. Ἀκόλουθον ἡγούμεθα μετὰ τὸν περὶ Θεοῦ καὶ ἀγγέλων λόγον, τρίτον τὸν περὶ ψυχῶν λοιπὸν λόγον εἰς μέσον προσενεχθῆναι. Πολλὴ γὰρ ὡς ἀληθῶς καὶ ἡ περὶ τούτου παρὰ ἀνθρώποις ὑπάρχει ζήτησίς σε καὶ ἀμφιβολια· λέγω δή, τί αὐτὸ χρῆμά ἐστιν ἡ ψυχὴ τοῦ ἀνθρώπου; καὶ πόθεν αὕτη συνίσταται ἐν τῷ σώματι; καὶ πότε καὶ πῶς τοῦ σώματος χωρίζεται; καὶ τί μέχρι τῆς ἀναστάσεως διαπράττεται; οὐδεὶς γὰρ ἐκ νεκρῶν ἐν τῷ βίῳ ἐπιδημήσας ταῦτα ἡμῖν ἀπήγγειλεν, ἢ ἐπιστώσατο· Διὸ ὡς τοῖς πολλοῖς ἀκατάληπτον τὸν περὶ τῆς ψυχῆς λόγον διδαχθῆναι ἠρωτήσαμεν τὴν σὴν ἁγιότητα.

Ἀπόκ. Ἡ μὲν τοῦ ἀνθρώπου ψυχή ἐστιν οὐσία νοερά, ἀσώματος, ἀπαθής, ἀθάνατος· οὐ μὴν δὲ ἄγγελός ποτε ἦν ἡ ψυχή, ὡς οἱ Ὠριγενιασταὶ μυθεύονται· οὐδὲ προϋπάρχουσιν αἱ ψυχαὶ τῶν σωμάτων, ὡς οἱ Μανιχαῖοι δογματίζουσιν· ἀλλ' ὥσπερ τοῦ λίθου καὶ τοῦ σιδήρου συγκρουομένων, ἐκ τῶν ἀμφοτέρων τίκτεται τὸ πῦρ· οὕτω καὶ ἐπὶ τῆς τοῦ ἀνδρὸς καὶ γυναικὸς συμπλοκῆς συνίσταται Θεοῦ κελεύσει σῶμα καὶ ψυχή. Καὶ πειθέτω σε ὁ ἅγιος Ἀπόστολος λέγων· «Σπείρεται σῶμα ψυχικόν· ἐγείρεται σῶμα πνευματικόν[1]», δηλονότι ἐν τῇ ἀναστάσει.

Ἐρώτ. ιζ'. Πόθεν δὲ δῆλον ὅτι ἐν τῷ καιρῷ τοῦ θανάτου οὐ συναποθνήσκει μετὰ τοῦ σώματος ἡ ψυχή; Τινὲς γὰρ οὕτω νομίζουσιν.

Ἀπόκ. Ὁ τοῦ Θεοῦ Υἱὸς καὶ Λόγος Ἰησοῦς ὁ Χριστὸς προφανῶς ἡμᾶς διδάσκει τὸ θνητὸν τοῦ σώματος καὶ τὸ ἀθάνατον τῆς ἡμετέρας ψυχῆς, λέγων· «Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι.[2]» Πρόδηλον ὡς ἀθάνατος καὶ ἀπὸ Θεοῦ ὑπάρχει.

Ἐρώτ. ιη'. «Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος.[3]» Ποίῳ δὲ ἄρα τρόπῳ ἡ ψυχὴ χωρίζεται ἀπὸ τοῦ σώματος;

Ἀπόκ. Ἐκ τεσσάρων στοιχείων πιστεύομεν τὸ σῶμα τοῦ ἀνθρώπου συνίστασθαι· λέγω δὴ ἐξ αἵματος, καὶ φλέγματος, καὶ χυμοῦ, καὶ χολῆς· ἤγουν ἐκ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, τουτέστιν ἐκ πυρὸς καὶ ὕδατος, καὶ ἀέρος, καὶ γῆς. Τὸ μὲν γὰρ αἷμα ὥσπερ θερμὸν καὶ ζωτικὸν στοιχεῖον, δῆλον ὅτι ἐκ τοῦ πυρός· ὁ δὲ χυμός, ὡς ὑγρός, πρόδηλον ὅτι ἐξ ἀέρος· ἡ δὲ χολὴ ὡς ξηρὰ πρόδηλον ἀπὸ γῆς· τὸ δὲ φλέγμα ὡς ψυχρόν, εὔδηλον ἐξ ὕδατος. Καὶ τούτοις

1. Α' Κορ. 15, 44. 2. Ματθ. 10, 28. 3. Α' Τιμ. 1, 15.

τοῖς τέσσαρσιν ὥσπερ καὶ τέσσαρσι τοίχοις ἐν οἴκῳ τοῦ σώματος δίκην τινὸς περιστερᾶς ἀποκέκλεισται ἡ ψυχή. Τῷ γοῦν καιρῷ τοῦ θανάτου ἐπιτροπῇ τοῦ Θεοῦ, ὑποχωρούντων ἐξ ἀλλήλων τῶν τεσσάρων στοιχείων, ὡς ἂν εἴποις, διαλύονται οἱ τέσσαρες τοῦ οἴκου τοῖχοι, καὶ ἀναχωρεῖ ἡ ἔνδον ἀποκεκλεισμένη περιστερά, ἤγουν ἡ ψυχή· καὶ πρῶτον μὲν ἀποχωρεῖ τὸ αἷμα, ἤγουν τὸ θερμὸν καὶ ζωτικόν. Ὅθεν τὰ νεκρὰ σώματα χολὴν μὲν ἔχουσι μετὰ θάνατον καὶ φλέγμα καὶ χυμόν, αἷμα δὲ οὐκ ἔχουσιν.

Ἐρώτ. ιθ'. Ποῦ δὲ ἄρα θέλομεν λέγειν, ὅτι εἰσὶν αἱ προλαβοῦσαι τῶν ἀνθρώπων ψυχαί;

Ἀπόκ. Ξένον μὲν καὶ φοβερὸν τὸ ἐρώτημα, καὶ παρὰ ἀνθρώποις, ἀποκεκρυμμένον. Οὐ γὰρ συνεχώρησεν ὁ Θεὸς ἐπαναλῦσαί τινα πρὸς ἡμᾶς ἐκεῖθεν καὶ διηγήσασθαι ποῦ ἢ πῶς εἰσιν αἱ ἀφ' ἡμῶν ἀπελθοῦσαι ψυχαί. Ὅμως ἐκ τῶν Γραφῶν μανθάνομεν, ὅτι αἱ μὲν τῶν ἁμαρτωλῶν ψυχαὶ ἐν τῷ ᾅδῃ ὑπάρχουσιν ὑποκάτω πάσης τῆς γῆς καὶ τῆς θαλάττης εἰσίν, ὥς φησιν ὁ ψαλμός, «Ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου καὶ ἐν λάκκῳ κατωτάτῳ[1]», καὶ ὡς γέγραπται ἐν τῷ Ἰώβ· «Εἰς γῆν σκοτεινὴν καὶ γνοφεράν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστι φέγγος, οὐδὲ ὁρᾶν ζωὴν βροτοῖς[2]», αἱ δὲ τῶν δικαίων ψυχαὶ μετὰ τὴν Χριστοῦ παρουσίαν, ὡς ἐκ τοῦ λῃστοῦ τοῦ ἐν τῷ σταυρῷ μανθάνομεν, ὅτι ἐν τῷ παραδείσῳ ὑπάρχουσιν.[3] Οὐ γὰρ διὰ μόνην τὴν ψυχὴν τοῦ ἁγίου λῃστοῦ Χριστὸς ὁ Θεὸς ἡμῶν ἤνοιξε τὸν παράδεισον, ἀλλὰ καὶ διὰ πάσας λοιπὸν τὰς τῶν ἁγίων ψυχάς.

Ἐρώτ. κ'. Τί οὖν, ἀπέλαβον οἱ δίκαιοι τὰ ἀγαθά, καὶ οἱ ἁμαρτωλοὶ τὴν κόλασιν;

Ἀπόκ. Οὐδαμῶς. Ὅμως δὲ τὴν χαρὰν ταύτην ἔχουσιν αἱ τῶν ἁγίων ψυχαί· καὶ ἔστιν αὕτη μερικὴ ἀπόλαυσις, ὥσπερ καὶ ἡ λύπη, ἣν οἱ ἁμαρτωλοὶ ἔχουσι, μερικὴ κόλασις, καὶ ὥσπερ μεταστέλλεται βασιλεὺς φίλους αὐτοῦ ἐπὶ τῷ συναριστῆσαι αὐτῷ ὡσαύτως καὶ καταδίκους ἐπὶ τὸ κολάσαι αὐτούς. Καὶ οἱ μὲν εἰς τὸ ἄριστον κληθέντες ἐν χαρᾷ εἰσιν ἔμπροσθεν τοῦ οἴκου τοῦ βασιλέως ἕως τῆς ὥρας τοῦ ἀρίστου· οἱ δὲ κατάδικοι ἐν φυλακῇ ἀποκεκλεισμένοι, ἐν λύπῃ ὑπάρχουσιν, ἕως οὗ ἔλθῃ ὁ κριτής. Οὕτω δεῖ λοιπὸν νοεῖν καὶ ἐπὶ τῶν ἐκεῖσε νῦν ἀφ' ἡμῶν προλαβουσῶν ψυχῶν, λέγω δὴ δικαίων καὶ ἁμαρτωλῶν.

Ἐρώτ. κα'. Εἰ οὖν οὐδεὶς καθ' ἃ εἴρηκας, οὔτε ἐν βασιλείᾳ, οὔτε ἐν γεέννῃ εἰσελήλυθε· πῶς περὶ τοῦ πλουσίου τοῦ κατὰ τὸν Λάζαρον ἀκούομεν, ὅτι, ἐν τῷ πυρὶ καὶ βασάνοις ὑπάρχων, πρὸς τὸν Ἀβραὰμ διελέγετο;

Ἀπόκ. Ὁ Κύριος παραβολικῶς ὅλα τὰ κατὰ τὸν Λάζαρον καὶ τὸν πλούσιον εἴρηκεν, ὥσπερ καὶ περὶ τῶν δέκα παρθένων, καὶ τῶν

---

1. Ψαλμ. 87, 7. 2. Ἰὼβ 10, 22. 3. Πρβλ. Λουκ. 23, 43.

λοιπῶν παραβολῶν. Οὐ γὰρ ἐν πράγματι γέγονεν ἡ τοῦ Λαζάρου παραβολή. Διότι οὐχ ὁρῶσιν οἱ ἁμαρτωλοὶ ἐν γεέννῃ τοὺς δικαίους μετὰ Ἀβραὰμ ὄντας ἐν τῇ βασιλείᾳ. Ἀλλ᾽ οὔτε δὲ πάλιν ἐπιγιγνώσκει τις τὸν πλησίον αὐτοῦ, ἐκεῖσε ἐν σκότει ὑπάρχων.

Ἐρώτ. κβʹ. Πῶς τοῦτο; Καὶ γὰρ φοβερὸς ὁ λόγος καὶ ξένος, ὅτι οὐκ ἐπιγινώσκομεν ἀλλήλους ἐκεῖ, ἀλλὰ ἀγνώριστοι ἀδελφοὶ ἀδελφοῖς, καὶ πατέρες υἱοῖς, καὶ φίλοι φίλοις καθεστήκαμεν.

Ἀπόκ. Ὁ ἐπιγνωρισμὸς ἐκ σωματικῶν σημείων γίνεσθαι πέφυκε. Αἱ δὲ ἀσώματοι ψυχαὶ ὅμοιαι ἀλλήλαις κατὰ πάντα τρόπον ὑπάρχουσιν, ὥσπερ ἐπὶ πλήθους τινῶν ἀσπίδων καὶ ὁμοίων περιστερῶν ἢ μελισσῶν, οὐ διαφερουσῶν μία τῆς μιᾶς, οὔτε σεμνότητι, οὔτε μεγαλειότητι ἀλλὰ κατὰ πάντα ἐν ἰσότητι ἀλλήλαις οὔσαις. Τοῦτο δὲ λέγω ἐπὶ τῶν ἐν τῷ ᾅδῃ καταδικασθεισῶν ψυχῶν τῶν ἁμαρτωλῶν, ὅτι ἑαυτὰς οὐ ἐπιγινώσκουσι. Ταῖς γὰρ τῶν δικαίων ψυχαῖς καὶ τοῦτο ὁ Θεὸς τὸ ἀγαθόν, λέγω δὴ τὸν ἐπιγνωρισμόν, ἐδωρήσατο.

Ἐρώτ. κγʹ. Δεδόσθω τοίνυν κατὰ τὸν σὸν λόγον, αἱ ψυχαὶ ἀλλήλας οὐκ ἐπιγινώσκουσι νῦν· εἶτα ἆρα οὔτε ἐν τῇ ἀναστάσει ἐπιγνώσονται ἀλλήλους οἱ ἁμαρτωλοί, λέγω δὲ οἱ ἐκ μιᾶς χώρας καὶ οἴκου καὶ γένους ὑπάρχοντες;

Ἀπόκ. Οὔτε ἐν τῇ ἀναστάσει.

Ἐρώτ. κδʹ. Τίνος χάριν;

Ἀπόκ. Ὅτιπερ ἅπαντα τὰ ἐκ φθορᾶς καὶ σπορᾶς ἐπισυμβάντα τοῖς ἡμετέροις σώμασι σχήματα καὶ σημεῖα, καὶ παθήματα, δι᾽ ὧν ἀλλήλους ἐπιγινώσκομεν ὧδε, ἐν τῇ ἀναστάσει τῶν νεκρῶν σὺν τῇ σπορᾷ καὶ φθορᾷ καταργοῦνται. Καὶ ὥσπερ ἀπ᾽ ἀρχῆς ὁ Θεὸς ἕνα ἄνθρωπον ἐποίησεν, οὕτω καὶ ἐν τῇ παλιγγενεσίᾳ πάντες ὡς εἷς ἄνθρωπος ἐπανιστάμεθα· τουτέστι πᾶσα ἀνθρώπου εἰκὼν ὁμοία τῆς τοῦ Ἀδὰμ εἰκόνος καὶ πλάσεως, καὶ μεγέθους καὶ σχήματος. Διὸ οὐκ ἔστιν ἐν τῇ ἀναστάσει ἄρσεν καὶ θῆλυ, οὐδὲ ξανθὸς καὶ μέλας, οὐδὲ μέλας καὶ λευκός, οὐδὲ ξανθότης καὶ πυρρότης, ἢ σιμότης ἢ γρυπότης, οὐδὲ διάφορα σχήματα, καὶ πρόσωπα, καὶ χρώματα, καὶ παθήματα, καὶ σκηνώματα. Ταῦτα γὰρ πάντα ἀπὸ σπορᾶς καὶ φθορᾶς γινόμενα σὺν τῇ φθορᾷ καταργοῦνται. Καὶ πῶς λοιπὸν ἐπιγνώσεται, εἰπέ μοι, πατὴρ τὸ ἴδιον τέκνον νήπιον τελευτῆσαν, καὶ τριακονταετῆ τέλειον ἄνθρωπον ἀνιστάμενον, καθὼς καὶ ὁ Χριστὸς τριακονταετὴς ἐβαπτίσθη; Ἢ πῶς γνωσθήσεται ὁ τευλευτήσας Αἰθίοψ λευκὸς ἀνιστάμενος· ἢ ὁ ἀποθανὼν λελωβημένος, ὑγιὴς ἀνιστάμενος; Εἰ δὲ δύσπιστά σοι ταῦτα φαίνονται, ἄκουσον τοῦ Κυρίου πρὸς τοὺς Σαδδουκαίους λέγοντος, ὅτι «Ἐν τῇ ἀναστάσει τῶν νεκρῶν οὔτε γαμοῦσιν, οὔτε γαμίζονται· ἀλλ᾽ ἔσονται ὡς ἄγγελοι.[1]» Οὐκοῦν ὥσπερ οἱ ἄγγελοι μιᾶς ἰδέας καὶ σχήματος ὑπάρχουσιν, οὕτω πιστεύομεν καὶ ἐπὶ

1. Ματθ. 22, 30.

τῆς ἡμετέρας φύσεως ἐν τῇ ἀναστάσει διὰ τῆς ἀφθαρσίας λοιπὸν γίνεσθαι. Καὶ ὥσπερ ἐπὶ τοῦ σίτου στάχυν ἐποίησεν ὁ Θεὸς ἀπ' ἀρχῆς καὶ ἐκ τοῦ στάχυος γέγονεν ὁ κόκκος, καὶ πάλιν σπειρόμενος ἀναβλαστάνει στάχυς, οὕτω καὶ ὁ ἄνθρωπος γέγονεν ὑπὸ τοῦ Θεοῦ φυλάττων τὴν ἐντολὴν ἄφθαρτος· εἶτα διὰ τῆς παρακοῆς συνετρίβη καὶ γέγονε φθαρτός· σπειρόμενος δὲ διὰ τοῦ θανάτου καὶ χωννύμενος ἐν τῇ γῇ, ἀναβλαστάνει ὥσπερ ἦν ἀπ' ἀρχῆς ἄφθαρτος.

Ἐρώτ. κε'. Ἆρα ἐπισκέπτονται τὸν βίον αἱ προλαβοῦσαι τῶν ἀνθρώπων ψυχαί, ἢ οὔ;

Ἀπόκ. Οὐδαμῶς. Ἄκουσον γὰρ τοῦ προφήτου Δαυὶδ περὶ τῶν τελευτώντων ἀνθρώπων λέγοντος· «Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.[1]» Περὶ δὲ τῶν ψυχῶν τῶν ἁγίων οὐ χρὴ ἀμφιβάλλειν.

Ἐρώτ. κς'. Καὶ εἰ ταῦτα οὕτω, πῶς ἐπιφαίνονται οἱ ἅγιοι πολλάκις ἐν τοῖς ἑαυτῶν ναοῖς καὶ σωροῖς;

Ἀπόκ. Ξένον καὶ παράδοξον τὸ ἐπερώτημα, καὶ πιστοτάτης ψυχῆς δεόμενον εἰς ἀπόκρισιν. Ὅμως εἰ χωρεῖς, ἄκουσον μὴ ὀκλάζων τῷ λογισμῷ. Αἱ ἐν τοῖς ναοῖς καὶ σωροῖς τῶν ἁγίων γινόμεναι ἐπισκιάσεις καὶ ὀπτασίαι οὐ διὰ τῶν ψυχῶν τῶν ἁγίων γίνονται, ἀλλὰ δι' ἀγγέλων ἁγίων μετασχηματιζομένων εἰς τὸ εἶδος τῶν ἁγίων. Πῶς γάρ, εἰπέ μοι, μία οὖσα ψυχὴ τοῦ μακαρίου Πέτρου ἢ Παύλου δύναται κατ' αὐτὴν τὴν ῥοπὴν ἐν τῇ μνήμῃ αὐτοῦ ἐπιφανῆναι ἐν χιλίοις ναοῖς αὐτοῦ, ἐν ὅλῳ τῷ κόσμῳ; τοῦτο γὰρ οὔτε ἄγγελος εἷς δύναται ποιῆσαί ποτε. Μόνου γὰρ τοῦ Θεοῦ ἐστιν ἐν δυσὶ τόποις καὶ ἐν ὅλῳ τῷ κόσμῳ ἐν αὐτῇ τῇ ῥοπῇ εὑρίσκεσθαι. Ἐπεὶ καὶ αὐταὶ αἱ νοεραὶ δυνάμεις ἀπολιμπάνονται πάντως τῆς ἐν οὐρανοῖς δοξολογίας, ἡνίκα δ' ἂν ἀποστέλλωνται εἰς διακονίαν ἐπὶ τῆς γῆς.

Ἐρώτ. κζ'. Τί διαφέρει ἡ οὐσία τοῦ ἀγγέλου τῆς οὐσίας τῆς ψυχῆς τοῦ ἀνθρώπου;

Ἀπόκ. Τρεῖς οὐσίας ἀκαταλήπτους παρὰ ἀνθρώποις εὑρίσκομεν, ἃς οὐδεὶς οὐδαμῶς οὔτε εἶδεν, οὔτε ἰδέσθαι ἐπὶ γῆς δύναται, ὡς εἰσί, λέγω δὴ Θεοῦ καὶ ἀγγέλων καὶ ψυχῶν· ὅμως στοχαζόμεθα, ὅτιπερ ὅσον διαφέρει τῆς σελήνης ὁ ἥλιος, τοσοῦτον ὑπερέχει καὶ λαμπροφορεῖ ἡ τῶν ἀγγέλων οὐσία τῆς οὐσίας τῶν ψυχῶν ἀνθρώπων.

Ἐρώτ. κη'. Καὶ πῶς οἱ προφῆται φαίνονται πολλάκις ἰδόντες τὸν Κύριον;

Ἀπόκ. Μετὰ πάντας τοὺς προφήτας καὶ μετ' αὐτὴν τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ εἶπεν ὁ ἅγιος ἀπόστολος καὶ εὐαγγελιστὴς καὶ θεολόγος Ἰωάννης, ὅτι «Θεὸν οὐδεὶς ἑώρακε πώποτε.[2]» Καὶ ἵνα

1. Ψαλμ. 102, 15-16. 2. Ἰω. 1, 18.

πιστώσηται ὡς φοβερὸν καὶ ξένον τὸ ῥῆμα, ἐπήγαγεν ὅτι «Ὁ Μονογενὴς ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο.[1]» Ὅθεν καὶ ὁ ἅγιος ἀπόστολος Παῦλός φησιν· «Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὔτε ἰδεῖν δύναται.[2]» Ὥστε οὐδεὶς ἀνθρώπων δύναται Θεοῦ οὐσίαν γυμνὴν ἰδεῖν οὐδαμοῦ· ἀλλά, πρὸς τὴν τῶν ἀνθρώπων ἀσθένειαν συγκαταβατικῶς ὁ Θεὸς σχηματιζόμενος, τοῖς προφήταις ἐφαίνετο. Ἀμέλει καὶ ἄσαρκος τότε ὑπάρχων, ὡς ἄνθρωπος αὐτοῖς πολλάκις ἐφαίνετο σεσαρκωμένος. Ὅθεν πρόδηλον ὅτι, οὐ τὴν οὐσίαν τοῦ Θεοῦ ἔβλεπον, ἀλλὰ τὴν δόξαν. Ὅπερ καὶ ἐπὶ τῶν ἀγγέλων καὶ τῶν γυμνῶν ψυχῶν χρὴ ἐννοεῖν. Μόνη δὲ ἡ ἁγία Θεοτόκος, γυμνὴν οὐσίαν, ὡς ἔστι, τοῦ ἀρχαγγέλου Γαβριὴλ ἐθεάσατο.

Ἐρώτ. κθ'. Τί οὖν; Οὐδὲ οἱ ἄγγελοι κατ' οὐσίαν φαίνονται ἐπὶ τῆς γῆς τοῖς ἀνθρώποις;

Ἀπόκ. Οὐδαμῶς· οὔτε γὰρ δύναται φθαρτὸς ὁ ὀφθαλμὸς θεωρῆσαι οὐσίαν ἄφθαρτον. Ἐντεῦθεν δὲ ἔστι σαφῶς ἐπιγνῶναι, ὅτι οὐ κατ' οὐσίαν φαίνονται ἡμῖν οἱ ἄγγελοι· ἐπειδὴ οὐχ ἑνὶ σχήματι ἐπὶ τῆς γῆς ἐμφανίζονται, ἀλλ' οἱ μὲν ἐν σχήματι νεανίσκων μετασχηματιζόμενοι· οἱ δὲ ἐν εἴδει στρατιωτῶν. Καὶ ἁπλῶς πολλαὶ αὐτῶν αἱ μορφαί, μία δὲ ἡ οὐσία.

Ἐρώτ. λ' Τί δέ ἐστιν ὅρος οὐσίας ἀγγέλων;

Ἀπόκ. Ἄγγελός ἐστι ζῷον λογικόν, ἄυλον ὑμνολογικόν, ἀθάνατον.

Ἐρώτ. λα'. Τί δὲ τὸ ἔργον τῶν ἐπουρανίων δυνάμεων ἐν οὐρανοῖς ὑπάρχει;

Ἀπόκ. Ὕμνος ἄληκτος καὶ αἶνος ἄπαυστος τῆς μεγαλοπρεπείας τοῦ Θεοῦ· τάχα δὲ καὶ εὐχὴ ἔμμονος ὑπὲρ τῆς σωτηρίας ἡμῶν. Ἐπειδὴ δὲ καὶ αὗται αἱ τάξεις καὶ στρατιαὶ λέγονται, δεῖ λοιπὸν ἐννοεῖς τάξιν διδασκαλικήν, τάξιν ἐπιτρεπτικήν, τάξιν προνοητικήν, τάξιν διακονικήν, τάξιν τιμωρητικήν, τάξιν ψυχοχωριστικήν, τάξιν ἐν ἄλλοις παραμονητικήν. Ὥσπερ δὲ τάξεων διαφορὰς ἐν ταῖς ἄνω δυνάμεσιν ἔγνωμεν, οὕτω καὶ στάσεως καὶ γνώσεως. Οἱ μὲν οὖν θρόνοι καὶ τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ ἀμέσως παρὰ τοῦ Θεοῦ μανθάνουσιν, ὡς πάντων ἀνώτερα καὶ Θεῷ πλησιάζοντα· ταῦτα δὲ διδάσκει τὰ κατώτερα τάγματα, καὶ οὕτως ἐφεξῆς τὰ ἀνώτερα διδάσκει τὰ κατώτερα· τὸ δὲ κατώτερον πάντων τάγμα εἰσὶν οἱ ἅγιοι ἄγγελοι, οἱ καὶ τῶν ἀνθρώπων ὄντες διδάσκαλοι.

Ἐρώτ. λβ'. Ἆρα δὲ μέμνηται ἡμῶν αἱ ἀπελθοῦσαι ψυχαί, ὥσπερ καὶ οἱ ἄγγελοι μνημονεύουσιν;

Ἀπόκ. Αἱ μὲν τῶν ἁγίων ψυχαὶ πάντως, αἱ δὲ τῶν ἁμαρτωλῶν ἐν τῷ ᾅδῃ οὖσαι, οὐδαμῶς. Τὴν γὰρ μένουσαν αὐτοῖς ἐκδεχόμενοι

1. Ἰω. 1, 18. 2. Α' Τιμ. 6, 16.

κόλασιν, εἰκότως περὶ ταύτης καὶ μόνον μεριμνῶσι, μηδενὸς ἑτέρου φροντίζοντες.

Ἐρώτ. λγ'. Τί δὲ νῦν ἄρα τὸ ἔργον ἐκεῖ τῶν προαπελθουσῶν ψυχῶν;

Ἀπόκ. Ψυχὴ σώματος ἀπηλλαγμένη οὔτε ἀγαθόν τι οὔτε πονηρὸν διαπράξασθαι δύναται. Αἱ γὰρ ὀπτασίαι, ἃς βλέπουσί τινες περὶ τῶν ἐκεῖσε, οἰκονομικῶς ὁ Θεὸς ταύτας δείκνυσι πρὸς ὠφέλειαν. Ὥσπερ γὰρ ἡ λύρα, ἐὰν μὴ ἔχῃ τὸν κρούοντα, ἀργὴ ὁρᾶται καὶ ἄπρακτος, οὕτω καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα, ἐξ ἀλλήλων χωρισθέντα, οὐδὲν ἐνεργῆσαι δύνανται. Αἱ γοῦν τῶν ἁγίων ψυχαί, ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐνεργούμεναι, μετὰ ἀγγέλων ἐν χώρᾳ ζώντων Θεὸν ὑμνοῦσι καὶ ἀγάλλονται.

Ἐρώτ. λδ'. Τί οὖν; οὐκ αἰσθάνονταί τινος εὐεργεσίας καὶ αἱ τῶν ἁμαρτωλῶν ψυχαί, γινομένων ὑπὲρ αὐτῶν συνάξεων καὶ εὐποιιῶν καὶ προσφορῶν;

Ἀπόκ. Εἰ μή τινες εὐεργεσίας μετεῖχον ἐκ τούτου, οὐκ ἂν ἐν τῇ προσκομιδῇ ἐμνημονεύοντο. Ἀλλ' ὥσπερ ὅταν ἡ ἄμπελος ἀνθῇ ἔξω ἐν τῷ ἀγρῷ, αἰσθάνεται δὲ τῆς ὀσμῆς αὐτῆς ὁ ἀποκεκλεισμένος οἶνος, καὶ συνανθεῖ καὶ αὐτός, οὕτω νόει καὶ τὰς τῶν ἁμαρτωλῶν ψυχὰς μετέχειν εὐεργεσίας τινὸς ἐκ τῆς ὑπὲρ αὐτῶν γενομένης ἀναιμάκτου θυσίας καὶ εὐποιίας, ὡς μόνος ἐπίσταται καὶ κελεύει ὁ ζώντων καὶ νεκρῶν ἐξουσιαστὴς καὶ Θεὸς ἡμῶν.

Ἐρώτ. λε'. Ἆρα δυνατὸν γνῶναι, τίνος χάριν οὐ συνεχώρησεν ὁ Θεὸς ψυχήν τινος τῶν ἐκεῖ ἀπελθόντων ἐπανελθεῖν πρὸς ἡμᾶς, καὶ διηγήσασθαι, πῶς εἰσι τὰ πράγματα ἐν τῷ ᾅδῃ καὶ τίς ἡ ἀνάγκη ἡ ἐκεῖ ὑπάρχουσα;

Ἀπόκ. Πολλὴ ἐντεῦθεν πλάνη ἐν τῷ βίῳ τίκτεσθαι ἔμελλε. Πολλοὶ γὰρ τῶν δαιμόνων ἐν σχήμασιν ἀνθρώπων τῶν κοιμηθέντων εἶχον μετασχηματίζεσθαι, καὶ ἔμελλον ἐκ νεκρῶν ἐγηγέρθαι αὐτοὺς λέγειν, καὶ πολλὰ ψευδῆ πράγματα καὶ δόγματα περὶ τῶν ἐκεῖ εἶχον ἡμῖν ἐγκατασπεῖραι πρὸς τὴν ἡμῶν πλάνην καὶ ἀπώλειαν.

Ἐρώτ. λς'. Πολλοὶ λέγουσιν ὅτι συνέφερε τῷ ἀνθρώπῳ προγινώσκειν τὴν ἡμέραν τῆς αὐτοῦ τελευτῆς.

Ἀπόκ. Ἐὰν πάντα πρὸς τὸ συμφέρον ὁ Θεὸς ἐν σοφίᾳ ἐποίησεν, οὐδὲ τοῦτο ἀσκόπως ἡμῖν ἀπέκρυψεν. Εἰ γὰρ προεγίνωσκεν ὁ ἄνθρωπος τὴν ἡμέραν τῆς ἑαυτοῦ τελευτῆς, ὅλον τὸν βίον αὐτοῦ ἔμελλεν ἀδεῶς ἐξαμαρτάνειν, καὶ πρὸ δύο πολλάκις ἢ τριῶν ἡμερῶν τῆς ἑαυτοῦ τελευτῆς ἐπιδοῦναι αὐτὸν εἰς μετάνοιαν, ἀκούσας τοῦ Θεοῦ διὰ τοῦ προφήτου εἰπόντος, ὅτι «Ἐν ᾧ εὕρω σε, ἐν ἐκείνῳ καὶ κρινῶ σε.» Καὶ ποία λοιπόν, εἰπέ μοι, χάρις, ἵνα ἑκατὸν φόνους ποιήσῃς καταφρονῶν τοῦ Θεοῦ, καὶ δύο ἡμέρας μόνον τῶν κακῶν ἡσυχάσῃς;

Ἐρώτ. λζ'. Τίνος χάριν οἱ Χριστιανοὶ προσκυνοῦμεν κατὰ ἀνατολάς, καὶ τί δήποτε οἱ Ἰουδαῖοι κατὰ νόσον;

Ἀπόκ. Οὐ μία ὁμοία ἡ περὶ τούτου ἀπόδειξις καὶ ἀπόκρισις. Ἑτέρως γὰρ Ἰουδαίοις ἀπολογητέον, καὶ ἑτέρως Ἕλλησιν ἑρμηνευτέον· καὶ ἄλλως πάλιν περὶ τούτου Χριστιανοῖς σαφηνιστέον. Ἰουδαίοις μὲν οὖν εἴπομεν, ὅτι τούτου χάριν οἱ πιστοὶ προσκυνοῦμεν κατὰ ἀνατολάς, τοῦ ἁγίου Πνεύματος νομοθετήσαντος ἡμῖν διὰ τοῦ προφήτου Δαυὶδ εἰπόντος· «Προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες Κυρίου.[1]» Καὶ ἐὰν λέγῃ ὁ Ἰουδαῖος, ποῦ ἔστησαν οἱ πόδες τοῦ Κυρίου; ὁ προφήτης Ζαχαρίας διδάσκει αὐτοὺς λέγων· «Καὶ στήσονται οἱ πόδες Κυρίου εἰς τὸ ὄρος τῶν Ἐλαιῶν κατ' ἀνατολὰς κατέναντι Ἱερουσαλήμ.[2]» Ὅθεν καὶ αὐτοὶ οἱ Ἰουδαῖοι ἐν Ἱερουσαλὴμ προσευχόμενοι κατὰ ἀνατολάς, προσεύχονται εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. Καὶ αὕτη μὲν ἡ διὰ βραχέων πρὸς Ἰουδαίους ἀπολογία· πρὸς δὲ Ἕλληνας ἐκεῖνό φαμεν, ὅτι οὐχ ὡς ἐν ἀνατολαῖς περιγραφομένου τοῦ Θεοῦ κατὰ ἀνατολὰς προσκυνοῦμεν· ἀλλ' ἐπειδὴ ὁ Θεὸς φῶς ἀληθινόν ἐστί τε καὶ ὀνομάζεται· τούτου χάριν πρὸς τὸ φῶς τὸ κτιστὸν ἀφορῶντες, οὐκ αὐτό, ἀλλὰ τὸν ποιητὴν αὐτοῦ προσκυνοῦμεν, ἐκ τοῦ λαμπροτέρου στοιχείου, τὸν πρὸ πάντων στοιχείων καὶ τῶν αἰώνων ὑπέρλαμπρον Θεὸν γεραίροντες. Οἱ δὲ πιστοὶ ἀκουέτωσαν καὶ μανθανέτωσαν, ὅτιπερ τούτου χάριν οἱ μακαριώτατοι ἀπόστολοι κατὰ ἀνατολὰς τὰς τῶν Χριστιανῶν ἐκκλησίας προσέχειν ἐποίησαν, ἵνα πρὸς τὸν παράδεισον ἀφορῶμεν· ὅθεν καὶ ἐξεπέσαμεν πρὸς τὴν ἀρχαίαν ἡμῶν πατρίδα καὶ χώραν, αἰτούμενοι τὸν Θεὸν καὶ Δεσπότην ἀποκαταστῆσαι ἡμᾶς, ὅθεν ἐξωρίσθημεν. Εἰς νότον δὲ προσέχειν Ἰουδαίοις οἱ προφῆται ἐνομοθέτησαν διὰ τὸν ἐκ νότου τῆς Ἱερουσαλήμ, ἤγουν ἐκ Βηθλεέμ, μέλλοντα τίκτεσθαι Κύριον· διὸ καὶ ἔλεγε προφήτης· «Ὁ Θεὸς ἀπὸ Θαιμᾶν ἥξει[3]», τουτέστιν, «ἐκ νότου.»

Ἐρώτ. λη'. Τίνος χάριν τοῦ Χριστοῦ περιτμηθέντος, οὐ περιτεμνόμεθα καὶ ἡμεῖς, ὡς αὐτός;

Ἀπόκ. Ὁ μὲν Χριστός, Θεοῦ Υἱὸς ὤν, πληρῶσαι ἦλθε τὸν νόμον, ἵνα μὴ νομισθῇ ἀντίθετος εἶναι καὶ ἀντίδικος τοῦ Θεοῦ τοῦ δεδωκότος τὸν νόμον. Τοῦτο γὰρ ἄνω καὶ κάτω ἐνεκάλουν αὐτῷ οἱ Ἰουδαῖοι. Αὐτοῦ δὲ ὑπὲρ πληρώσαντος τὰ ἐν νόμῳ, οὐκέτι λοιπὸν ἡμεῖς ἐσμεν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν. Διό φησι πρὸς ἡμᾶς διὰ Παύλου ὁ Χριστός· «Ὅτι, ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.[4]» Ὥστε ἐντεῦθεν σαφῶς γινώσκομεν, ὅτι ἀλλότριοι τοῦ Χριστοῦ εἰσι πάντες οἱ περιτεμνόμενοι, εἴτε πιστοί, εἴτε ἄπιστοι, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, ὡς ἐν νόμῳ Μωσαϊκῷ καυχώμενοι, καὶ οὐ τῷ Χριστῷ ἑπόμενοι. Ὥσπερ γὰρ ἅπαντες οἱ τὴν δι' αἵματος καὶ ἀλόγων θυσίαν Θεῷ προσαγαγεῖν νομίζοντες, τὴν ἀναίμακτον θυσίαν Χριστοῦ ἀνατρέπουσι καὶ βδελύσσονται· οὕτω πάντες οἱ τὴν σάρκα περιτεμνό-

1. Ψαλμ. 131, 7. 2. Ζαχ. 14, 4. 3. Ἀββ. 3, 3. 4. Γαλ. 5, 2.

μενοι τὴν πνευματικὴν περιτομήν, ἤγουν τὸ ἅγιον βάπτισμα λοιδοροῦσι καὶ ἀποστρέφονται· καὶ πάλιν ἄλλο ὅμοιον. Οὐκ ἐν τῷ νόμῳ ὁ Χριστὸς τὸν διάβολον κατήργησε καὶ τοὺς δαίμονας, οὐδὲ ἐν αὐτῷ τὴν σωτηρίαν εἰργάσατο· ἀλλ' ἐν τῷ σταυρῷ. Ὅθεν νόμον μὲν ὁρῶντες οἱ δαίμονες οὐ τρέμουσιν οὐδὲ φοβοῦνται· σταυρὸν δὲ πολλάκις ὁρῶντες τρέμουσι καὶ φεύγουσι καὶ καταργοῦνται καὶ διώκονται.

Ἐρώτ. λθ'. Τοῦ Θεοῦ διὰ τῶν προφητῶν ἐπιτρέποντος μὴ προσκυνεῖν χειροποίητα, διὰ τί προσκυνοῦμεν εἰκόνας καὶ σταυρόν, ἔργα τεκτόνων ὑπάρχοντα, καθὼς καὶ τὰ εἴδωλα τυγχάνουσιν;

Ἀπόκ. Οὐχ ὡς θεοὺς προσκυνοῦμεν τὰς εἰκόνας οἱ πιστοί· μὴ γένοιτο! ὡς οἱ Ἕλληνες· ἀλλὰ μόνον τὴν σχέσιν καὶ τὴν ἀγάπην τῆς ψυχῆς ἡμῶν τῆς πρὸς τὸν χαρακτῆρα τῆς εἰκόνος ἐμφανίζομεν· ὅθεν πολλάκις τοῦ χαρακτῆρος λειανθέντος, ὡς ξύλον ἀργὸν λοιπὸν τήν ποτε εἰκόνα καίομεν. Καὶ ὥσπερ Ἰακὼβ μέλλων τελευτᾶν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου, τῷ Ἰωσὴφ προσεκύνησεν, οὐ τὴν ῥάβδον τιμῶν, ἀλλὰ τὸν ταύτην κατέχοντα· οὕτω καὶ οἱ πιστοὶ οὐ δι' ἕτερόν τινα τρόπον τὰς εἰκόνας ἀσπαζόμεθα, εἰ μὴ διὰ πόθον ὧν ἐμφανίζομεν· τοῦτο ποιοῦντες, ὡς καὶ πατέρας καὶ φίλους ἀσπαζόμεθα· καθὼς καὶ οἱ Ἰουδαῖοί ποτε τὰς τοῦ νόμου πλάκας, καὶ τὰ δύο χερουβὶμ τὰ χρυσᾶ καὶ τὰ γλυπτὰ προσεκύνουν, οὐ τιμῶντες τὴν τοῦ λίθου καὶ χρυσίου φύσιν, ἀλλὰ τὸν ταῦτα ἐπιτρέψαντα γενέσθαι Κύριον. Οἱ δὲ ἐξ ἀλαζονείας ἀποστρεφόμενοι προσκυνεῖν τὸν σταυρὸν καὶ τὰς εἰκόνας, λεγέτωσαν οἱ ἀνόητοι πῶς μῦρα πολλάκις ἔβλυσαν αἱ ἅγιαι εἰκόνες, δυνάμει Κυρίου; πῶς βέλος δεξαμένη ἄψυχος στήλη, ὡς ἐνσώματος φύσις αἷμα παραδόξως ἐξήγαγεν; πῶς ἐκ σωρῶν καὶ λειψάνων καὶ εἰκόνων πολλάκις δαίμονες βοῶντες ἀπελαύνονται; ἵνα δὲ τοὺς ἄφρονας ἐντρέψωμεν ἐπὶ πλεῖον, ἄκουσον λόγον ἐκ πατέρων ἡμῶν διηγηθέντα περὶ εἰκόνος. Ὅτι ἐν Ἱεροσολύμοις τινὶ τῶν ἀσκητῶν ἐπετίθετο καὶ διηνώχλει ὁ πονηρὸς δαίμων. Ἐν μιᾷ οὖν φαίνεται αὐτῷ αὐταῖς ὄψεσι τὸ πνεῦμα, λέγον, ὅτι, ἐὰν θέλῃς ἵνα μή σε πολεμῶ, μὴ προσκυνήσῃς τὴν εἰκόνα ταύτην, καὶ ἀφίσταμαι ἀπὸ σοῦ. Ἦν δὲ ἡ εἰκὼν τῆς ἁγίας Θεοτόκου. Εἶτα τί φασι πρὸς ταῦτα οἱ ἐπιτρέποντες μὴ προσκυνεῖν τοὺς χαρακτῆρας τῶν ἁγίων, οὕσπερ δι' ὑπόμνησιν καὶ μόνον ἐκτυποῦμεν, καὶ οὐ δι' ἕτερον τρόπον; καὶ οὕτω μὲν περὶ εἰκόνων διὰ βραχέων λόγος. Τὸν δὲ σταυρὸν πρόδηλον, ὅτι διὰ τὸν σταυρωθέντα ἐν αὐτῷ Χριστὸν προσκυνοῦμεν οἱ πιστοὶ καὶ ἀσπαζόμεθα.

Ἐρώτ. μ'. Οὐκοῦν, ἐπειδὴ καὶ εἰς ὄνον ὁ Χριστὸς ἐπεκάθισεν, ὀφείλομεν λοιπὸν καὶ τοὺς ὄνους ἀσπάζεσθαι; Τοῦτο γὰρ πρὸς ἡμᾶς λέγουσιν οἱ Ἰουδαίων καὶ Ἑλλήνων παῖδες.

Ἀπόκ. Οὐκ ἐν τῷ ὄνῳ τὸν διάβολον ὁ Χριστὸς κατήργησε καὶ τοὺς δαίμονας, οὐδὲ ἐν αὐτῷ τὴν σωτηρίαν εἰργάσατο, ἀλλ' ἐν τῷ σταυρῷ. Ὅθεν ὄνους μὲν ὁρῶντες οἱ δαίμονες οὐ τρέμουσιν, οὐδὲ

φοβοῦνται· σταυρὸν δὲ πολλάκις ὁρῶντες τρέμουσι καὶ φρίττουσι, καὶ καταργοῦνται καὶ διώκονται.

Ἐρώτ. μα΄. Τίνος δὲ χάριν οἱ πιστοὶ ἅπαντες σταυροὺς μὲν ἀντιτύπους τοῦ σταυροῦ τοῦ Χριστοῦ ποιοῦμεν, τῆς δὲ ἁγίας αὐτοῦ λόγχης, ἢ τοῦ καλάμου, ἢ τοῦ σπόγγου ἀντίτυπα οὐ κατασκευάζομεν; Ἅγια γάρ εἰσι καὶ ταῦτα καθὰ καὶ ὁ σταυρός.

Ἀπόκ. Τὸν μὲν τοῦ σταυροῦ τύπον ἐκ δύο ξύλων συνάπτοντες προσκυνοῦμεν. Ἡνίκα δέ τις ἡμῖν τῶν ἀπίστων ἐγκαλέσειεν, ὡς ξύλον προσκυνοῦντας, δυνάμεθα τὰ δύο ξύλα χωρίσαντες, καὶ τὸν τύπον τοῦ σταυροῦ διαλύσαντες, ὡς ἀργὰ ταῦτα ἡγεῖσθαι ξύλα, καὶ τὸν ἄπιστον πεῖσαι, ὅτι οὐ ξύλον σεβόμεθα, ἀλλὰ τὸν τοῦ σταυροῦ τύπον. Ἐπὶ δὲ λόγχης ἢ καλάμου ἢ σπόγγου, τοῦτο ποιῆσαι ἢ δεῖξαι οὐ δυνάμεθα.

Ἐρώτ. μβ΄. Πόθεν δῆλον, ὅτι κρεῖττον πάσης τῆς ὑπ᾽ οὐρανὸν πίστεως οἱ Χριστιανοὶ πιστεύομεν; Πᾶσα γὰρ πίστις εὐσεβεστέραν ἑαυτὴν εἶναι νομίζει τῶν λοιπῶν πίστεων.

Ἀπόκ. Πολὺς ὁ περὶ τούτου λόγος, καὶ μακρὰ ἡ Χριστιανῶν πίστεως ἀπόδοσις. Ὅμως δὲ δύο τινὰ ὁρῶντες σημεῖα παρ᾽ ἡμῖν, τὴν ἡμῶν εὐσέβειαν καὶ τὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπην καὶ σκέπην ἐμφανίζοντα· πρῶτον μέν, ὅτι οὐχ εὑρίσκομεν ἀπ᾽ ἀρχῆς αἰῶνος ἔθνος ὑπὸ πάντων ἐθνῶν πολεμηθὲν ἐπὶ χρόνους τοσούτους καὶ μὴ ἐξαλειφθέν, εἰ μὴ μόνον τὴν τοῦ Χριστοῦ πίστιν, ἥτις οὐκ ἂν ἔμεινεν ἀνεξάλειπτος, οὕτως ὑπὸ πάντων τῶν ἐθνῶν πολεμηθεῖσα, εἰ μὴ χεὶρ Κυρίου διεφύλαττε καὶ φυλάττει αὐτὴν ἀνεξάλειπτον· δεύτερον δέ, ὅτιπερ οὐδεὶς βασιλεὺς Χριστιανῶν βαρβάροις ποτὲ παρεδόθη εἰς θάνατον, καίτοι τοσούτων ἐθνῶν τὸ βασίλειον πολεμησάντων. Οὐ μόνον δὲ τὸν βασιλέα, ἀλλὰ οὐδὲ τὴν ἑαυτοῦ εἰκόνα ἐκ τοῦ νομίσματος καταργῆσαι σὺν τῷ σταυρῷ ἴσχυσαν, καίπερ τινῶν τυράννων τοῦτο δοκιμασάντων. Μὴ γὰρ ψιλόν τε καὶ εὐτελές σοι πρᾶγμα τοῦτο εἶναι νομισθῇ. Εἰ μὴ γὰρ ὑπὲρ πάσας τὰς πίστεις τὴν ἡμετέραν ὁ Θεὸς ἐξελέξατο καὶ ἠγάπησεν, οὐκ ἂν αὐτὴν ἀνὰ μέσον τῶν ἐθνῶν ὡς λύκων ὄντων ἐφύλαττεν ἀβλαβῆ τε καὶ ἄτρωτον. Πλὴν οὐδὲ ἔμελλε συγχωρεῖν ὁ Θεὸς πεπλανημένην πίστιν κατακυριεύειν μετὰ τὴν σάρκωσιν τοῦ Υἱοῦ αὐτοῦ καὶ Θεοῦ ἡμῶν, τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐπὶ πάντα τὰ πέρατα τῆς γῆς. Ὅθεν καὶ αὐτὸ τοῦτο, τὸ ἐν πᾶσι τοῖς ἔθνεσι πιστευθῆναι τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, μαρτυρία ἐστὶν ἀψευδής, ὅτι οὐκ ἔστιν ἄλλη πίστις εὐσεβὴς ἐν τῇ ὑπ᾽ οὐρανόν.

Ἐρώτ. μγ.΄ Καὶ εἰ ταῦτα οὕτως ἔχει, πῶς ὁ Σατανᾶς οὐ διεῖλεν ἄλλην πίστιν ἐπὶ γῆς εἰς τοσαύτας αἱρέσεις, εἰ μὴ τὴν τῶν Χριστιανῶν;

Ἀπόκ. Ὡς ἀντικειμένην αὐτῷ δηλονότι καὶ καταργοῦσαν αὐτόν. Ποία γάρ, εἰπέ μοι, φροντὶς ἢ μέριμνα τῷ Σατανᾷ, Ἰουδαίους, ἢ Σαμαρείτας, ἢ Ἕλληνας πολεμῆσαι, ἢ μερίσαι εἰς αἱρέσεις καὶ πίστεις διαφόρους; Πᾶσαι γὰρ αὗται αὐτοῦ εἰσι, καὶ οὐδαμῶς ὁ Σατανᾶς

τὸ ἑαυτοῦ πολεμεῖ, ἀλλὰ τὰ τοῦ Θεοῦ. Ὥστε τῷ βουλομένῳ καὶ ἐντεῦθέν ἐστι μαθεῖν, ὅτι οὐκ ἔστιν ἑτέρα πίστις εὐσεβὴς ἐπὶ τῆς γῆς ἄλλη, εἰ μὴ μόνη ἡ εἰς Χριστόν.

Ἐρώτ. μδ'. Ποίῳ δὲ τρόπῳ πείσομεν τὸν ἰδιώτην καὶ βάρβαρον, ὅτι ὑπὲρ πάσας τὰς αἱρέσεις ἡ καθολικὴ Ἐκκλησία τὴν ὀρθὴν πίστιν ἔχει καὶ οὐ σφάλλεται;

Ἀπόκ. Οἱ μὴ δυνάμενοι Γραφῶν τε καὶ δογμάτων ἀκρίβειαν καὶ βάθος ἀκοῦσαι ἐντεῦθεν τὸ μόνον καὶ εὐσεβὲς τῆς καθολικῆς Χριστοῦ Ἐκκλησίας ὀφείλουσιν· λέγω δὴ ἐκ τοῦ πάντα τοὺς σωτηρίους καὶ τιμίους τῶν Χριστοῦ παθημάτων τόπους τῇ καθολικῇ καὶ ὀρθοδόξῳ ἡμῶν πίστει καὶ Ἐκκλησίᾳ ὑπὸ Θεοῦ δωρηθῆναι καὶ πιστευθῆναι· λέγω δὴ τὴν Ναζαρέθ, ἔνθα ὁ Χριστὸς «ἐν ἡμῖν ἐσκήνωσε·[1]» τὴν Βηθλεέμ, ἔνθα κατὰ σάρκα ἐτέχθη· τὴν Σιών, ἔνθα τὴν σωτηριαν τῷ κόσμῳ εἰργάσατο· τὸν Ἰορδάνην, ἔνθα τὸν Ἀδὰμ ἀνεκαίνισε· τὸ Θαβώρ, ἔνθα τὴν τῶν οὐρανῶν βασιλείαν προετύπωσε· τὸ τῶν Ἐλαιῶν ὄρος, ὅθεν πρὸς τὸν Πατέρα ἐν οὐρανοῖς ἀφ' ἡμῶν ἀνελήλυθεν. Οὕσπερ ἅπαντας τοὺς αὐτοῦ ἁγίους καὶ σεβασμίους τόπους οὐκ εἰκῇ οὐδὲ μάτην τῇ καθολικῇ Ἐκκλησίᾳ ἐνεπίστευσεν· ἀλλ' ὡς εὐσεβεστέρᾳ δηλονότι καὶ τιμιωτέρᾳ πάντων ἐπὶ τῶν ἁγίων παρὰ Χριστιανοῖς ὀνομαζομένων πίστεων καὶ ἐκκλησιῶν. Καὶ ὥσπερ βασιλεὺς τοὺς τιμίους αὐτοῦ τοῦ παλατίου κοιτῶνας καὶ θησαυροὺς τοῖς πιστοτέροις πάντων τῶν ὑπουργῶν αὐτοῦ ἐγχειρίζει τε καὶ πιστεύει, οὕτω καὶ ὁ Χριστὸς ἀπ' ἀρχῆς τῆς παρουσίας αὐτοῦ τῇ καθολικῇ Ἐκκλησίᾳ τοὺς σεβασμίους αὐτοῦ τόπους ἐπίστευσεν. Εἰ δὲ λέγει ὁ δι' ἐναντίας, ὅτι βασιλικῇ τυραννίδι τούτους κατέχομεν, μανθανέτω ὁ τοιοῦτος, ὅτιπερ, καὶ βαρβάρων πολλάκις τὴν Παλαιστίνην παραλαβόντων, οὐ συνεχώρησε Χριστὸς τοὺς ἑαυτοῦ τόπους αἱρετικοῖς παραδοθῆναι. Ἀλλά, κἂν πρὸς βραχὺ τοῦτο ἐπεχείρησαν, συντόμως πάλιν ἡ καθολικὴ Ἐκκλησία τούτους ἀπεδίωξεν, ὡς χοίρους τῶν ἁγίων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν αὐλῶν καὶ τόπων.

Ἐρώτ. με'. Ποῦ ἐπέτρεψεν ὁ Θεὸς τοῖς ἀποστόλοις Χριστιανοὺς ὀνομάζειν τοὺς πιστεύοντας τῷ Χριστῷ;

Ἀπόκ. Ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων ἀκούομεν, ὅτι ἐν Ἀντιοχείᾳ γέγονε πρῶτος χρηματισμός, ἤγουν ἀποκάλυψις Θεοῦ, τοῖς ἀποστόλοις ἐπιτρέπουσα καλεῖσθαι ἡμᾶς Χριστιανούς.[2] Διὸ ἀκριβῶς γινωσκέτω ὁ τῷ Χριστῷ προσελθεῖν βουλόμενος, ὅτι πᾶσα πίστις ἐπὶ γῆς εἰς ὄνομα ἀνθρώπου ὀνομαζομένη· λέγω δὴ ἀπὸ Σίμωνος Σιμωνιανοί, καὶ ἀπὸ Μαρκίωνος Μαρκιωνιταί, καὶ ἀπὸ Ἀρείου Ἀρειανοί, καὶ δι' **Εὐνόμιον** Εὐνομιανοί· αὗται πᾶσαι καὶ αἱ λοιπαί, αἵ εἰσιν ἀνθρώπων ὀνόματα, καὶ δι' αὐτοὺς οὕτως ὀνομαζόμεναι πίστεις, οὐκ εἰσὶ τοῦ Θεοῦ, οὐδὲ ὁ Θεὸς ἐν αὐταῖς. Εἰ γὰρ τοῦ Θεοῦ εἰσι, τίνος

1. Ἰω. 1, 14. 2. Πρβλ. Πράξ. 11, 26.

χάριν ἀνθρώπων ὀνόμασιν ὀνομάζονταί τε καὶ σεμνύνονται; Καύχημα τοίνυν ἡμῖν ἐστι καυχημάτων ἡ καθολικὴ Ἐκκλησία, καὶ τὸ κηρύττεσθαι καὶ ὀνομάζεσθαι Χριστιανοί, ὡς μὴ παρὰ ἀνθρώπου ὀνομασθέντες, ἀλλ' ὑπὸ τοῦ Θεοῦ φωτισθέντες.

Ἐρώτ. μς'. Τίς πρὸ πάντων ὠνόμασε Θεὸν τὸν Θεὸν ἐπὶ γῆς;

Ἀπόκ. Πρόδηλον, ὅτι ὁ διάβολος, ὅτε πρὸς τὴν Εὔαν ἔλεγε· «Τί ὅτι εἶπεν ὑμῖν ὁ Θεός, ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φαγεῖν [1]», καὶ μὴ θαυμάσῃς τοῦτο· ἄγγελος γὰρ ὤν ποτε ὁ διάβολος, εἶχε γνῶσιν ὑπὲρ τὸν ἄνθρωπον τότε.

Ἐρώτ. μζ.' Ποῦ θέλομεν λέγειν, ὅτι ἔστιν ὁ παράδεισος; Οἱ μὲν γάρ φασιν, ὅτι ἐν Ἱερουσαλήμ, οἱ δὲ ἐν οὐρανοῖς.

Ἀπόκ. Οὐδὲ εἷς τῶν δύο ἀληθής. Καὶ ὅτι μὲν οὐκ ἐν Ἱερουσαλήμ ἐστιν ὁ παράδεισος μαρτυρεῖ ὁ Ἀδὰμ ὁ ἐν τῷ Κρανίῳ κείμενος. Εὔδηλον δέ, ὅτι οὐκ ἐν τῷ παραδείσῳ ἐτάφη, ἀλλ' ἐξεβλήθη. Ὅτι δὲ οὐκ (ἐν) οὐρανοῖς ἐστιν ὁ παράδεισος μαρτυρεῖ ἡ Γραφὴ λέγουσα· «Καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς.[2]» Διδάσκει οὖν ἡμᾶς, ὅτι ἐξ ἀνατολῶν πάσης τῆς γῆς ἐστιν ὁ παράδεισος. Ὅθεν φασὶν ἱστορικοί τινες ἀκριβεῖς παῖδες, ὅτι τούτου χάριν πάντα τὰ εὐώδη τῶν ἀρωμάτων περὶ τὰ ἀνατολικώτερα, ἤγουν τὰ Ἰνδικὰ μέρη, ὑπάρχουσιν ὡς πλησιόχωρα τυγχάνοντα τοῦ παραδείσου. Καὶ ὥσπερ φοίνικες ἄρσενες τοὺς πλησιάζοντας φοίνικας θηλυκοὺς τῇ πνοῇ τῶν ἀνέμων συμβιβάζοντες, καρποφόρους ποιοῦσιν, οὕτω δὴ καὶ ἐκ τοῦ παραδείσου τῇ τῶν ἀνέμων πνοῇ εὐωδία ἐξερχομένη τὰ πλησιώτερα τῶν ἐκεῖσε τόπων δένδρα ἀρωματίζειν ποιεῖ.

Ἐρώτ. μη'. Φθαρτὸν μέν φαμεν τὸν παράδεισον, ἢ ἄφθαρτον;

Ἀπόκ. Οὔτε φθαρτὸν αὐτὸν λέγομεν κατὰ τὴν τῶν παρ' ἡμῶν φυτῶν τε καὶ καρπῶν σῆψιν καὶ σκωλήκων ποιότητα· οὔτε μὴν πάντῃ πάλιν ἄφθαρτον κατὰ τὴν τοῦ μέλλοντος αἰῶνος ἀφθαρσίαν, καὶ οὐ γινομένην παλαίωσιν. Ἀλλὰ πρὸς μὲν τοὺς παρ' ἡμῖν καρπούς τε καὶ παραδείσους πάσης φθορᾶς ἐστιν ὑψηλότερος· πρὸς δὲ τὴν δόξαν τῶν μελλόντων ἀγαθῶν, ὧν ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, πάνυ ἐλάχιστός ἐστι καὶ πιστεύεται.

Ἐρώτ. μθ'. Πόσον χρόνον ἐν παραδείσῳ ἐποίησεν ὁ Ἀδάμ;

Ἀπόκ. Ἀμφιβαλλόμενον τοῖς πατράσιν ἠρώτησας πρόβλημα. Οἱ μὲν γάρ φησιν ἑξαμηνιαῖον χρόνον, οἱ δὲ πλείονα· ἄλλοι δὲ τοσαύτας ὥρας καὶ μόνον, ὅσας ὁ Κύριος ἐν τῷ ξύλῳ τοῦ σταυροῦ πεποίηκεν, ὅπερ οἶμαι ἀληθέστερον εἶναι· ἕτεροι δὲ ἐννέα καὶ μόνον ὥρας ποιῆσαι.

Ἐρώτ. ν'. Τί δὲ ἦν ἄρα τὸ ξύλον, ἐξ οὗ τὸν καρπὸν ἔφαγεν ὁ Ἀδάμ;

Ἀπόκ. Οὐδὲ ἐν τούτῳ συμφώνως εἰρήκασιν οἱ Πατέρες· καὶ δικαίως. Ὅπερ γὰρ ἡ θεία Γραφὴ ἑκουσίως ἀπέκρυψεν, οὐδεὶς κατὰ

1. Γεν. 3, 1. 2. Γεν. 2, 8.

ἀκρίβειαν εἰπεῖν ἴσχυσεν. Ὅθεν οἱ μὲν σῦκον εἶναί φασι τὸν καρπόν, ἄλλοι δὲ τὴν τῆς Εὔας θεωρίαν. Δοκεῖ δέ τισι μηδαμῶς βεβρωκέναι τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ. Ἴσως δὲ ὁ πρῶτος ἀληθέστερος ὑπάρχει, ὁ τοῦ σύκου, διὰ τὸ τοῖς φύλλοις αὐτοῦ εἰς σκέπην χρήσασθαι τοὺς προπάτορας, καὶ διὰ τὸ τὴν συκῆν ὕστερον ὑπὸ Χριστοῦ καταραθεῖσαν. (Ὁ δὲ ἐν ἁγίοις Ἰσίδωρος ὁ Πηλουσιώτης ἐν τῇ πεντηκοστῇ αὐτοῦ πρώτῃ ἐπιστολῇ φησιν, ὅτι σῦκον ἦν, ἐξ οὗ οἱ προπάτορες ἔφαγον καρπόν· καὶ ὅτι ἀπὸ ἀρχαίων γερόντων ἐγνώσθη αὐτῷ τοῦτο.)

Ἐρώτ. να'. Καὶ εἰ μὴ παρέβη ὁ Ἀδάμ, πῶς ἔμελλεν γενέσθαι ὁ βίος τῶν ἀνθρώπων καὶ τὸ πλῆθος;

Ἀπόκ. Ἠδύνατο ὁ λόγῳ συστησάμενος τὸ πλῆθος τῶν ἀγγέλων, τιμίῳ τινὶ καὶ καθαρῷ τρόπῳ συστήσασθαι πλῆθος γένους ἀνθρώπων. Τινὲς δέ φασιν, ὅτι, τοῦ Θεοῦ ἄρσεν καὶ θῆλυ ποιήσαντος, εὔδηλον, ὅτι διὰ σπερμογονίας ἐβουλήθη ὁ Θεὸς τὸ γένος τῶν ἀνθρώπων συστήσασθαι. Ὅμως δὲ οὐκ ἠβούλετο διὰ παρακοῆς, ἀλλὰ μετὰ τιμῆς γενέσθαι τοῦτο.

Ἐρώτ. νβ'. Διὰ τί δὲ τῇ ἑβδόμῃ ὁ Θεὸς τὴν κτίσιν ἐτέλεσεν;

Ἀπόκ. Ἐν τῷ ἀριθμῷ τὴν δεκάδα εὑρίσκομεν πλήρωμα παντὸς ἀριθμοῦ. Ἐὰν γὰρ εἰς τὴν δεκάδα καταλάβῃς, πάλιν εὐθέως εἰς τὴν μονάδα ὑποστρέφεις. Ἑπτὰ οὖν καὶ τρεῖς ἐστιν ὁ πληρέστατος ἀριθμός. Καὶ τούτου χάριν αἱ ἑπτά εἰσι τῆς κτίσεως· ἡ δὲ ἁγία Τριὰς ἄκτιστος.

Ἐρώτ. νγ'. Πολλή τις παρὰ τῶν πολλῶν καθέστηκε ζήτησις, τίνα δεῖ προτάττεσθαι, λέγω δὴ τὴν ἡμέραν πρὸ τῆς νυκτός, ἢ τὴν νύκτα πρὸ τῆς ἡμέρας; Ἐὰν γὰρ εἴπωμεν τὴν ἡμέραν προτερεύειν, εὑρίσκεται λοιπὸν ὁ Χριστὸς ἐν σαββάτῳ ἀναστάς. Ἡ γὰρ νὺξ ἐκείνη τοῦ σαββάτου ἦν, κατὰ τὸν λόγον Μωσέως τοῦ συγγραφέως τῆς κοσμοποιΐας.

Ἀπόκ. Κατὰ μὲν τὸν σκοπὸν καὶ λόγον τὸν λέγοντα, ὅτι εἶπεν ὁ Θεὸς πρὸ πάντων, «Γενηθήτω φῶς», πρόδηλον, ὅτι ἡ ἡμέρα προτερεύει τῆς νυκτός. Τὸ γὰρ σκότος ἐκεῖνο τὸ ἐπάνω τῆς ἀβύσσου οὔπω ἦν ὀνομασθὲν νύξ, οὔτε ὑπὸ σελήνης καὶ ἀστέρων, καὶ δώδεκα ὡρῶν μετρούμενον. Ἀναμφιβόλως οὖν τὸ φῶς προτερεύει τοῦ σκότους. Ὅμως ἵνα μὴ εὕρωσι πρὸς ἡμᾶς λέγειν Ἰουδαίων παῖδες, ὅτι ἐν σαββάτῳ ἀνέστη ὁ Χριστός, τούτου χάριν προαπεφίμωσεν αὐτοὺς ὁ Θεός, νομοθετήσας καὶ αὐτοῖς ἀφ' ἑσπέρας ἄρχεσθαι τῆς ἡμέρας τοῦ σαββάτου.

Ἐρώτ. νδ'. Τί οὖν τούτου χάριν καὶ ἡμῖν ὁ Θεὸς προσέταξεν ἀφ' ἑσπέρας τοῦ σαββάτου ἀπάρχεσθαι τῆς Κυριακῆς.

Ἀπόκ. Οὐ τούτου χάριν· ἀλλ' ἐπειδὴ ὁ Θεὸς τὰ ἔθνη ἐκ τοῦ σκότους τῆς ἀγνωσίας, καὶ τῆς σκιᾶς τοῦ νόμου εἰς τὸ φῶς τῆς θεογνωσίας καὶ τοῦ Εὐαγγελίου ἐκάλεσε. Πρεπόντως ἄρα ἡμῖν τὴν ἀναστάσιμον αὐτοῦ ἡμέραν ἀφ' ἑσπέρας ἄρχεσθαι καὶ εἰς φῶς τελειοῦσθαι προσέτα-

ξεν. Ἀπρεπὲς γὰρ ἦν καὶ ἀνάρμοστον ἀπὸ φωτὸς ἄρχεσθαι, καὶ εἰς νύκτα, καὶ εἰς σκότος καταλήγειν τὰς Χριστοῦ τοῦ ἀληθινοῦ φωτὸς ἡμέρας.

Ἐρώτ. νε'. Τίνος χάριν τῇ εἰκάδι πέμπτῃ τοῦ λεγομένου παρὰ Ῥωμαίων Μαρτίου μηνὸς ὁ Χριστὸς ἐν τῇ μήτρᾳ τῆς Παρθένου ἐπὶ γῆς ἐσκήνωσεν;

Ἀπόκ. Ἐπειδὴ ἐν αὐτῇ τῇ ἡμέρᾳ ἀπ' ἀρχῆς ὁ Θεὸς τὸν Ἀδὰμ ἔπλασεν. Ὅθεν καὶ τῷ μηνὶ ἐκείνῳ πάντα τὰ δένδρα, καὶ αἱ βοτάναι, καὶ τὰ ζῷα εἰς καρποφορίαν καὶ τεκνογονίαν κινοῦνται, ὡς τῷ καιρῷ ἐκείνῳ ὑπὸ τοῦ Θεοῦ γενόμενα.

Ἐρώτ. νς'. Ὁποῖοι ἦσαν οἱ δερμάτινοι χιτῶνες, οὓς ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ πεποίηκεν;

Ἀπόκ. Οἱ μέν φασιν ἐκ φύλλων δένδρων· οἱ δὲ πάλιν τὴν σάρκα ἡμῶν τούτους τοὺς χιτῶνας εἶναι εἰρήκασιν· ἔδοξε δὲ ἑτέροις, τοῖς καὶ ἀληθεστέροις, ἐν ἀληθείᾳ χιτῶνας δερματίνους εἶναι τοὺς τῶν προπατόρων χιτῶνας.

Ἐρώτ. νζ'. Τινὸς οὔπω τότε ἀποθανόντος, πόθεν ἔμαθεν ὁ Κάϊν φονεῦσαι τὸν Ἄβελ;

Ἀπόκ. Ὁ διάβολος αὐτῷ κατ' ὄναρ ὑπέδειξε, ποίῳ τρόπῳ θανατῶσαι τὸν ἀδελφόν.

Ἐρώτ. νη'. Τίνες ἦσαν οἱ υἱοὶ τοῦ Θεοῦ, οἱ ἰδόντες καὶ λαβόντες τὰς θυγατέρας τῶν ἀνθρώπων;

Ἀπόκ. Οἱ υἱοὶ τοῦ Σήθ. Ἐπεὶ ἡ ἀσώματος φύσις οὔτε σωμάτων ἐρᾷ, οὔτε γυναιξὶ συμπλέκεται.

Ἐρώτ. νθ'. Διὰ τί ἐν βάτῳ ὤφθη Θεὸς τῷ Μωϋσῇ, καὶ οὐκ ἐν ἑτέρῳ φυτῷ;

Ἀπόκ. Οἱ μέν φασιν, ἵνα μὴ δυνηθῶσιν Ἑβραίων παῖδες εἴδωλον ποιῆσαι ἐκ τοῦ ξύλου αὐτῆς· ἄλλοις δὲ δοκεῖ, ὅτι προδιαγράφων ὁ Θεός, ὅτι μέλλει ἐν τῇ ἐξακανθησάσῃ ἡμῶν σαρκοῦσθαι φύσει, τούτου χάριν ἐν τῷ τοιούτῳ φυτῷ ὤφθη τῷ Μωϋσῇ.

Ἐρώτ. ξ'. Διὰ τί ἐν γνόφῳ ὁ Θεὸς τὸν νόμον δέδωκεν;

Ἀπόκ. Ἐπειδὴ σκοτεινῶς καὶ συγκεκαλυμμένως ἐν αὐτῷ ἐκέκρυπτο τῆς οἰκονομίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τὸ μυστήριον.

Ἐρώτ. ξα'. Τίνος χάριν αἱ δύο πλάκες αἱ πρῶται συνετρίβησαν;

Ἀπόκ. Σημαίνοντος τοῦ Θεοῦ τὴν τοῦ προτέρου νόμου παλαίωσιν καὶ διάβασιν.

Ἐρώτ. ξβ'. Ἀσωμάτου καὶ ἀσχηματίστου ὄντος τοῦ Θεοῦ, ποῖα ὀπίσθια εἶδε Μωσῆς;

Ἀπόκ. Προαιώνιον καὶ ἐμπρόσθιον πάντων τῶν κτισμάτων πιστεύομεν εἶναι τὸν τῶν ὅλων Θεὸν ἄκτιστον. Ὅθεν πρόδηλον, ὅτι τὰ ὀπίσω Θεοῦ τὰ κτίσματά εἰσι, καὶ οἱ λόγοι αὐτῶν, οὓς ἰδὼν ἐξέθετο τό· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.[1]»

1. Γεν. 1, 1.

Ἐρώτ. ξγ'. Τίς πρῶτος προετύπωσεν ἐν τῇ Παλαιᾷ τοὺς δύο λαούς, λέγω δὴ τὸν ἐξ Ἰουδαίων καὶ ἐξ ἐθνῶν.

Ἀπόκ. Εὔδηλον, ὅτι ἡ Ῥεβέκκα ἡ γυνὴ τοῦ Ἰσαάκ, διδύμους γεννήσασα τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ. Πλὴν αἱ δύο πλάκες τοῦ νόμου τῶν δύο λαῶν ὑπῆρχον σύμβολον.

Ἐρώτ. ξδ'. Τίς ἐν τῇ Παλαιᾷ προετύπωσε πρῶτος τὸν τύπον τοῦ ζωοποιοῦ σταυροῦ;

Ἀπόκ. Ὁ Ἰακώβ, εὐλογῶν τοὺς δύο υἱοὺς τοῦ Ἰωσήφ, ἐναλλάξας τὰς ἑαυτοῦ χεῖρας.

Ἐρώτ. ξε'. Τίνα λέγουσιν ἐν τῇ Παλαιᾷ ἐν νεκροῖς τρίτον λογισθῆναι;

Ἀπόκ. Πρόδηλον, ὅτι τὸν Ἰωνᾶν. Ὡς γὰρ ἀρχαῖος φέρεται λόγος, οὗτος ἦν ὁ υἱὸς τῆς χήρας, ὃν ἤγειρεν Ἠλίας ὁ προφήτης ἐκ νεκρῶν· πάλιν τε ἐν τῷ κήτει παρὰ ἀνθρώποις ἀπέθανε· καὶ τρίτον τὴν τελευταίαν αὐτοῦ κοίμησιν.

Ἐρώτ. ξς'. Ποῦ ἐστιν ἡ Θαρσὶς ὅπου Ἰωνᾶς ἔφυγεν;

Ἀπόκ. Ἡ Θαρσὶς πόλις ἐστὶ χώρας τῆς Ἰνδικῆς, ὡς ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν μανθάνομεν.

Ἐρώτ. ξζ'. Ἆρα μέχρι καὶ νῦν ἐπάγονται ἁμαρτίαι πατέρων ἐπὶ τέκνα περὶ τρίτην καὶ τετάρτην γενεάν;

Ἀπόκ. Διὰ μὲν Μωσέως τοῦτο εἶπεν ὁ Θεός· διὰ δὲ Ἱερεμίου τοῦ προφήτου πάλιν εἴρηκεν, ὅτι οὐκ ἔσται τοῦ λοιποῦ οὕτως· ἀλλ' ὅστις φάγῃ τοὺς ὄμφακας, αὐτοῦ οἱ ὀδόντες ὡμοδιάσουσιν.[1] Ἀκούομεν δὲ πάλιν τοῦ Χριστοῦ πρὸς Ἰουδαίους λέγοντος, ὅτι, Ἀμὴν λέγω ὑμῖν, ἐπελεύσονται αἱ ἀνομίαι τῶν πατέρων ὑμῶν ἐφ' ὑμᾶς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου τοῦ υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου.[2] Ὅθεν στοχάζεσθαι χρή, ὅτι ἐπὶ μὲν τῶν ἀπίστων ἐπάγονται ἁμαρτίαι πατέρων ἀσεβῶν ἐπὶ υἱοὺς πονηρούς οὐ γὰρ ἀγαθούς· ἐπὶ δὲ τῶν πιστῶν τὸ ἅγιον βάπτισμα καθαρίζει ἡμᾶς ἀπὸ πάσης προπατορικῆς ἁμαρτίας.

Ἐρώτ. ξη'. Τινές φασι πολλάκις τελευτᾶν νήπια διὰ γονέων ἁμαρτίας· ἆρα οὕτως ἐστίν;

Ἀπόκ. Μὴ γένοιτο εἶναι τοῦτο οὕτως!

Ἐρώτ. ξθ'. Τίνος χάριν νήπια τελευτῶσιν· ἕτεροι δὲ ὑπεργηρῶσι; καὶ πόθεν μὲν δικαιοπραγοῦντες γίνονται ὀλιγόβιοι· τινὲς δὲ κακοπραγοῦντες πολυχρόνιοι τελευτῶσιν· ἄλλοι δὲ ἀγαθοὶ γίνονται ἄτεκνοι καὶ πένητες· ἕτεροι δὲ ἀσεβεῖς εὐτεκνοῦσί τε καὶ εὐπραγοῦσιν;

Ἀπόκ. Πολὺς ὁ περὶ τούτων τῶν τοῦ Θεοῦ κριμάτων λόγος καὶ ἀκατάληπτος. Ὅμως ὡς ἐκ τῶν ἁγίων Γραφῶν καταλαμβανόμεθα, λέγομεν, ὅτιπερ τὰ τῶν πιστῶν νήπια οὐκ ἐξ ἁμαρτιῶν, ἀλλὰ πολλάκις

---

1. Πρβλ. Ἱερ. 38, 30. 2. Ματθ. 23, 35.

πρὸς σωφρονισμὸν τῶν γονέων τελευτῶσι· δύο ἀγαθὰ τοῦ Θεοῦ ἐν τούτῳ πραγματευομένου, ἓν μέν, ὅπως, καθαρὰ ἀπελθόντα, σωτηρίας ἐκεῖ ἐντύχωσιν· ἴσως γὰρ ὅτι πάνυ πονηρὸν βίον ζῆσαι μέλλοντα, οἰκονομικῶς ὁ Θεὸς προήρπασεν αὐτά· δεύτερον δέ, ὅπως καὶ οἱ τούτων γονεῖς σωφρονέστεροι γίνωνται· ἴσως δὲ ἵνα τὰ τοῖς τέκνοις μέλλοντα κατὰ διαθήκας δοθῆναι χρήματα εἰς πτωχοὺς λοιπὸν δαπανηθῶσι. Πάντως δὲ καὶ κατὰ ἄλλο κρῖμα ἡμῖν ὑπάρχον ἄδηλον. Καὶ οὕτω μὲν περὶ πιστῶν νηπίων λόγος. Εὐπραγοῦσι δὲ καὶ εὐθυνοῦσι καὶ εὐτεκνοῦσιν ἄνδρες πονηροί, ἴσως τινὰ μικρὰ ἀγαθὰ ἔργα ποιήσαντες, καὶ ἐνταῦθα τὸν μισθὸν αὐτῶν ἀπολαμβάνοντες, ὡς ὁ πλούσιος ἐκεῖνος ὁ ἀκούσας· «Μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου·[1]» τουτέστιν, ἐπληρώθης τὸν μισθὸν τῶν ἀγαθῶν ἔργων, ὧν ἔπραξας. Δυσπραγοῦσι δὲ εὐλαβεῖς καὶ ὅσιοι ἐνταῦθα, ὅπως, διὰ τῆς θλίψεως καθαρισθέντες, ὡς ὁ Λάζαρος τῶν ἰδίων ἁμαρτιῶν, ἐκεῖ λοιπὸν τελείως σὺν αὐτῷ παρακληθῶσιν. Εἰ γὰρ «ὃν ἀγαπᾷ Κύριος παιδεύει[2]», τί λοιπὸν θορυβεῖς, ὁρῶν ἁγίους ἐν δυσπραγίᾳ, ἀσεβεῖς δὲ ἐν εὐπραγίᾳ ὑπάρχοντας, καὶ ὡς χοίρους εἰς σφαγὴν τῷ αἰωνίῳ πυρὶ σιτιζομένους καὶ ἑτοιμαζομένους; λοιπὸν οὖν μὴ θορυβοῦ· οὐ γὰρ μέχρι τῶν ἐνταῦθα ἵσταται τὰ ἡμέτερα, ἀλλὰ δεῖ πάντως τοὺς σῳζομένους διὰ πολλῶν θλίψεων εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Σκοπὸς γὰρ οὗτός ἐστι τῷ Θεῷ, τὸ πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Διόπερ καὶ τοῖς μὲν ἁμαρτωλοῖς πολλάκις μακροχρονίαν χαρίζεται, ἀφορμὴν αὐτοῖς διδοὺς πρὸς μετάνοιαν, ὅπως κἂν ὡς οἱ περὶ τὴν ἑνδεκάτην ἐν βάθει γήρως ἐπιστρέψωσι· τοὺς δὲ δικαίους πολλάκις ὀλιγοχρονίους ἁρπάζει· ἵνα μή, ὥς φησιν ὁ Σολομών, ἡ κακία ἀλλάξῃ σύνεσιν αὐτῶν, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτῶν τελειωθέντες ἐν ὀλίγῳ ἐπλήρωσαν χρόνους μακρούς.[3] Ἀρεστὴ γὰρ ἡ ψυχὴ αὐτῶν.

Ἐρώτ. κʹ. Τί οὖν; Οὐδεὶς τῶν ἐν τῷδε τῷ βίῳ ταλαιπωρησάντων εἰσέρχεται ἐκεῖ εἰς τὴν γέενναν, οὔτε μὴν πάλιν τις τῶν εὐημερησάντων ὧδε εἰσέρχεται ἐκεῖ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν;

Ἀπόκ. Ναί. Οἱ μὲν γὰρ τῶν ἀνθρώπων ἥμαρτον μεγάλα καὶ ἐπαιδεύθησαν ὧδε μικρά, καὶ ὑπόκεινται πάντως ἐκεῖ τιμωρηθῆναι, ὡς ἐπὶ τῶν ἐν Σοδόμοις εὑρίσκομεν· οἱ δὲ πάλιν προσήγαγον τῷ Θεῷ καμάτους πολλούς, μετέσχον δὲ ἐνταῦθα εὐημερίας μικρᾶς, καὶ ἀπόκειται αὐτοῖς λοιπὸν ἡ βασιλεία τῶν οὐρανῶν, ὡς οἱ περὶ Ἀβραὰμ καὶ Νῶε, καὶ Μελχισεδέκ· ἄλλοι ἥμαρτον πολλά, καὶ ἔπαθον οὐδὲν ἐνθάδε πονηρόν, ὡς ὁ πλούσιος ὁ κατὰ τὸν Λάζαρον[4], καὶ ὑπόκεινται ἐκεῖ τῇ πάντων χαλεπωτέρᾳ κολάσει· ἕτεροι δὲ ἐξῆλθον διὰ Θεὸν ἐν ὅλῳ τῷ χρόνῳ «ἐν μηλωταῖς καὶ αἰγείοις δέρμασι[5]», πάσης

1. Λουκ. 16, 25. 2. Παρμ. 3, 12. 3. Πρβλ. Σοφ. Σολ. 4, 13.
4. Πρβλ. Λουκ. 16, 20 ἑξ. 5. Ἑβρ. 11, 37.

ἀπολαύσεως ἐπιγείου ἀποταξάμενοι, οἳ καὶ μειζόνων παρὰ Θεοῦ δωρεῶν ὑπὲρ πάντας ἀξιοῦνται· ἄλλοι δὲ ἥμαρτον τῷ Θεῷ μερικῶς καὶ ἐπαιδεύθησαν ἀξίως ὑπὲρ ὧν ἥμαρτον, καὶ ἐλυτρώθησαν ἐκεῖ τῆς αἰωνίου κολάσεως, ὡς ὁ πτωχὸς Λάζαρος. Ὥστε διὰ τῶν εἰρημένων ἐμάθομεν, ὅτι οἱ μὲν τῶν ἀνθρώπων κἀκεῖ καὶ ὧδε κολάζονται· οἱ δὲ ὧδε καὶ μόνον, ἄλλοι δὲ ὧδε μὲν οὐδαμῶς, ἐκεῖ δὲ ὀδυνηρῶς. Ὥσπερ καὶ τὸ ἐναντίον· ὅτι οἱ μὲν καὶ ἐνταῦθα καὶ ἐκεῖ ἀπολαύουσιν· οἱ δὲ ἐνταῦθα μὲν οὐδαμῶς, ἀλλ' ἐκεῖ. Ἴσως δέ τινες καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἀποπίπτουσιν· ὧδε μὲν δι' ἀνθρωπαρέσκειαν κακοπαθήσαντες, καὶ διὰ τοῦτο τῶν ἐκεῖ ἀγαθῶν ἐκπεσόντες. Δεῖ τοίνυν πάντας τοὺς εὐσεβεῖς συμπαθεῖς ἐπίστασθαι ἀκριβῶς, ὅτιπερ οὐ μόνον ὑπὲρ ὧν ἔπραξαν ὑπόκεινται συμπάθειαν εἰς τοὺς δεομένους ἐπιδείξασθαι, ἀλλὰ καὶ ὑπὲρ πάντων ὧν αὐτοῖς ὁ Θεὸς ἐδωρήσατο ἀγαθῶν. Οὐ γὰρ δεῖ μετρεῖν τὰ διδόμενα, ἀλλὰ τὰ ὑπὸ τοῦ Θεοῦ ἡμῖν χαριζόμενα· μήπως καὶ ὑπὲρ αὐτῶν τῶν τοῦ Θεοῦ δωρεῶν κρίματι φοβερῷ ὑποπέσωμεν. Πολλάκις γὰρ καὶ ἀναξίοις καὶ ἁμαρτωλοῖς ὁ Θεὸς πλοῦτον χαρίζεται, ἵνα δι' αὐτοῦ ἐν ἐλεημοσύναις τὰς ἑαυτῶν ἁμαρτίας ἀποπλύνωσι καὶ ἐξαλείψωσιν. Ἐλεημοσύναις γάρ, φησὶν ἡ θεία Γραφή, ἀποκαθαίρονται ἁμαρτίαι.[1]

Ἐρώτ. οα'. Τί θέλομεν λέγειν περὶ τῶν ἐξαίφνης τελευτώντων, ἢ κρημνιζομένων, ἢ ὑπὸ ἄλλων τοιούτων θανάτων τέλει τοῦ βίου χρωμένων;

Ἀπόκ. Ὅτι μὲν ἄδηλα τὰ τοιαῦτα καὶ Θεῷ μόνῳ γνωστά, οὐ δεῖ ἀμφιβάλλειν. Ὅμως τοῦ Κυρίου λέγοντος· «Τί γὰρ οἱ δέκα καὶ ὀκτώ, ἐφ' οὓς ὁ πύργος τοῦ Σιλωὰμ ἔπεσεν, ἁμαρτωλότεροι ἦσαν παρὰ πάντας τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ; Οὐχί, λέγω ὑμῖν·[2]» μανθάνομεν, ὅτι οὐ πάντες ὅσοι ἀσεβεῖς ἢ ἄδικοι τυγχάνουσι, πικρῷ θανάτῳ τελευτῶντες ἀποθνήσκουσι. Καὶ γὰρ οἱ παῖδες τοῦ Ἰώβ, δίκαιοι ὄντες, ἐλεεινὸν ὑπέμειναν θάνατον. Οὐκοῦν δύο ταῦτα ἡμᾶς ἐπὶ τούτων χρὴ στοχάζεσθαι· ὅτι οἱ μὲν εὐλαβεῖς, πικρὸν ἀποθνήσκοντες θάνατον, μικρόν τι ἐλάττωμα ἐκέκτηντο, καὶ τούτῳ ἐλυτρώθησαν ἐκ τῆς τοιαύτης πονηρᾶς τελευτῆς, ἵνα μειζόνων ἀληθῶς τιμῶν ἀξιωθῶσι. Λοιπὸν δὲ ὅπως, καὶ ἡμεῖς ὁρῶντες σωφρονισθῶμεν κατὰ τὸν εἰρημένον λόγον· «Εἰ ὁ δίκαιος μόλις σῴζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;[3]» Ὡσαύτως δὲ καὶ οἱ ἁμαρτωλοί, τοιούτοις θανάτοις ἀποθνήσκοντες, πάντως ἐν τούτῳ μερικοῦ ἐλέους τυγχάνουσιν. Ἅμα δὲ πάλιν καὶ οἱ ὁρῶντες ὠφέλειάν τινα κομίζονται, βλέποντες ἄφνω ἁρπαζόμενον, ὡς οὐκ οἶδε, τὸν ἄνθρωπον. Εἰ δὲ καὶ νήπια οὕτω θανατοῦται, μὴ θαμβηθῇς. Αὐτὰ μὲν γὰρ ἐκ τούτου οὐδὲν ἐβλάβησαν· οὔτε δι' οἰκείαν ἁμαρτίαν τοῦτο πεπόνθασιν· ἀλλ' ὅπως καὶ οἱ αὐτῶν γονεῖς σωφρονέστεροι, ἢ καὶ εὐσεβέστεροι γίνωνται,

1. Πρβλ. Σοφ. Σειρ. 3, 14. 2. Λουκ. 13, 4. 3. Α' Πέτρ. 4, 18.

ἐννοούμενοι, ὅτιπερ διὰ τὰς αὐτῶν ἀνομίας οὕτω τὰ αὐτῶν τέθνηκε νήπια. Ὅμως ἐπὶ πᾶσι τούτοις δεῖ ἐννοεῖν τὴν τοῦ Κυρίου φωνὴν τὴν λέγουσαν· ὅτι «Δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τῆς γῆς ἄνευ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· καὶ ὅτι ἡμῶν τῶν πιστῶν καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι ὑπάρχουσιν.[1]»

Ἐρώτ. οβ΄. Πολλοῖς τῶν ἐπὶ γῆς φοβερὸς ὁ τοῦ Κυρίου λόγος καθέστηκεν, ὅν φησι· «Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις·» καί, «Ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὐδὲ ἐν τῷ νῦν αἰῶνι, οὐδὲ ἐν τῷ μέλλοντι.[2]»

Ἀπόκ. Διὰ τοῦτο παραινεῖ πᾶσιν ὁ θεῖος Ἀπόστολος λέγων, ὅτι «Τὸ γράμμα ἀποκτείνει, τὸ δὲ Πνεῦμα ζωοποιεῖ.[3]» Πολλὰ γὰρ τῶν θείων Γραφῶν ἐὰν κατὰ τὸ γράμμα νοήσωμεν, εἰς ἀθέσμους βλασφημίας ἐμπίπτομεν· οἷόν ἐστι καὶ τὸ προκείμενον ἡμῖν νῦν τοῦ Κυρίου λόγιον, ὅπερ, ἐὰν κατὰ ξηροῦ τὰς λέξεις ἐκλάβωμεν, οὐ μόνον εἰς ἀθεμίτους ἐννοίας περιπίπτομεν, ἀλλὰ καὶ αὐτὸν τὸν Κύριον ἐναντιούμενον ἑαυτῷ εὑρίσκομεν. Ἐὰν γὰρ «Ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ ἀφεθήσεται αὐτῷ», πῶς αὐτὸς ὁ Υἱὸς εἶπεν· «Ὁ ἀπαρνούμενός με ἔμπροσθεν ἀνθρώπων, ἀπαρνήσομαι αὐτὸν ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ;[4]» καὶ πάλιν, ἐὰν πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, πῶς καὶ ὑπὲρ ἀργοῦ λόγου ἀπολογίαν δώσομεν;[5] πῶς ὁ λέγων τῷ ἀδελφῷ αὐτοῦ, Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός;[6] πῶς ὁ ἀπόστολος Παῦλός φησι· «Μὴ πλανᾶσθε, οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε μέθυσοι, οὔτε λοίδοροι, βασιλείαν Θεοῦ κληρονομήσουσι;[7]» Καὶ εἰ ταῦτα οὕτως ἔχει, πῶς λοιπόν, εἰπέ μοι, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις; Καὶ ἐὰν πάλιν τοῦτο ἀληθές, διὰ τί λοιπὸν ἐγκαλεῖται ὁ ἄθλιος Ὠριγένης, τέλος κηρύττων τῆς κολάσεως εἶναι καὶ συγχώρησιν πάσης ἁμαρτίας γενέσθαι, καὶ τοῖς δαίμοσι καὶ τοῖς ἀνθρώποις παρὰ Θεοῦ; Πάλιν δὲ καὶ ἐὰν ἡ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημία οὐκ ἔχει συγχώρησιν διὰ μετανοίας, τί μέμφεται ἡ Ἐκκλησία Ναύατον ἀποβαλλόμενον τὴν μετάνοιαν; Τὸ δὲ σκοτεινότερον καὶ δυσκατάληπτον ἐκεῖνό ἐστιν· ὅτι ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ ἀφεθήσεται αὐτῷ· ὥστε ἐλάττων ἐστὶν ὁ Υἱὸς παρὰ τὸ Πνεῦμα τὸ ἅγιον καὶ τὸν Πατέρα. Καὶ τί λοιπὸν ἀποβαλλόμεθα τοὺς μυσαροὺς Ἀρειανούς, τοὺς σμικρύνοντας καὶ καταβιβάζοντας τὸν Υἱὸν παρὰ τὸ Πνεῦμα; Πῶς οὖν ὁ Υἱὸς λέγει· ὅτι, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·[8]» καί, «Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα;[9]» Καὶ πάλιν νῦν

1. Ματθ. 10, 29-30. 2. Ματθ. 12, 31-32. 3. Β' Κορ. 3, 6. 4. Λουκ. 12, 9. 5. Πρβλ. Ματθ. 12, 36. 6. Πρβλ. Ματθ. 5, 22. 7. Α' Κορ. 6, 10. 8. Ἰω. 10, 30. 9. Ἰω. 5, 23.

φησιν, ὅτι «῝Ος δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ ἀφεθήσεται αὐτῷ.» "Αρα οὖν, εἰπέ μοι, συνεχωρήθη ἡ εἰς τὸν Υἱὸν βλασφημία 'Αρειανοῖς, καὶ Σιμωνιανοῖς, καὶ Φωτεινιανοῖς, καὶ Σαβελλιανοῖς, καὶ τοῖς λοιποῖς πᾶσι τοῖς εἰς τὴν τοῦ Υἱοῦ σάρκωσιν βλασφημήσασιν; "Απαγε τῆς ἀτοπίας! εἰ γὰρ ὁ λέγων τὸν ἀδελφὸν αὐτοῦ, Μωρέ, ἔνοχός ἐστιν εἰς τὴν γέενναν τοῦ πυρός, εἰς ποίαν λοιπόν, εἰπέ μοι, γέενναν γεέννης βληθήσεται ὁ λέγων τῷ Θεῷ αὐτοῦ· Κτιστέ, καὶ οὐχί, Υἱὲ τοῦ Θεοῦ, ἀλλὰ δοῦλε, καὶ ὑπουργέ, καὶ μικρέ; Καὶ εἰ, ὅστις εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ, ἀφεθήσεται αὐτῷ, πῶς αὐτὸς ὁ Υἱὸς εἶπεν, ὅτι «῾Ο μὴ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, οὐκ ἔχει ζωὴν αἰώνιον;[1]» πῶς δὲ δύναταί τις ἀτιμάζων τὸν Υἱόν, τιμᾶν τὸ Πνεῦμα τὸ ἅγιον; ὁ γὰρ ἀτιμάζων τὸν Υἱὸν δῆλον ὅτι ἀπαρνεῖται τὸ βάπτισμα· ὁ δὲ τὸ βάπτισμα ἀπαρνούμενος δῆλον ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἀποδύεται. Καὶ ὥσπερ ἐπὶ τοῦ αἰσθητοῦ ἡλίου, ἐὰν τὴν θερμὴν ἢ τὴν ἀκτῖνα αὐτοῦ καθυβρίσῃς, εἰς ὅλην τὴν φύσιν τοῦ ἡλίου ἡ ὕβρις ἀνατρέχει, οὕτω καὶ ἐπὶ τοῦ τρισηλίου τῆς ἁγίας Τριάδος φωτὸς καὶ φωστῆρος ἡ τῆς μιᾶς ὑποστάσεως ἀτιμία παντὸς τοῦ πληρώματος τῆς θεότητός ἐστι βλασφημία. Τί οὖν ἐστι τὸ ὑπὸ τοῦ Κυρίου πρὸς 'Ιουδαίους λεγόμενον, ὅτι πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, καὶ ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι; Νουνεχῶς ἀκούσωμεν, καὶ μὴ πλανηθῶμεν. Διττὸν εἶναι τὸν Χριστὸν μετὰ τὴν ἄφραστον ἕνωσιν, φημὶ δὴ ἐκ θεότητος καὶ ἐξ ἀνθρωπότητος, αἱ ἱεραὶ ἡμῖν διαβοῶσι Γραφαί· «῾Ο» γὰρ «Λόγος σὰρξ ἐγένετο.[2]» Τὴν γοῦν τοῦ Λόγου θεότητα ὁ αὐτὸς Χριστὸς Πνεῦμα ἅγιον ὀνομάζει, καθὰ καὶ πρὸς τὴν Σαμαρεῖτιν ἔλεγεν, ὅτι «Πνεῦμα ὁ Θεός·[3]» τὴν δὲ ἀνθρωπότητα αὐτοῦ Υἱὸν ἀνθρώπου πάλιν· καθὼς καὶ ἀλλαχοῦ περὶ τῆς ἰδίας αὐτοῦ σαρκός φησι· «Νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου.[4]» Οἱ οὖν ἀεὶ τῷ Θεῷ προσκρούοντες καὶ βλασφημοῦντες 'Ιουδαῖοι διττὴν πρὸς τὸν Χριστὸν τὴν βλασφημίαν ἐκέκτηντο· οἱ μὲν τῇ σαρκὶ αὐτοῦ, ἤγουν τῷ Υἱῷ τοῦ ἀνθρώπου, προσκόπτοντες προφήτην αὐτόν, ἀλλ' οὐ Θεὸν εἶναι νομίζοντες, οἷς καὶ συγγνώμην ἔδωκεν. 'Αρχὴ γὰρ ἦν τοῦ κηρύγματος, καὶ οὔπω ἐχώρει ὁ κόσμος Θεὸν πιστεύειν φαινόμενον ἄνθρωπον. Διὸ καί φησιν ὁ Χριστός, ὅτι ῝Ος δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἤγουν τοῦ σώματος, ἀφεθήσεται αὐτῷ. Τολμῶ γὰρ λέγειν, ὅτι οὐδὲ αὐτοὶ οἱ μακάριοι αὐτοῦ μαθηταὶ τὸ τέλειον περὶ τῆς αὐτοῦ θεότητος εἶχον φρόνημα, ἕως τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῖς τῇ Πεντηκοστῇ ἐπεφοίτησεν. 'Επεὶ καὶ μετὰ τὴν ἀνάστασιν οἱ μὲν ἰδόντες αὐτὸν προσεκύνησαν, οἱ δὲ ἐδίστασαν, ἀλλ' οὐκ ἐκ τούτου κατεκρίθησαν· οἱ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἤγουν εἰς τὴν τοῦ Χριστοῦ θεότητα, βλασφη-

1. 'Ιω. 6, 54. 2. 'Ιω. 1, 14. 3. 'Ιω. 4, 24. 4. 'Ιω. 13, 31.

μοῦντες καὶ λέγοντες, ὅτι «Ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμόνων ἐκβάλλει τὰ δαιμόνια[1]», τούτοις, φησίν, «Οὐκ ἀφεθήσεται οὐδὲ ἐν τῷ νῦν αἰῶνι οὐδὲ ἐν τῷ μέλλοντι.» Πλὴν σημειώσασθαι χρή, ὅτι οὐκ εἶπεν ὁ Χριστὸς τῷ βλασφημήσαντι καὶ μετανοήσαντι, οὐκ ἀφεθήσεται, ἀλλὰ τῷ βλασφημοῦντι, ἤγουν τῷ ἐν τῇ βλασφημίᾳ ἐπιμένοντι. Ἐπειδήπερ οὐκ ἔστιν ἁμαρτία ἀσυγχώρητος παρὰ Θεῷ ἐν τοῖς ὁσίως καὶ κατ' ἀξίαν μετανοοῦσιν.

Ἐρώτ. ογ'. Τί οὖν; ἔχει ἄφεσιν διὰ μετανοίας ὁ τὸν Χριστὸν ἀρνούμενος, καὶ βλασφημῶν εἰς τὸ Πνεῦμα τὸ ἅγιον;

Ἀπόκ. Τρία βαπτίσματα καθαρτικὰ πάσης οἵας δήποτε ἁμαρτίας ὁ Θεὸς τῇ φύσει τῶν ἀνθρώπων ἐδωρήσατο· λέγω δὲ τὸ ὕδατος, καὶ πάλιν τὸ διὰ μαρτυρίου τοῦ ἰδίου αἵματος, καὶ τρίτον τὸ διὰ δακρύων, εἰς ὅπερ καὶ ἡ πόρνη ἐκαθαρίσθη.[2] Πλὴν δὲ καὶ αὐτὸς ὁ κορυφαῖος τῶν ἁγίων ἀποστόλων Πέτρος μετὰ τὴν ἄρνησιν, κλαύσας προσεδέχθη καὶ ἐσώθη. Ἐὰν δὲ ἡ τοῦ Χριστοῦ ἄρνησις ἔχει συγχώρησιν, ἡ δὲ τοῦ ἁγίου Πνεύματος οὐκ ἔχει, εὑρίσκεται λοιπὸν ὁ Υἱὸς ἐλάττων τοῦ ἁγίου Πνεύματος. Ἄκουσον δὲ καὶ γραφικῆς μαρτυρίας, καὶ πείσθητι μὴ εἶναι τὴν οἵαν δήποτε ἁμαρτίαν νικῶσαν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Λέγει οὖν ὁ Θεὸς διὰ τοῦ προφήτου Ἰεζεκιὴλ οὕτως· «Ζῶ ἐγώ, λέγει Κύριος, ὅτι, ἐάν τις ποιήσῃ ἄνθρωπος πάσας τὰς ἁμαρτίας, καὶ εὕρω δὲ αὐτὸν ἐν δικαιοσύνῃ, οὐ μὴ μνησθῶ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.[3]» «Εὕρω» δὲ αὐτόν, δῆλον ὅτι τῇ ὥρᾳ τοῦ θανάτου αὐτοῦ. Δεῖ γὰρ εἰδέναι, ὅτι ὁμοίως τοῦ βαπτίσματος ἡ τῶν δακρύων πηγὴ καθαρίζει τὸν ἄνθρωπον· διόπερ πολλοί, διὰ πταισμάτων μολύναντες τὸ ἅγιον βάπτισμα, διὰ δακρύων ἐκαθαρίσθησαν καὶ δίκαιοι ἀπεδείχθησαν.

Ἐρώτ. οδ'. Ποία ἁμαρτία ποιεῖ τὴν προσευχὴν τοῦ ἀνθρώπου ἀπρόσδεκτον παρὰ Θεῷ;

Ἀπόκ. Ἡ μνησικακία κατὰ τὸν λόγον τοῦ Κυρίου τὸν λέγοντα· «Ὅταν ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε· πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου·[4]» ὡς τῆς μνησικακίας δῆλον ὅτι ποιούσης ἀπρόσδεκτον τὸ δῶρον τῆς προσευχῆς.

Ἐρώτ. οε'. Ποία ἁμαρτία οὐ δύναται μετανοῆσαι τῷ Θεῷ;

Ἀπόκ. Δῆλον, ὅτι ἡ ἀπόγνωσις, ὑφ' ἧς κρατηθεὶς Ἰούδας ἀπήγξατο.

Ἐρώτ. ος'. Ποία ἁμαρτία ἐστὶ βαρυτέρα πάντων τῶν πταισμάτων;

Ἀπόκ. Ἐάν, ὥς φησιν ὁ Ἀπόστολος, μεῖζον πάντων τῶν αγα-

1. Ματθ. 12, 24. 2. Πρβλ. Λουκ. 7, 37 ἑξ. 3. Πρβλ. Ἰεζ. 33, 16.
4. Ματθ. 5, 23-24.

θῶν ἡ ἀγάπη[1], πρόδηλον, ὅτι μεῖζον πάντων τῶν κακῶν ἡ μισαδελφία, καὶ ἡ ἀσπλαγχνία, καὶ ἡ ἀνελεημοσύνη.

Ἐρώτ. οζ΄. Ποία τῶν ἐντολῶν συγχωρεῖ τῷ ἀνθρώπῳ πάσας τὰς ἁμαρτίας;

Ἀπόκ. Τοῦ Κυρίου λέγοντος· «Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε·[2]» καὶ πάλιν· «Ἄφες ἡμῖν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν·[3]» πρόδηλον, ὅτι καὶ τὸ μὴ κρίνειν τὸν πλησίον συγχωρεῖ τὰς ἁμαρτίας· ὡσαύτως καὶ τὸ μὴ μνησικακῆσαι ἀνθρώπῳ. «Ἄφετε» γάρ, φησί, «καὶ ἀφεθήσεται ὑμῖν.[4]»

Ἐρώτ. οη΄. Ἐάν τις ποιήσῃ βαρύτατον ἁμάρτημα καὶ μετανοήσῃ, πόθεν ὀφείλει μαθεῖν εἰ συνεχωρήθη αὐτῷ ἀπὸ τοῦ Θεοῦ, ἢ οὔ;

Ἀπόκ. Τοῦτο μὲν ὀλίγοις τῶν ἀνθρώπων ἐπὶ γῆς κατάδηλον γίνεται. Ὅμως ὥσπερ δεσπότης καὶ δοῦλος, οὕτως ὑπάρχει τὸ συνειδὸς τοῦ ἀνθρώπου καὶ ὁ Θεός. Ὥσπερ οὖν ὁ δοῦλος ὁ πταίσας ἐπιγινώσκει ἐκ τῶν σχημάτων, καὶ τῶν ῥημάτων τοῦ δεσπότου αὐτοῦ, ὅτι οὐκ ἔστι πρὸς αὐτὸν εὐμενής, ὡς ἦν πρὸ τοῦ πταίσματος, οὕτω καὶ ὁ ἄνθρωπος ἁμαρτάνων ἀπολλύει τὴν παρρησίαν, ἣν εἶχε τὸ συνειδὸς αὐτοῦ πρὸς τὸν Θεὸν ἐν τῇ εὐχῇ αὐτοῦ. Μετανοοῦντος οὖν τοῦ ἀνθρώπου κατ᾽ ἀξίαν, πάλιν χαρίζεται αὐτῷ ὁ Θεὸς τὴν παρρησίαν, ἣν εἶχε πρὸς αὐτὸν πρὸ τοῦ πταίσματος· καὶ ἐντεῦθεν δὲ γινώσκει ὁ ἄνθρωπος, ὅτι συνεχώρησεν αὐτῷ ὁ Θεὸς τὸ ἁμάρτημα.

Ἐρώτ. οθ΄. Ἐάν τις, ποιήσας ἁμαρτίαν μεγάλην, εἶτα καταγνῷ ἑαυτοῦ καὶ ἄρξηται μετανοεῖν, καὶ μετὰ τρεῖς ἡμέρας ἀποθάνῃ, τί χρὴ νομίζειν ἐπ᾽ αὐτοῦ;

Ἀπόκ. Ἐάν, ἀρξάμενος τῆς μετανοίας, συνέστειλε τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ τῶν πονηρῶν βουλευμάτων, καὶ διέθετο πρὸς τὸν Θεὸν συνταγάς, ὅτι οὐκ ἔτι παρέρχεται διὰ τῶν προτέρων αὐτοῦ ἁμαρτιῶν, ὧν ἔπραξε, καὶ ἐπὶ τὴν αὔριον τελευτήσῃ· ἐδέξατο ὁ Θεὸς τὴν μετάνοιαν αὐτοῦ, ὡς καὶ τοῦ λῃστοῦ. Τὸ μὲν γὰρ ἄρξασθαι τῆς μετανοίας ἐν τῷ ἀνθρώπῳ ἐστί· τὸ δὲ ζῆσαι ἢ τελευτῆσαι ἐν τῷ Θεῷ ἐστι. Πολλοὺς γὰρ ἀρξαμένους μετανοεῖν εὐθέως ἁρπάζει ὁ Θεὸς ὡς ἀγαθὸς πρός τι συμφέρον, προγινώσκων, ὅτι, ἂν πολυχρονήσωσι, πάλιν πεσεῖν καὶ ἀπολέσθαι ἔμελλον.

Ἐρώτ. π΄. Πῶς τινες ἐκ ψιλῆς καὶ μόνης προφάσεως ποταμοὺς σχεδὸν δακρύων καταφέρουσιν· ἕτεροι δέ, ἐὰν μυρίαις συμφοραῖς καὶ θλίψεσι περιπέσωσιν, ἢ καὶ ἄλλους περιπεσόντας θεάσωνται, οὐδαμῶς δακρῦσαι δύνανται;

Ἀπόκ. Εἰσί, μὲν καὶ κράσεις τοιαῦται ψυχῶν καὶ σωμάτων, ἐκ φύσεως, τὸ δάκρυον ἔχουσαι καὶ μὴ ἔχουσαι. Οἱ μὲν γάρ, θερμῆς καὶ ἁπαλῆς ἕξεως ὄντες, εὐθέως δακρύουσι συμπαθῶς, οἷόν τι καὶ

1. Πρβλ. Α΄ Κορ. 13, 13. 2. Ματθ. 7, 1. 3. Ματθ. 6, 12. 4. Πρβλ. Λουκ. 6, 37.

ἐπὶ πασῶν τῶν γυναικῶν ὁρῶμεν γενόμενον· οἱ δὲ πάλιν καὶ ἐξ ἀγρίας γνώμης καὶ ξηροτάτης φύσεως, καὶ ὑπερηφάνου καρδίας, δακρῦσαι οὐ δύνανται. Ταῦτα μέν φαμεν ἐπὶ τῶν ἐν μέσῳ τοῦ κόσμου διαγόντων. Οἱ γὰρ τὸν μονήρη βίον μετερχόμενοι πολλάκις καὶ ἐκ θείας χάριτος τὸ δῶρον τῶν δακρύων κομίζονται. Πλὴν πολλήν τις ἐν τοῖς δακρύοις διαφορὰ καθέστηκε. Τινὲς γὰρ πολλάκις καὶ ἀπὸ μέθης οἴνου δακρύουσι· τινὲς δὲ καὶ δόξαν ἀνθρώπων θηρώμενοι. Διόπερ ἐκεῖνο ἀγαθὸν καθέστηκε δάκρυον, τὸ κρυπτῶς Θεῷ προσαγόμενον, ὥσπερ καὶ ἐπὶ τῆς ἐλεημοσύνης παραγγελλόμεθα.

Ἐρώτ. πα΄. Ἐάν τίς ὑπὸ πτωχῶν αἰτούμενος ἐν ὁδῷ, καὶ ἑτέρων πολλῶν ἀνδρῶν παρόντων, τί χρὴ ποιεῖν; Ἢ οὐ δυνατὸν καὶ τὴν ἐλεημοσύνην ποιεῖν;

Ἀπόκ. Τὸν λογισμὸν τοῦ ἀνθρώπου κρίνει ὁ Θεός. Ἐὰν οὖν ἐνώπιον μυριάδων διὰ Θεόν, καὶ οὐ δι' ἀνθρωπαρέσκειαν ποιήσει τὸ ἀγαθόν, οὐ κατακέκριται.

Ἐρώτ. πβ΄. Πόθεν ποτὲ μὲν ἀγαθὴ γίνεται ἡ ψυχὴ πρὸς συμπάθειαν, ποτὲ δὲ πάλιν σκληρὰ καὶ ἄσπλαγχνος;

Ἀπόκ. Μόνην ἄτρεπτον καὶ ἀεὶ ὡσαύτως μένουσαν τὴν θείαν φύσιν γινώσκομεν. Ἐπεὶ καὶ ἐξ ἀγγέλων τινὲς ἐτράπησαν. Διὸ οὕτω χρὴ λοιπὸν ἐπὶ τῆς τρεπτῆς φύσεως τῶν ἀνθρώπων νοεῖν· ὅτι ποτὲ μὲν ἀγαθύνεται, ὡς κατ' εἰκόνα Θεοῦ ὑπάρχουσα· ποτὲ δὲ σκληρύνεται, ὡς πολεμουμένη ὑπὸ τοῦ ἐχθροῦ καὶ προσκειμένη τοῖς τοῦ βίου πάθεσι. Πλὴν ἐὰν ὁ ἄνθρωπος ἑαυτὸν πρὸς τὴν συμπάθειαν βιάζεται, τοῦ πάντως ποιῆσαι τὸ ἀγαθόν, προκόπτει λοιπὸν τῇ ἀγαθῇ συνηθείᾳ εἰς τὸ πάντοτε προθύμως διδόναι.

Ἐρώτ. πγ΄. Τοῦ Ἀποστόλου λέγοντος· «Μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός·[1]» οὐ χρὴ λοιπὸν βιάζεσθαι τὸν λογισμὸν ἑαυτοῦ τὸν ἄνθρωπον, καὶ ποιῆσαι ἐλεημοσύνην;

Ἀπόκ. Τῶν τελείων ἐστὶ τὸ πάντοτε ἱλαρῶς ποιεῖν τὸ ἀγαθόν· καὶ οἱ βιαζόμενοι δὲ ἑαυτοὺς εἰς τὴν τοῦ πτωχοῦ ἐντολὴν εὐπρόσδεκτοί εἰσι παρὰ Θεῷ τῷ εἰπόντι· «Βιασταὶ ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν.[2]»

Ἐρώτ. πδ΄. Ἐάν τις περὶ τῶν ἑαυτοῦ ἁμαρτιῶν μετανοήσῃ, πρόδηλον ὅτι ἐξαλείφει τὰς ἁμαρτίας αὐτοῦ· ἆρα λοιπὸν καὶ ἐάν τις ποιήσας εὐποιίαν μεταμεληθῇ, ἐξαλείφει τὸν μισθὸν ὃν ἐποίησε διὰ τῆς μεταμελείας;

Ἀπόκ. Μὴ γένοιτο! ὥσπερ γὰρ ἐπὶ τῆς μετανοίας τῶν ἁμαρτιῶν ὁ Θεός ἐστιν ὁ ταύτης πρόξενος, οὕτως ἐπὶ τῆς μετανοίας τῆς περὶ τὴν ἐλεημοσύνην ὁ διάβολός ἐστι ποιητὴς αὐτῆς, καὶ οὐχ ἡ ψυχὴ τοῦ ἀνθρώπου. Διὸ οὐδὲ ἀναλύεται ὁ γινόμενος μισθός. Ὅμως οὐ καλὸν

1. Β΄ Κορ. 9, 7. 2. Ματθ. 11, 12.

τὸ μεταγινώσκειν ἐπ' ἀγαθῷ γινομένῳ. Ὁ γὰρ συνεχῶς μεταμελούμενος ὀκνηρότερος εἰς τὸ ἀγαθὸν γίνεται.

Ἐρώτ. πε'. Τινές φασιν, ὅτι οὐ δεῖ ἀνεξέστατον παρέχειν ἐλεημοσύνην, ἀλλ' ἐρωτᾶν μετὰ ἀκριβείας, εἰ ἐν ἀληθείᾳ ἐνδεής ἐστιν ὁ ἡμῖν προσερχόμενος. Λέγει γάρ, φησὶν ὁ Σολομών, ὅτι, «Ἐὰν ποιῇς ἀγαθόν, βλέπε τίνι ποιεῖς.[1]»

Ἀπόκ. Οὕτω καὶ τὰς λοιπὰς Γραφὰς οἱ κακῶς νοοῦντες διαστρέφουσιν· οὐ γὰρ περὶ τοῦ ἀνθρώπου τοῦ πτωχοῦ τοῦτο εἶπεν ὁ Σολομών· ἀλλὰ «βλέπε, τίνι ποιεῖς», τουτέστιν, ὅτι τῷ Θεῷ ποιεῖς. Εἰ γὰρ πρὸ τοῦ ἀνακρίνειν τοὺς αἰτοῦντας τοῦτό φησι, πῶς ὁ Κύριος λέγει· «Παντὶ τῷ αἰτοῦντί σε δίδου; [2]»

Ἐρώτ. πς'. Ἆρα δὲ τὸ ἐν ἐκκλησίαις προσφέρειν ὑπάρχει παρὰ Θεῷ τιμιώτερον, ἢ τὸ τοῖς δεομένοις διανέμειν;

Ἀπόκ. Τὸ εἰπεῖν τὸν Κύριον τοῖς ἐκ δεξιῶν ὅτι «Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με [3]», ἔδειξε προτιμοτέραν εἶναι τὴν εἰς τοὺς κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ κτισθέντας ναοὺς συμπάθειαν. Πλὴν πολλάκις, ἐν καιρῷ διωγμοῦ μέλλοντος ναοῦ Θεοῦ ἀπόλλυσθαι, ἀναγκαία καὶ ἡ ἐν τούτῳ συμπάθεια. Καὶ πάλιν, τινῶν διὰ Χριστοῦ πίστιν βασανιζομένων, τιμιωτέρα πάντων ἡ τούτων ἀνάρρυσις.

Ἐρώτ. πζ'. Ἐάν τις πιστὸς παρὰ ἀπίστῳ χρήματα πιστευθεὶς τούτων παράψηται, ἆρα εὐσύγγνωστον παρὰ Θεῷ τοῦτο καθέστηκεν;

Ἀπόκ. Τοῦ Κυρίου λέγοντος, «Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι [4]», δῆλον ὅτι, Ἕλληνος, τοῦ τότε Καίσαρος ὄντος, μανθάνομεν, ὅτι οὐκ ἐπαινετὸν τὸ παράψασθαι. Ὅμως, ἐὰν εἰς πένητας τὰ τοιαῦτα ἀναλωθῶσι χρήματα, δύνανται αἱ τῶν πενήτων εὐχαὶ τῷ Θεῷ ἐξευμενίσασθαι τὸν εἰπόντα· «Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας.[5]» Εἰ δὲ εἰς ἡδονάς τινας βιωτικὰς δαπανηθῶσιν, εὔδηλον ὅτι δυσὶ κρίμασιν οἱ τοῦτο ποιοῦντες ὑποπίπτουσι, λέγω δὴ ἡδονῆς καὶ κλοπῆς.

Ἐρώτ. πη'. Ἰσχύει ἐλεημοσύνη πᾶσαν ἁμαρτίαν ἀνθρώπου ἐξαλεῖψαι, ἢ οὔ;

Ἀπόκ. Ἔστιν ἁμαρτία καὶ ἁμαρτία· καὶ ἔστιν ἐλεημοσύνη καὶ ἐλεημοσύνη. Οἷόν τι λέγω· ἐὰν μνησικακίαν ἔχωμεν πρὸς τὸν πλησίον, πρόδηλον ὅτι μυρίαι ἐλεημοσύναι οὐ συγχωροῦσιν ἡμῖν, ἐὰν μὴ ἀφίωμεν καὶ ἡμεῖς τῷ ἀδελφῷ ἡμῶν τὰ ὀφειλήματα αὐτοῦ, κατὰ τὸν τοῦ Κυρίου λόγον. Πάλιν τε ἄλλο ἐστί, παυσάμενόν τινα πορνείας, ποιεῖν ἐλεημοσύνην, καὶ ἕτερόν ἐστι τῷ ἱσταμένῳ ἐν τῇ ἁμαρτίᾳ οὕτω παρέχειν τοῖς πένησι. Καὶ ἄλλος πάλιν ὁ μισθὸς τοῦ γεωπόνου, ἐξ ἰδίου ἱδρῶτος ποιοῦντος συμπάθειαν, καὶ ἕτερος ὁ

---

1. Πρβλ. Σοφ. Σειρ. 12, 1. 2. Λουκ. 6, 30. 3. Ματθ. 25, 42.
4. Ματθ. 22, 21. 5. Λουκ. 16, 9.

τοῦ ἄρχοντος τοῦ ἀπὸ δώρων καὶ προσόδων παρέχοντος. Πρὸς τούτοις ἄλλος ὁ ἐκ τοῦ ὑστερήματος διδούς, καὶ ἄλλος ὁ ἐκ τοῦ περισσεύματος· καὶ ἕτερος ὁ χειροχρήστης, ὁ τὰ ἀλλότρια πιστευόμενος ἐπὶ τὸ διαδοῦναι τοῖς πένησιν. Οὐ μόνον δὲ τοῦτο, ἀλλ' ὅτι μὲν ἐν μέσῳ τοῦ κόσμου ὑπάρχων μηδὲν ἄλλο δυνάμενος Θεῷ ὑπὲρ τῶν ἑαυτοῦ πταισμάτων προσαγαγεῖν, καθαίρεται δι' ἐλεημοσύνης. Ὁ δὲ τὸν μονήρη βίον μετερχόμενος ἀπαιτεῖται μειζοτέραν τινὰ πολιτείαν ἐνδείξασθαι. Ὅμως εἰ τὸν Ναβουχοδονόσορ τὸν τοιοῦτον ἀσεβῆ ἴσχυσεν ἡ ἐλεημοσύνη δικαιῶσαι, μεγάλα ὡς ἀληθῶς καὶ δυσίατα ἁμαρτήματα δι' ἐλεημοσύνης ἐξαλείφονται. Ἀκούσωμεν γὰρ τοῦ ἁγίου Δανιὴλ πρὸς αὐτὸν λέγοντος· «Βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι· τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων.[1]» Καὶ πάλιν ἡ θεία Γραφή· «Ἐλεημοσύνη καλύψει ἁμαρτίας μεγάλας.[2]» Καὶ πάλιν· «Ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα ἐν ἡμέρᾳ πονηρῇ ῥύσεται αὐτὸν ὁ Κύριος·[3]» τουτέστι τῆς κρίσεως (πονηρὰ γὰρ ὑπάρχει τοῖς ἁμαρτωλοῖς), λέγω δὴ τῆς αἰωνίου κολάσεως.

Ἐρώτ. πθʹ. Ἐτόλμησάν τινες μακαρίσαι τοὺς τελείους ἐλεήμονας ὑπὲρ τοὺς ποιοῦντας σημεῖα.

Ἀπόκ. Οὐκ ἀφ' ἑαυτῶν τὴν τοιαύτην ψῆφον εἰρήκασιν, ἀλλὰ πάντως τοῦ Σωτῆρος εἰπόντος ἀκούσαντες, ὅτι «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε[4]», οὐχ ἵνα σημεῖα ποιεῖτε ἀλλ' «ἵνα ἀγαπᾶτε ἀλλήλους.» Εὔδηλον δὲ ὅτι τὸ γνώρισμα τῆς ἀληθοῦς ἀγάπης ἡ ἐλεημοσύνη ἐστί. Καὶ γὰρ στήσας ἐκ δεξιῶν ὁ Χριστὸς τοὺς δικαίους, οὐκ εἶπε· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν», ὅτι σημεῖα καὶ τέρατα ἐποιήσατε, οὐδὲ ἄλλο τι ἀγαθὸν ἐποιήσατε· ἀλλ' ὅτι «ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν[5]», καὶ τὰ ἑξῆς. Ὡσαύτως δὲ καὶ τοὺς ἐξ εὐωνύμων ἐκπέμπων εἰς τὸ σκότος τὸ αἰώνιον, τὴν ἀνελεημοσύνην καὶ τὴν ἀσπλαγχνίαν αὐτῶν ἐνεκάλεσε. Καὶ γὰρ τὸ ποιῆσαι σημεῖα τῆς τοῦ Θεοῦ καὶ μόνης ἐστὶ δυνάμεως· τὸ δὲ ἀγάπην καὶ συμπάθειαν εἰς τὸν πλησίον ἐνδείξασθαι, πρόδηλον ὅτι καὶ τῆς τοῦ ἀνθρώπου ἐστὶ προαιρέσεως. Ἄκουσον δὲ καὶ τρανωτέρας περὶ τῶν τὰ σημεῖα ποιούντων καὶ ἐλεημοσύνας μαρτυρίας καὶ ψήφου· «Ἐάν», φησὶν ὁ Παῦλος, «ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν κἂν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.[6]» Καὶ πάλιν Κύριός φησι· «Γίνεσθε» οὐχὶ σημειοφόροι, ἀλλ' «οἰκτείρμονες», καὶ ἀγαθοί, «ὡς ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς.[7]»

---

1. Δαν. 4, 24. 2. Σοφ. Σειρ. 3, 30. 3. Ψαλμ. 40, 2. 4. Ἰω. 13, 35. 5. Ματθ. 25, 34-35. 6. Α' Κορ. 13, 1-3. 7. Λουκ. 6, 36.

Ἐρώτ. ϟ΄. Πόσον μέρος τῶν ἑαυτοῦ χρημάτων ἀπαιτεῖται πᾶς ἄνθρωπος παρὰ Θεοῦ δοῦναι εἰς εὐποιίαν;

Ἀπόκ. Οὐ σκοπεῖ ὁ Θεὸς τὰ διδόμενα, ἀλλὰ τὰ ἀποκείμενα τῶν ἀνθρώπων. Λέγοντος οὖν τοῦ Ἀποστόλου, ὅτι «Τὸ ὑμῶν περίσσευμα δοθήτω εἰς τὸ τῶν πτωχῶν ὑστέρημα·[1]» εὔδηλον ὅτι ὅσα ἐνθάδε ἀποθήσωμεν ὑπὲρ τὴν ἡμετέραν βρῶσιν καὶ πόσιν, καὶ ἔνδυσιν, κρῖμα ὑπὲρ αὐτῶν δώσομεν, ἐν ἡμέρᾳ κρίσεως, τοιοῦτον κρῖμα, οἷον οἱ ἀνδροφόνοι παρέχουσι· διότι ἐνθάδε πολλοὺς ἐκ θανάτου διὰ τῶν ἡμετέρων χρημάτων δυνάμενοι σῶσαι, οὐκ ἐσώσαμεν, ἀλλὰ παρείδομεν.

Ἐρώτ. ϟ΄. Αἱ εἰς πτωχοὺς καταλιμπανόμεναι ὑπὸ τῶν τελευτησάντων ἐλεημοσύναι τί λέγονται;

Ἀπόκ. Νεκραὶ θυσίαι. Ὅμως ἐὰν καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐλεήμων ἦν ὁ τοιοῦτος, δεκταί εἰσι καὶ ἐν τῷ θανάτῳ αὐτοῦ εὐποιίαι παρὰ τῷ Θεῷ.

Ἐρώτ. ϟβ΄. Ἐάν τις, ἐν ἁμαρτίαις καταγηράσας, μήτε νηστεῦσαι δύναται, μήτε χαμευνῆσαι, ἢ ἀγρυπνῆσαι, ἢ ἄλλην τινὰ ἄσκησιν ποιῆσαι, μήτε χρημάτων εὐπορεῖ πρὸς διάδοσιν, μήτε τοῦ βίου ἰσχύει ἀποτάξασθαι, ποίῳ ἄρα τρόπῳ λοιπὸν ὁ τοιοῦτος σωθῆναι δυνήσεται;

Ἀπόκ. Οἵῳ τρόπῳ ἐσώθη ὁ τελώνης, κατὰ τὸν εἰπόντα προφήτην· «Ἐταπεινώθην, καὶ ἔσωσέ με ὁ Κύριος.[2]» Ὥσπερ γὰρ ἡ ἀναίμακτος θυσία, καὶ ἡ ἐλεημοσύνη εἰς ἄφεσιν ἁμαρτιῶν ἡμῶν προσφέρονται τῷ Θεῷ· οὕτω καὶ ἡ ταπεινοφροσύνη τῆς καρδίας. «Θυσία γάρ», φησί, «τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.[3]» Καὶ πάλιν· «Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.[4]» Καὶ πάλιν, ὥσπερ μακαρίζονται οἱ ἐλεήμονες καὶ οἱ καθαροὶ τῇ καρδίᾳ· οὕτω μακαρίζονται πρὸ πάντων οἱ πτωχοὶ τῷ πνεύματι, «ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.[5]» Ταύτην οὖν τὴν ὁδὸν τῆς σωτηρίας πένης, καὶ ἀσθενής, καὶ γέρων, καὶ ἰδιώτης ὁδεῦσαι καὶ κατορθῶσαι δύναται.

Ἐρώτ. ϟγ΄. Τί ἐστι ταπεινοφροσύνη;

Ἀπόκ. Ταπεινοφροσύνη ἐστὶ ψυχὴ μὴ προσέχουσα μηδὲ κρίνουσα ἄλλων ἀνθρώπων πταίσματα· ἀλλὰ μόνον τὰ ἑαυτῆς βλέπουσα καὶ ὑπεύθυνον τῆς αἰωνίου κολάσεως ἑαυτὴν ἔχουσα, καὶ τοῦτο πρὸς Θεὸν λέγουσα. Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, καὶ οὐχ ἕνεκεν τῶν κατορθωμάτων μου. Ὁ δὲ οὕτως ἑαυτὸν ὑπεύθυνον λογιζόμενος οὐδὲ μνησικακήσει ἀνθρώπῳ ποτέ, οὐδὲ κατακρινεῖ ἄνθρωπον ἁμαρτάνοντα, καὶ λοιπὸν ἐκ τριῶν τρόπων, τὴν τῶν ἁμαρτιῶν ἄφεσιν κομίζεται. Ὡς γὰρ μὴ κρίνων, οὐ κρίνεται· καὶ ὡς ταπεινοφρονῶν, δικαιοῦται· καὶ ὡς συγχωρῶν, συγχωρεῖται.

---

1. Πρβλ. Β΄ Κορ. 8, 14. 2. Ψαλμ. 114, 6. 3. Ψαλμ. 50, 19. 4. Ψαλμ. 33, 19. 5. Ματθ. 5, 3.

Ἐρώτ. ϟδʹ. Ἐάν τις πολλάκις ἁμαρτήσας, πολλάκις μετανοεῖν ἐπεχείρησε, καὶ πάλιν εἰς ἁμαρτίαν ἔπεσε· μέχρι πόσων πταισμάτων πάλιν μετανοοῦντα ὁ Θεὸς προσδέχεται τοῦτον;

Ἀπόκ. Ὁ τὸ εὔτρεπτον τῆς ἀνθρωπίνης φύσεως ἐπιστάμενος Κύριος, κἂν μυριάκις ὁ ἄνθρωπος πέσῃ, κἂν μυριάκις μετανοήσῃ, οὐδαμῶς αὐτὸν ἀποβάλλεται. Ὁ γὰρ ἐντειλάμενος τῷ Πέτρῳ ἑβδομηκοντάκις ἑπτὰ τῷ ἀδελφῷ συγχωρεῖν, πολλῷ πλεῖον αὐτὸς συγχωρήσει μυριοντάκις ἑπτὰ τῷ ἀνθρώπῳ, μετανοοῦντι μέντοιγε. Καὶ τοῦτο δεῖ ἀκριβῶς ἐπίστασθαι· ὅτι ψυχὴ εἰς συνήθειαν ἐλθοῦσα τοῦ πολλάκις ἁμαρτάνειν καὶ πολλάκις μετανοεῖν, καταφρονοῦσα τοῦ Θεοῦ πρὸς τὴν ἁμαρτίαν ὑποστρέφουσα, δυσχερῶς ὄντως ἡ τοιαύτη ψυχὴ τῆς ἁμαρτίας ἀφίσταται, ὥσπερ κύων μακελλικὸς ἐν τῷ βρόμῳ συνεθίσας. Λοιπὸν δέ, ὅτι τὸ τέλος ζωῆς ἡμῶν ὑπάρχει ἄδηλον, χρὴ ἡμᾶς ἀσφαλίζεσθαι, μή πως ἐν τῇ ἁμαρτίᾳ φθάσωμεν καὶ εὑρεθῶμεν ἀμετανόητοι, καὶ παραδοθῶμεν εἰς κόλασιν ἀτελεύτητον.

Ἐρώτ. ϟεʹ. Πόσαι μοιχεῖαί εἰσιν;

Ἀπόκ. Δύο. Καὶ γὰρ ἡ γυνὴ ἡ ὕπανδρος ὅπου κἂν πορνεύσῃ, μοιχείᾳ ἐστί. Καὶ πάλιν, ὁ ἀνὴρ ὁ ἔχων γυναῖκα ὅπου κἂν πορνεύσῃ, μοιχεία ἐστὶ τῆς ἰδίας γυναικός.

Ἐρώτ. ϟςʹ. Λέγουσί τινες ὅτι συγγνώμην ἔχει ἡ σωματικὴ ἁμαρτία ὑπὲρ πάσας τὰς ἁμαρτίας, ὡς φυσικῆς ὑπαρχούσης τῆς κινήσεως ἐν τῷ ἀνθρώπῳ.

Ἀπόκ. Τοὐναντίον ὁ Ἀπόστολος βαρυτέραν πασῶν τῶν ἁμαρτιῶν αὐτὴν ὀνομάζει, λέγων· «Πᾶσα ἁμαρτία, ἣν ἂν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει·[1]» ἐπειδὴ ἐξ αὐτῆς τῆς ἰδίας σαρκός, ὥσπερ θυσίαν τινά, παρέχει τῷ Σατανᾷ τὴν ἑαυτοῦ σποράν. Καὶ πάλιν τὸ φαγεῖν φυσικόν ἐστι, καὶ ἰδοὺ ὁ Θεὸς τὸν Ἀδὰμ παραβάντα κατεδίκασεν.

Ἐρώτ. ϟζ. Πόσα κρίματα καὶ ἁμαρτήματα πορνικά εἰσιν;

Ἀπόκ. Πολλὰ καὶ διάφορα. Μείζονι γὰρ κρίματι ὑπόκειται ὁ γυναῖκα ἔχων καὶ πορνεύων παρὰ τὸν μὴ ἔχοντα· καὶ μείζονι ὁ ἀγαθὴν γυναῖκα ἔχων ὑπὲρ τὸν πονηρὰν ἔχοντα· καὶ μείζονι ὁ ἐν γήρᾳ πορνεύων παρὰ τὸν ἐν νεότητι· καὶ μείζονι ὁ ἀδιαλείπτως ὑπὲρ τὸν διὰ χρόνου· καὶ μείζονι ὁ μὴ θερμῆς ὑπάρχων κράσεως, ἀλλὰ ψυχρᾶς, ἑαυτὸν δὲ διὰ βρωμάτων θερμαίνων, καὶ εἰς ἡδονὴν προτρεπόμενος. Καὶ ἄλλα δὲ πολλά ἐστιν εἰπεῖν καὶ διάφορα περὶ πορνείας παρὰ Θεῷ κρίματα. Ἄλλο γὰρ κρῖμα τῷ εἰς μίαν γυναῖκα ἁμαρτάνοντι ὑπὲρ τὸν εἰς πολλὰς καὶ διαφόρους κατατρέχοντα, καὶ πολλὰς ψυχὰς μετὰ τῆς ἑαυτοῦ ἀπολλύοντα· καὶ ἄλλο πάλιν κρῖμα τοῦ μετὰ παρατηρήσεως ἁμαρτάνοντος παρὰ τὸν ἀναισχύντως ἑαυτὸν τῇ ἁμαρτίᾳ ἐκδιδόντα, καὶ ἕτερον τοῦ σύμβιον ἔχοντος καὶ εἰς ὕπανδρον πταίοντος· ὅπερ καὶ διπλῆ μοι-

1. Α' Κορ. 6, 18.

χεία τῷ ἐργαζομένῳ τὴν ἁμαρτίαν λογίζεται. Φρικτὸν δὲ πάλιν τὸ κρῖμα τὸ κανονικῇ γυναικὶ κατεπέρχεσθαι· καὶ πάλιν τὸ ἀδικουμένῃ γυναικὶ βοηθεῖν καὶ μισθὸν τῆς προστασίας πρὸς ἁμαρτίαν αὐτῇ συγγενέσθαι. Οὐ μόνον δέ, ἀλλὰ καὶ τόπος πρὸς ἁμαρτίαν ἐστὶ διάφορος. Πολλοὶ γὰρ καὶ ἐν ἐκκλησίᾳ τὴν ἁμαρτίαν ἐργάζονται, καὶ διττὸν κρῖμα ἀποφέρονται. Πολλάκις γὰρ καὶ φίλων γυναῖκας μολύνουσιν ἕτεροι, Ἰουδαϊκὴν ἀγάπην ὑποκρινόμενοι. Ἅπερ ἅπαντα ἀνακρίνει καὶ σκοπεῖ ὁ δίκαιος τοῦ Θεοῦ ὀφθαλμός, κατὰ τὸ ἄρρητον αὐτοῦ κρῖμα τὸ ἀπροσωπόληπτον, καὶ τὸν ζυγὸν αὐτοῦ τὸν ἀκριβῆ καὶ ἀχλεύαστον.

Ἐρώτ. ϟη΄. Πολλῶν δικαίων δύο γυναῖκας ἐν τῇ Παλαιᾷ καὶ τρεῖς ἐχόντων, πῶς ἡμῖν οὐκ ἐπιτέτραπται δύο γυναῖκας ἔχειν, ἀλλ' οὐδὲ πολλακὰς κτήσασθαι;

Ἀπόκ. Οὐ μόνον τὸ δύο γυναῖκας ἔχειν τοὺς θεοσεβεῖς ὁ Χριστὸς διεκώλυσεν, ἀλλὰ καὶ αὐτῆς τῆς μιᾶς ἀπέχεσθαι προετρέψατο, λέγων· «Ἀμὴν λέγω ὑμῖν, ὅστις οὐ μισεῖ πατέρα καὶ μητέρα καὶ γυναῖκα, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.[1]» Εἰ δὲ βούλει τὸ μειζότερον, ἄκουσον· «Ἐρρήθη, φησί, τοῖς ἀρχαίοις, Οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.[2]» Εἰ οὖν τὴν τοῦ ὀφθαλμοῦ ἐπιθυμίαν μοιχείαν ὁ Χριστὸς τοῖς πιστοῖς λογίζεται, ποίαν λοιπὸν φιλοσοφίαν καὶ πολιτείαν οἱ πιστοὶ παρὰ τοὺς ἐν τῇ Παλαιᾷ ἀπαιτούμεθα; Εἰ γὰρ ἐξὸν τὸν ἄνθρωπον δύο γυναῖκας ἔχειν, πρόδηλον ὅτι καὶ τῇ γυναικὶ δύο ἄνδρας. Ἄκουσον γοῦν τοῦ Θεοῦ περὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς λέγοντος, ὅτι «Ἔσονται οἱ δύο εἰς σάρκα μίαν.[3]» Καὶ οὐκ εἶπεν, «Ἔσονται οἱ τρεῖς εἰς σάρκα μίαν.» Ὅμως μία γυνή, δοθεῖσα τῷ ἀνδρί, αὐτῷ τε καὶ τῷ κόσμῳ ἐπεβούλευσε· τί ἔμελλεν ὁ κόσμος παθεῖν, εἰ ἐποίησε ὁ Θεὸς δύο γυναῖκας ἀπ' ἀρχῆς λαβεῖν τὸν ἄνθρωπον; Εἰ δὲ ζητεῖς τίνος χάριν οἱ ἀρχαῖοι καὶ δύο καὶ τρεῖς γυναῖκας εἶχον, μάνθανε ἀκριβῶς, ὅτι πολλὴ ἦν τότε τοῦ διαβόλου ἡ τυραννίς, ἣν ὁ Χριστὸς ἐπιδημήσας κατήργησε, πολλοὺς τῶν δαιμόνων ἐκ μέσου ἐξορίσας, τοὺς μὲν ἐν τῇ ἀβύσσῳ, τοὺς δὲ ἐν ἐρήμοις, καὶ ἀοικήτοις καὶ ἀβάτοις τόποις.

Ἐρώτ. ϟθ΄. Πῶς πολλάκις τὰ μὲν τῶν ἐνυπνίων ἀληθεύουσιν;

Ἀπόκ. Τοῦτο πολλάκις γίνεται καὶ ἐκ Θεοῦ, πολλάκις δὲ καὶ ἐκ τοῦ συμβεβηκότος. Ἔστι δ' ὅτε καὶ ὡς νοερὰ οὖσα ἡ ψυχὴ προγινώσκει· τινὰ δὲ καὶ οἱ δαίμονες προδεικνύουσι δι' ἐνυπνίων.

Ἐρώτ. ρ΄. Τί οὖν; προγνώστης ἐστὶν ὁ διάβολος καὶ αἱ δαίμονες, καὶ δύνανται εἰπεῖν τὰ μέλλοντα γενέσθαι;

Ἀπόκ. Προγνώστης καὶ καρδιογνώστης μόνος ὁ Θεὸς ὑπάρχει· ἐπεὶ οὐδὲ αὐτοὶ οἱ ἄγγελοι τὰ ἐν καρδίᾳ, ἢ τὰ μέλλοντα ἐπίστανται. Οἱ δὲ δαίμονες, ὅσα προδεικνύειν νομίζουσιν, ἐκ πανουργίας στοχα-

1. Λουκ. 14, 26. 2. Ματθ. 5, 27-28. 3. Γεν. 2, 24.

ζόμενοι ταῦτα λέγουσιν. Οἷόν τι πολλάκις ὡς πνεύματα ὁρῶσι τοὺς ὄμβρους τοὺς Ἰνδικοὺς πολλοὺς γινομένους, καὶ προλαμβάνουσιν ἐν Αἰγύπτῳ, καὶ διὰ φαρμακειῶν ἢ ὀνειράτων, μεγάλην ἀνάβασιν τοῦ Νείλου ποταμοῦ μαντεύονται· καὶ ἄλλα δέ τινα ὅμοια τούτοις διαπράττονται. Πολλάκις δὲ καὶ ψεύδονται. Καὶ ὁ βουλόμενος τούτους ἐλέγξαι ὁρισάτω ἐν τῇ ἑαυτοῦ ψυχῇ, ὑπόθου, πόσα νομίσματα διαδοῦναι εἰς τὴν αὔριον· καὶ προσκαλεσάμενος τὸν φαρμακὸν ἢ τὸν μάντιν, ἐρωτησάτω αὐτόν, περὶ οὗ ὥρισε· καὶ πάντως εὑρήσεις αὐτὸν μηδὲν ἐπιστάμενον εἰπεῖν.

Ἐρώτ. ρα΄. Ἐπειδή τινες καὶ Ἰουδαῖοι, καὶ Ἕλληνες, πολλάκις εὐποιίας ἐργάζονται, ἆρα διὰ τοῦτο εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσέρχονται; ἢ τί χρὴ περὶ αὐτῶν λογίζεσθαι;

Ἀπόκ. Τοῦ Κυρίου λέγοντος πρὸς Νικόδημον· «Ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ δι᾽ ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·[1]» εὔδηλον ὅτι οὐδεὶς ἀβάπτιστος εἰς αὐτὴν εἰσελεύσεται. Τοῦτο δὲ χρὴ περὶ ἀπίστων ἀγαθοποιῶν λογίζεσθαι· ἢ ὅτι διὰ τῆς ἐνταῦθα αὐτῶν εὐημερίας τὸν ἴδιον μισθὸν λαμβάνουσιν· ἢ ὅτι ἐν τῷ μέλλοντι αἰῶνι ἐλαφροτέρως κολάζονται παρὰ τοὺς λοιποὺς ἀπίστους, τοὺς μηδὲ ἀγαθὸν ποιήσαντας. Εἰ δὲ καὶ γέγραπται· «Δόξα καὶ τιμὴ καὶ εἰρήνη, παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι[2]», μὴ θαυμάσῃς. Περὶ γὰρ τῶν πρὸ τῆς Χριστοῦ παρουσίας ταῦτα εἶπεν ὁ Ἀπόστολος.

Ἐρώτ. ρβ΄. Ἆρα δὲ ἔχει τέλος τῶν ἁμαρτωλῶν ἡ κόλασις, ἢ οὔ;

Ἀπόκ. Τοῦ Κυρίου λέγοντος, περὶ τῶν ἐν τῇ γεέννῃ ὅτι «Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται·[3]» καὶ πάλιν· «Οἱ δὲ ἁμαρτωλοὶ εἰς κόλασιν αἰώνιον ἀπελεύσονται·» καὶ πάλιν τοῦ Ἀποστόλου λέγοντος· «Μὴ πλανᾶσθε, οὔτε μοιχοί, οὔτε πόρνοι, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν[4]», εὔδηλον ὅτι αἰώνιος καὶ ἡ τῶν δικαίων ἀπόλαυσις, καὶ ἡ τῶν ἁμαρτωλῶν ὑπάρχει κόλασις. Καὶ πάλιν δέ φησιν ὁ Κύριος περὶ τοῦ Ἰούδα, ὅτι «καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.[5]» Εἰ δὲ τέλος ἔχει ἡ κόλασις, συμφέρει, ὅτι ἐγεννήθη καὶ ὁ Ἰούδας, ἐὰν ὀψέ ποτε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν μέλλει ἀποκατασταθῆναι μετὰ τὴν κόλασιν, ὥσπερ οἱ αἱρετικοὶ πλανώμενοι τοῦτο μεθεύονται.

Ἐρώτ. ργ΄. Πόθεν γίνονται θανατικά; Καὶ διὰ τί ἔν τισι χώραις ἐρημικαῖς ἐθνῶν πολλάκις οὐ γίνονται, ἀλλ᾽ ὡς ἐπὶ τὸ πλεῖστον ἐν ταῖς οἰκουμέναις καὶ πολυόχλοις πόλεσι καὶ πολυκόπροις;

Ἀπόκ. Βαθεῖα ὄντως ἡ τοῦ ἐρωτήματος ἀπόκρισις καὶ ὀλίγοις τῶν ἐπὶ γῆς χωρητή· ὅμως, καθώς φησιν ὁ Κύριος, «Ὁ χωρῶν χω-

---

1. Ἰω. 3, 5. 2. Ῥωμ. 2, 10. 3. Μάρκ. 9, 48. 4. Α΄ Κορ. 6, 10. 5. Ματθ. 26, 24.

ρείτω.[1]» Ἐὰν γὰρ εἴπωμεν, ὅτι πολλάκις καὶ ἐξ ἀέρων φθοροποιῶν καὶ κονιορτῶν καὶ δυσωδίας θνησιμαίων καὶ ὄμβρων θερινῶν καὶ ἀναθυμιάσεων καὶ ἀποψορῶν γῆς καὶ θαλάσσης, νόσοι σωμάτων καὶ φθοραὶ καὶ θάνατοι γίνοται, εὐθέως ἀμύητοί τινες ἐπιλαμβάνονται ἡμᾶς ὡς ἀπρονόητα τὰ καθ' ἡμᾶς λέγοντας. Οὕστινας καὶ ἐρωτῆσαι βουλόμεθα· Εἴπατε ἡμῖν, ὦ οὗτοι, πῶς ἐν πόλει τινὶ θανατικὸν γίνεται; ἐκ δὲ τῆς πόλεως ἐκείνης ὑπάρχουσιν ἐν ἑτέραις χώραις δύο ἢ τρεῖς χιλιάδες πραγματευομένων ἀνδρῶν, καὶ οὐδεὶς ἐξ αὐτῶν ἐτελεύτησεν; Εἰ γὰρ θεϊκὴ ὀργὴ κατὰ τῆς πόλεως ἐκείνης ἔφθασεν, ἐχρῆν πάντως καὶ τοὺς πόρρωθεν ὄντας τῆς ὀργῆς γεύσασθαι· εἰ δὲ καὶ μὴ πάντας, ἀλλὰ κἄν τινας ἐξ αὐτῶν. Πλὴν ἵνα μὴ δώσωμεν ἀφορμὴν τοῖς ταῦτα ζητοῦσι, φαμὲν ὅτι πολλάκις τὰ μὲν τῶν θανατικῶν καὶ κατὰ Θεοῦ ἀπειλὴν γίνονται· τὰ δὲ καὶ κατὰ ἀέρων καὶ τῶν λοιπῶν αἰτιῶν, ὧν προειρήκαμεν, ἅπερ ὡς ἐπὶ τὸ πλεῖστον καὶ καταφθείρει τὰ νήπια, ὡς ἀσθενέστερα. Πλὴν καὶ τῶν ἀέρων καὶ τῶν ἀναθυμιάσεων ποιητής ἐστιν ὁ Θεὸς ὁ εἰπών· «Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τῆς γῆς ἄνευ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς; ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί.[2]»

Ἐρώτ. ρδ'. Ἆρα δὲ ἀφελεῖται, ἢ λυτροῦται ἐκ θανατικοῦ ἀπὸ πόλεως εἰς ἄλλην φεύγων χώραν;

Ἀπόκ. Τοῦ Προφήτου πρὸς Θεὸν λέγοντος· «Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; [3]» εὔδηλον μὲν ὅτι τὸν Θεὸν ἐκφυγεῖν οὐδεὶς δύναται. Εἰ δὲ ἀήρ τις, ἢ ἄλλη κτίσματος αἰτία ἐστὶν ἡ τὸ λοιμικὸν ποιήσασα, ἴσως ἐκφεύγει αὐτήν, εἰς ἑτέραν χώραν μεταβάς·

Ἐρώτ. ρε' Πόθεν ὁρῶμέν τινας μὲν δικαίους ψυχομαχοῦντας ἐπὶ ἡμέρας καὶ κρινομένους· τινὰς δὲ ἁμαρτωλοὺς εἰρηνικῶς καὶ συντόμως ἀποθνήσκοντας;

Ἀπόκ. Πάντα τὰ κρίματα τοῦ Θεοῦ γινώσκειν μὲν ἀδύνατόν ἐστι, καὶ διὰ τοῦτο καλὸν ὑπάρχει μὴ πολυπραγμονεῖν ἡμᾶς αὐτά· ὅμως δὲ καὶ στοχαζόμενοι λέγομεν ὅτι πολλάκις καὶ ἄνδρες εὐσεβεῖς βασανίζονται πρὸ θανάτου, ἐν τῷ θανάτῳ· ἵνα ἡμεῖς οἱ ὁρῶντες φοβηθῶμεν καὶ σωφρονισθῶμεν. Ἴσως δὲ καὶ ὡς ἄνθρωποι οἱ ἅγιοι, μικρόν τε ἐλάττωμα ἔχοντες, διὰ τῆς τοιαύτης βασάνου τῆς ἐν τῷ καιρῷ τοῦ θανάτου τελείως καθαίρονται ἄμωμοι λοιπὸν ἀπερχόμενοι.

Ἐρώτ. ρς'. Τίνος χάριν οἱ πλείους τῶν ἀνθρώπων ἐν νυκτὶ τίκτονται καὶ ἐν νυκτὶ τελευτῶσιν;

Ἀπόκ. Ἐμοὶ δοκεῖ, ἵνα μάθωμεν διὰ τοῦ τοιούτου ὑποδείγματος, ὅτι σκοτεινὴ ὑπάρχει τοῦ παρόντος βίου καὶ ἡ γέννησις καὶ ἡ κοίμησις, ἤγουν ἡ ἐν αὐτῷ εἴσοδος καὶ ἐξ αὐτοῦ ἔξοδος.

---

1. Ματθ. 19, 12. 2. Ματθ. 10, 29-30. 3. Ψαλμ. 138, 7.

Ἐρώτ. ρζ'. Πόθεν τινὲς μὲν χαλεπῶς εἰς τὸ πάθος τῆς πορνείας πολεμοῦνται· τινὲς δὲ φυσικῶς σχεδὸν τῆς τοιαύτης ἡδονῆς ἀπέχονται, καίπερ πολλάκις περιπληθὲς σῶμα περικείμενοι;

Ἀπόκ. Ἡ τῶν σωμάτων τῶν ἀνθρώπων ἐπιθυμία γίνεται ἢ ἐκ θερμῆς κράσεως τοῦ σώματος, ἢ ἐκ πλειοτέρας τροφῆς καὶ ὕπνου καὶ ἀνέσεως· ἴσως δὲ καὶ ἐξ ἐνεργείας σατανικῆς· τέταρτον δὲ πολλάκις καὶ ἐκ τοῦ κατακρίνειν ἑτέρους· πέμπτον καὶ ἐξ ὑψηλοφροσύνης, ὅταν τις μεγαλοφρονῇ ἐπὶ τῇ ἑαυτοῦ ἁγνείᾳ· ὁ γὰρ τοιοῦτος παραχωρεῖται πεσεῖν, ὅπως διὰ τῆς πορνείας ἀπωθεῖται τὴν ὑπερηφανίαν καὶ ὁδηγηθεὶς εἰς ταπεινοφροσύνην τεύξηται τῆς σωτηρίας· ἐν γὰρ συγκρίσει δύο κακῶν κουφότερον ὑπάρχει παρὰ τὴν ὑπερηφανίαν πταῖσμα ἡ κατὰ σῶμα φυσικὴ ἐπιθυμία. Ἀγνεύουσι δέ τινες ἢ ὑπὸ Θεοῦ σκεπόμενοι, ἢ ψυχρᾶς τινος ὑπάρχοντες κράσεως, ἢ διὰ πολλῆς ἀσκήσεως, ἑαυτοὺς βιαζόμενοι, καί τινα μὴ κατακρίνοντες. Εἰ δὲ καί τινες ὑπερηφανίαν ἔχοντες ἁγνεύουσι, χρὴ γινώσκειν τοὺς τοιούτους, ὅτι περ ὑπὸ τοῦ διαβόλου κατεφρονήθησαν, ἱκανῆς οὔσης τῆς ὑπερηφανίας ὑπὲρ ὅλα τὰ πάθη ἐνόχους αὐτοὺς ποιῆσαι τῆς αἰωνίου κολάσεως.

Ἐρώτ. ρη'. Ποῖον σημεῖον ὀφείλει κρατεῖν ὁ ἄνθρωπος, ἵνα μὴ πλανηθῇ καὶ δέξηται τὸν Ἀντίχριστον, νομίζων, ὅτι ὁ Χριστός ἐστιν;

Ἀπόκ. Ὅπερ ὁ Κύριος ἡμῖν παρέδωκεν εἰπών, ὅτε «ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ δευτέρα παρουσία τοῦ Υἱοῦ τοῦ Θεοῦ.[1]» Ὅθεν μανθάνομεν, ὅτι πᾶς Χριστὸς ἐρχόμενος, καὶ μὴ ἐξαίφνης ἐν ὅλῳ τῷ κόσμῳ ἐν μιᾷ ὥρᾳ εὑρισκόμενος, τοιοῦτος ἀναμφιβόλως Ἀντίχριστός ἐστιν. Ἐπὶ γὰρ τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ πᾶσα ἡ ἀνθρωπότης ἐν τῷ ἅμα εὑρίσκεται, καὶ ἐν μέσῳ αὐτῆς ὁ Χριστὸς ὑπὸ πάντων ὁρώμενος.

Ἐρώτ. ρθ'. Ἀληθὲς δέ, ὅτι ἐξ Αἰγύπτου ἐξέρχεται ὁ Ἀντίχριστος, καὶ σημεῖόν τι ἐν τῇ χειρὶ τῇ μιᾷ καὶ ἐν τῷ ὀφθαλμῷ τῷ ἑνὶ κέκτηται;

Ἀπόκ. Πάντα ταῦτα γραώδεις μῦθοί εἰσιν. Ὁ γὰρ Ἀντίχριστος οὐδὲν σημεῖον τοιοῦτον κέκτηται· ἀλλὰ καὶ ἐκ τῆς Γαλιλαίας, ὅθεν ὁ Χριστὸς ἐξῆλθεν, ἐξέρχεται, ὥς φησιν ἡ Γραφή· «Σκύμνος λέοντος Δὰν καὶ ἐκπηδήσει ἐκ Βασάν.[2]» Αὕτη δέ ἐστιν Σκυθόπολις.

Ἐρώτ. ρι'. Λέγουσί τινες, ὅτι οὐ δύναται ὁ Ἀντίχριστος νεκρὸν ἄνθρωπον ἀναστῆσαι· ἐπεὶ πάντα τὰ λοιπὰ σημεῖα ποιεῖ.

Ἀπόκ. Τὸ εἰπεῖν τὸν Ἀπόστολον περὶ τοῦ Ἀντιχρίστου, ὅτι ἐν πᾶσι σημείοις καὶ δυνάμεσι πλάνης, εὔδηλον ὅτι καὶ νεκρὸν δείκνυσιν ἐγειρόμενον, οὐκ ἐν ἀληθείᾳ, ἀλλ' ἐν φαντασίᾳ.

Ἐρώτ. ρια' Πῶς καί τινες αἱρετικοὶ ποιοῦσι πολλάκις σημεῖα;

Ἀπόκ. Τοῦτο ἡμᾶς οὐκ ὀφείλει ξενίζειν. Ἠκούσαμεν γὰρ τοῦ Κυρίου λέγοντος· ὅτι πολλοὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐροῦσι· «Κύριε, οὐκ

1. Ματθ. 24, 27. 2. Δευτ. 33, 22.

ἐν τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν;[1]» καὶ ἐρεῖ αὐτοῖς· «Ἀμὴν λέγω ὑμῖν, οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ, ἐργάται τῆς ἀνομίας.» Πολλάκις γὰρ οὐχ ἡ πολιτεία τοῦ θαυματουργοῦντός ἐστιν ἡ τὴν ἴασιν ἐργαζομένη, ἀλλ' ἡ πρὸς αὐτὸν πίστις τοῦ προσερχομένου ἀνθρώπου. Γέγραπται γάρ· «Ἡ πίστις σου σέσωκέ σε.[2]» Πλὴν δεῖ καὶ τοῦτο γινώσκειν, ὅτι πολλάκις τινὲς κακόπιστοι καμάτους πολλοὺς δι' ἀσκήσεως τῷ Θεῷ προσήγαγον, καὶ τὴν ἀντιμισθίαν αὐτῶν ἔλαβον ἐν τῷ νῦν αἰῶνι ἐκ Θεοῦ, τὸ τῶν ἰαμάτων καὶ προρρήσεων χάρισμα, ἵνα ἐν τῷ αἰῶνι τῷ μέλλοντι ἀκούσωσιν· Ἀπελάβετε τὰ ἀγαθὰ ὑμῶν καὶ τοὺς καμάτους ὑμῶν· νῦν δὲ λοιπὸν οὐδὲν ὑμῖν κεχρεώστηται.

Ἐρώτ. ριβ'. Ἐὰν ἐν καιρῷ ἑορτῆς καταληφθῇ ἄνθρωπος ἐν χώρᾳ, ἐν ᾗ ἡ κοινωνία τῆς καθολικῆς Ἐκκλησίας οὐχ εὑρίσκεται, τί ὀφείλει διὰ τὴν ἑορτὴν σκέψασθαι, κοινωνῆσαι τοῖς αἱρετικοῖς, ἢ μεῖναι ἀκοινώνητος;

Ἀπόκ. Εἰ πολὺς καὶ χαλεπὸς ὁ κίνδυνος, τὸ τὴν ἰδίαν γυναῖκα μοιχεῦσαι καὶ ἄλλῃ συγγενέσθαι, κἂν ἐν ἀποδημίᾳ τυγχάνῃ ὁ ἀνήρ· πόσῳ γε μᾶλλον τὴν ὀρθὴν πίστιν προδοῦναι διὰ τὸ τοῖς αἱρετικοῖς συγκοινωνῆσαι; Ὥσπερ οὖν οἱ τὴν ἑαυτῶν πραγματείαν πωλῆσαι βουλόμενοι, ὅσον ἂν χρόνον ἐπὶ ξένης βραδύνωσιν, οὐ καταδέχονται λαβεῖν ἀντὶ τοῦ βασιλικοῦ χαράγματος τὸ ἔξω χάραγον, οὕτω καὶ ἐπὶ τῆς Χριστοῦ κοινωνίας χρὴ λογίζεσθαι. Τὸ γὰρ εἰπεῖν τὸν Ἀπόστολον, ὅτι «Εἷς Κύριος καὶ μία πίστις καὶ ἓν βάπτισμα[3]», ἐσήμανεν ἀκριβῶς, ὅτι μία καὶ μόνη ἐν κόσμῳ ἀψευδὴς ὑπάρχει πίστις, ἣν ἡ ἁγία καὶ μόνη κρατεῖ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία· καὶ ἓν βάπτισμα καθαρτικὸν καὶ ἁμαρτιῶν λυτρωτικόν· καὶ εἷς Κύριος, ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα ὑπάρχει. Καὶ ὁ μὴ οὕτω φρονῶν πεπλάνηται.

Ἐρώτ. ριγ'. Τὸ μέγα καὶ πολυθρύλλητον καὶ σχεδὸν παρὰ πάντων ζητούμενον ὅρον θέλομεν λέγειν ἔχειν τὴν τοῦ ἀνθρώπου ζωήν, ἢ οὔ; Εἰ μὲν γὰρ ὅρος ἐστί, πῶς φησιν ὁ Δαυὶδ τῷ Θεῷ. «Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου;[4]» εἰ δὲ οὐκ ἔστιν ὅρος, πῶς πάλιν ὁ αὐτὸς λέγει· «Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου.[5]» Εἰ δὲ πάλιν ὅρος, πῶς ὁ Σολομών φησι· «Μὴ γίνου σκληρός, μηδὲ ἀσεβὴς ἐπὶ πολύ, ἵνα ἐν οὐ καιρῷ σου.[6]» Εἰ οὖν ἐστιν ἐν οὐ καιρῷ ἀποθανεῖν, πῶς τισιν ἔδοξε λέγειν, ὅτι θάνατοι ἐπάγονται, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων; Πῶς δὲ καὶ τῷ Ἐζεκίᾳ καὶ τοῖς Νινευΐταις ζωὴν ὁ Θεὸς αἰτησαμένοις προσέθηκεν;

Ἀπόκ. Ἡ τῆς σοφίας πηγή, τὸ μέγα δοχεῖον τῆς γνώσεως, Παῦλος ὁ ἀπόστολος, πρὸς Κορινθίους γράφων φησίν· «Ὁ γὰρ ἀναξίως

1. Ματθ. 7, 22. 2. Μάρκ. 10, 52. 3. Ἐφ. 4, 5. 4. Ψαλμ. 101, 25. 5. Ψαλμ. 38, 6. 6. Ἐκκλ. 7, 17.

ἐσθίων τὸν ἄρτον καὶ πίνων τὸ αἷμα τοῦ Κυρίου, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει· καὶ διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί.[1]» Προσέχετε μετὰ ἀκριβείας. Διὰ τὸ ἀναξίους ὑμᾶς μεταλαμβάνειν, φησίν, ἀποθνήσκετε οἱ πολλοί, Ὥστε εἰ ἀξίως μετελάμβανον, οὐκ ἂν ἀπέθνησκον τότε. Καὶ ποῦ λοιπὸν ζητοῦμεν τὸν ὅρον τῆς ζωῆς τὸν παρὰ πολλοῖς ἡμῖν προβαλλόμενον; Πάλιν πρὸς τὸν Ἐλιφὰζ τὸν Θεματίνην φησὶν ὁ Θεός· «Ἥμαρτες σὺ καὶ οἱ δύο φίλοι σου, καὶ εἰ μὴ διὰ Ἰὼβ τὸν θεράποντά μου, ἐξωλόθρευσα ἂν ὑμᾶς.[2]» Ὥστε διὰ τὴν τοῦ Ἰὼβ πρὸς Θεὸν ἀρετὴν οὐκ ἀπέθανον, καὶ οὐ διὰ τὸ μὴ πληρωθῆναι τὸν ὅρον τῆς ζωῆς αὐτῶν. Εἰ δέ, ὥς τισι δοκεῖ, πεπηγμέναι εἰσὶ καὶ ὡρισμέναι αἱ ἡμέραι τοῦ ἀνθρώπου, μηδεὶς λοιπὸν ἐν ἀνομίαις μέλλων τελευτᾶν ἁγίοις ἀνδράσι προσδράμῃ ζωὴν καὶ ἐπιστροφὴν αὐτοῦ ἐκ Θεοῦ αἰτήσασθαι· μηδεὶς περὶ ζωῆς τῶν ἑαυτοῦ τέκνων τὸν Θεὸν δυσωπήσῃ. Ὁ γὰρ ὅρος, ὅρος ἐστί, καὶ προσθήκην ἀδύνατον κατ' αὐτοὺς γενέσθαι. Καὶ πῶς φησιν ἡ Γραφή, «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ὅπως ἔσῃ πολυχρόνιος;[3]» ὅρος τοίνυν ἐστὶ τῇ ζωῇ τοῦ ἀνθρώπου ἡ βουλὴ τοῦ Θεοῦ, καὶ ᾧτινι βούλεται, προστίθησι, καὶ ἔνθα σκοπήσῃ, ὑφελεῖται, πάντα ποιῶν πρὸς τὸ ἑκάστου συμφέρον. Καὶ ὥσπερ ὁ δεσπότης τῆς ποίμνης, ὅτε βουληθῇ, ἀποστέλλει καὶ φέρει, οἷα βούλεται, πρόβατα· οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῶν ἀνθρώπων ποιεῖ, καὶ τότε ἐπάγεται ὁ θάνατος τῷ ἀνθρώπῳ, τοῦ ὅρου, ἤγουν τοῦ χρόνου τῆς ζωῆς αὐτοῦ, πληρωθέντος, Ὅρος τοιγαροῦν, ὡς προλέλεκται, τῆς ἑκάστου ζωῆς ἐστιν ἡ κέλευσις καὶ ἡ βουλὴ τοῦ Θεοῦ.

Ἐρώτ. ριδ'. Ἀμήχανόν τι πρᾶγμα τοῖς πολλοῖς καὶ ἀδύνατον νομίζεται τῶν καταφθαρέντων σωμάτων ἡ ἀνάστασις. Πῶς γάρ, φησίν, ἢ πόθεν ἀναστήσεται ἡ σάρξ, ἣν πολλάκις ναυαγήσασαν ἔφαγον χίλιοι ἰχθύες καὶ πάλιν τοὺς χιλίους ἰχθύας χίλιοι ἄνδρες, καὶ τοὺς χιλίους ἄνδρας χίλιοι λέοντες;

Ἀπόκ. Ὁμολογεῖτε, ὦ ἀνόητοι, παντοδύναμον εἶναι τὴν τοῦ δημιουργοῦ Θεοῦ οὐσίαν; Πάντως ἐρεῖτε ὅτι ναί. Ὥστε μάθετε ἀκριβῶς, ὦ ἄφρονες, ὅτι περ ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρενέγκας Θεὸς τὸν ἄνθρωπον, αὐτὸς ἀρρήτῳ τινὶ λόγῳ καὶ ἀναπλάσαι αὐτὸν δύναται. Τί γάρ ἐστιν, εἰπέ μοι, εὐκολώτερον τῷ κεραμεῖ, τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν, τὸ σκεῦος, ἢ τὸ συντριβὲν πάλιν ἀνακαινίσαι; Πρόδηλον ὅτι τὸ ἀναπλάσαι τὸ γενόμενον ἤδη, κἂν εἰς πολλὰ μέρη διεσκορπίσθη. Ἵνα δὲ καὶ φυσικῇ τινι ἀκολουθίᾳ χρήσωμαι καὶ ὑποδείγματι, ὥσπερ παντὸς τοῦ ἐπὶ γῆς πυρὸς καὶ τῆς θέρμης πηγὴ καὶ ῥίζα ὁ ἥλιος ὑπάρχει, καὶ σβεννυμένης μὲν καμίνου, εὔδηλον ὅτι ἡ θέρμη αὐτῆς πρὸς τὸν ἥλιον ἀοράτως ἀνέδραμε· καὶ πάλιν ἁπτομένης αὐτῆς ἐκ τοῦ ἡλίου, δῆλον ὅτι τὸ πῦρ παραγίνεται, τὸ ἐξ αὐτῆς ἀνα-

1. Α' Κορ. 11, 29-30. 2. Ἰὼβ 42, 7. 3. Ἔξ. 20, 12.

χωρῆσαν· οὕτω καὶ ἐπὶ τῶν καταφθειρομένων σωμάτων ἀνθρωπίνων καὶ διαλυομένων μοι νόησον, ὅτι περ εἰς ὅσας ἂν θηρίων, ἢ ἰχθύων, ἢ ὀρνέων γαστέρας διαμερισθῇ ὁ ἄνθρωπος, εἰς τὰ τέσσαρα πάντως στοιχεῖα ἀναλύεται καὶ ἀπέρχεται, ἐξ ὧν καὶ συνέστηκε κατὰ τὸ τοῦ ἡλίου ὑπόδειγμα. Καὶ εἰς μὲν τὰ ὕδατα ἀπέρχεται τὸ ὑγρόν· εἰς δὲ τὸν ἀέρα τὸ ψυχρόν, εἰς δὲ τὸ πῦρ πρόδηλον τὸ θερμόν· εἰς δὲ τὴν γῆν λοιπὸν τὸ ξηρόν. Τῷ οὖν καιρῷ τῆς ἀναστάσεως κελεύσει Θεοῦ ἀοράτως ἀποδίδωσιν ἕκαστον τῶν στοιχείων, ὅπερ ἔλαβεν ἀποθανόντος τοῦ ἀνθρώπου, καὶ προστρέχει ἡ ψυχὴ καὶ ἀνίσταται ὁ ἄνθρωπος, ὡς οἶδε μόνος ὁ πλάσας τὸν ἄνθρωπον, σπαρεὶς μὲν εἰς γῆν φθορᾷ, ἐγειρόμενος δὲ ἐν ἀφθαρσίᾳ. Ὅθεν καὶ Σαμαρείτας ἐντεῦθεν δυνάμεθα ἐλέγξαι, ὅτι τοῦτο τὸ σῶμα ἀνίσταται, ἐκ τοῦ καὶ αὐτοὺς ὥσπερ τινὰ κόκκον ἐπὶ γῆς κατακρύπτειν τὰ σώματα. Τούτου γὰρ χάριν ὁ Θεὸς καὶ ἀπ' ἀρχῆς διὰ τῶν πατέρων ἐνομοθέτησε σκάπτοντας ἡμᾶς κατακρύπτειν τὰ τεθνεῶτα σώματα ὅπως, καὶ ἄκων ὁ ἄνθρωπος ὁμολογῇ τὴν ἀνάστασιν. Πᾶν γὰρ τὸ ἐν τῇ γῇ ὑφ' ἡμῶν χωννύμενον εὔδηλον ὅτι ἐπ' ἐλπίδι ἀναστάσεως κρύπτεται. Εἰ δὲ οὐκ ἔστι νεκρῶν ἀνάστασις, καθὼς αἱρετικοὶ λέγουσιν, ἄδικος λοιπὸν ὁ Θεὸς εὑρεθήσεται, πολλοὺς μὲν δικαίους ἐνταῦθα ταλαιπωρῆσαι καὶ ἀναιρεθῆναι κακῶς συγχωρήσας, πολλοῖς δὲ ἀσεβέσι καὶ ἁμαρτωλοῖς εὐζωΐαν καὶ εὐτεκνίαν καὶ εὐπραγίαν δωρησάμενος. Ἀλλὰ μὴ πλανάσθωσαν Σαμαρειτῶν παῖδες· ἔσται γάρ ποτε ἀναστάσεως καὶ κρίσεως καιρός, ὅπως καὶ οἱ ἐνταῦθα κακοπαθήσαντες εὐσεβεῖς στεφανωθῶσι, καὶ οἱ πάλιν εὐημερήσαντες ἀσεβεῖς τῷ αἰωνίῳ πυρὶ εἰς αἰῶνας αἰώνων καταδικασθῶσι, κατὰ τὸ δίκαιον κρῖμα τοῦ Θεοῦ.

Ἐρώτ. ριε'. Ποῦ ὑπάγουσι τὰ τελευτῶντα πιστὰ νήπια; εἰς κόλασιν, ἢ εἰς βασιλείαν; Καὶ ποῦ τὰ τῶν ἀπίστων νήπια; Καὶ ποῦ τὰ τῶν πιστῶν ἀβάπτιστα ἀποθνήσκοντα τάττονται, μετὰ τῶν πιστῶν, ἢ ἀπίστων;

Ἀπόκ. Τοῦ Κυρίου λέγοντος· «Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν·[1]» καὶ πάλιν τοῦ Ἀποστόλου φάσκοντος· «Νῦν δὲ τὰ τέκνα ὑμῶν ἅγιά ἐστι·[2]» πρόδηλον ὅτι ὡς ἄσπιλα καὶ πιστὰ εἰς τὴν βασιλείαν εἰσέρχονται τὰ τῶν πιστῶν βεβαπτισμένα νήπια· τὰ δὲ ἀβάπτιστα καὶ τὰ ἐθνικὰ οὔτε εἰς βασιλείαν εἰσέρχονται· ἀλλ' οὔτε πάλιν εἰς κόλασιν· ἁμαρτίαν γὰρ οὐκ ἔπραξαν.

Ἐρώτ. ρις'. Ἆρα πάντες οἱ αἱρετικοὶ εἰς ἀπώλειαν ἀπέρχονται, ἢ οὔ;

Ἀπόκ. Ἔστιν αἵρεσις καὶ αἵρεσις· καὶ ἔστι κρῖμα καὶ κρῖμα. Ἄλλη γὰρ ἀπώλεια τῶν Μανιχαίων καὶ τῶν Μοντανῶν, καὶ Σιμωνιανῶν, καὶ Ἀρειανῶν, καὶ Πνευματομάχων καὶ τῶν τοιούτων θεοκαταράτων αἱρετικῶν· καὶ ἄλλο πάλιν τῶν λεγόντων ἄφθαρτον σῶμα ἀνα-

1. Ματθ. 19, 14. 2. Α' Κορ. 7, 14.

λαβεῖν ἐκ τῆς ἁγίας Θεοτόκου τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν. Πλὴν ὁ ἐν ὀλίγῳ ἄπιστος καὶ ἐν πολλῷ ἄπιστός ἐστιν. Οὐ μόνον δὲ τοῦτο· ἀλλὰ καὶ ἐν αὐτῇ τῇ μιᾷ αἱρέσει πολλὰ καὶ διάφορα ὑπάρχουσι κρίματα. Ἄλλη γὰρ ἡ ἁμαρτία τοῦ ἐπισκόπου τοῦ πλανῶντος τὸν λαόν, καὶ ἄλλο κρῖμα τοῦ κληρικοῦ τοῦ δυναμένου μαθεῖν τὴν ὀρθόδοξον πίστιν· καὶ ἄλλο πάλιν τοῦ μὴ δυναμένου, καὶ ἄλλο τοῦ ἀναθεματίζοντος τὴν ἀλήθειαν καὶ ἀντιμαχομένου ἡμῖν· καὶ ἄλλο τοῦ ἐν γνώσει σφαλλομένου, καὶ ἄλλο τοῦ ἐν ἀγνοίᾳ· καὶ ἄλλο πάλιν τὸ πάντων κουφότερον τὸ τῆς γυναικός. Ἅπερ ἅπαντα γινώσκει ἀκριβῶς «ὁ μέλλων κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ.[1]»

Ἐρώτ. ριζ΄. Εἰ ἐξὸν ἄρα τοῖς ἄρχουσι δῶρα δέχεσθαι, καὶ ταῦτα εἰς πτωχοὺς ἀναλίσκειν;

Ἀπόκ. Εἰ μέν τινες εὐεργετηθέντες ἐν εὐπορίᾳ τυγχάνουσι, καὶ ἑκουσίως αὐτοῖς ταῦτα προσφέρουσι, λέγω δὴ τοῖς εὐεργετήσασιν· ἴσως οὐ πολὺ κρῖμα ἔχουσιν οἱ δεχόμενοι· δῆλον ὅτι, ἐὰν εἰς πτωχοὺς αὐτὰ διανείμωσιν. Ἐπεὶ ὅσα ἐκ γεωπόνων ἢ χειροτεχνῶν δέξονται δῶρα, καταπονουμένων καὶ ἀντίληψιν ζητούντων, πῦρ καὶ κόλασιν ἑαυτοῖς συνάγουσι, κἂν εἰς μυρίας εὐποιίας αὐτὰ διαδώσουσι, καθὼς φησιν ἡ Γραφή, ὅτι «Πῦρ καταφάγεται οἴκους δωροδεκτῶν.[2]»

Ἐρώτ. ριη΄. Ἐὰν ἀνὴρ ἅγιος ἀποστείλῃ παιδείαν, ἢ τιμωρίαν ἢ δαίμονα, ἢ θάνατον, ἢ ἄλλην τινὰ παίδευσιν εἰς οἶκον, ἢ οὐσίαν, ἀνθρώπου, ἢ εἰς τέκνα· ἆρα δύναται ὁ ἄνθρωπος ἐκεῖνος παρακαλέσας ἕτερον ἅγιον ἐκφυγεῖν τὴν ἀπόφασιν, ἣν ἀπέστειλεν αὐτῷ ὁ δοῦλος τοῦ Θεοῦ;

Ἀπόκ. Ἐὰν ἀνὴρ ἅγιός ἐστιν ὁ τὴν τιμωρίαν ἀνθρώπῳ ἀποστείλας, εὔδηλον ὅτι βουλῇ Θεοῦ τοῦτο πεποίηκε. Καὶ τίς ἔσται λοιπὸν ὁ τὴν βουλὴν τοῦ Θεοῦ ἀναλῦσαι δυνάμενος; Πλὴν οὔτε αὐτοὶ οἱ ἅγιοι ἀλλήλοις ποτὲ ἀντιπολεμοῦσι γινώσκοντες τὸν τῆς ἀγάπης τοῦ πνεύματος σύνδεσμον, καὶ ὅτι οὐκ εἰσακούσεται Κύριος ἁγίου, τοῦ δι' εὐχῆς ἀναλῦσαι βουλομένου ἄλλου ἁγίου εὐχήν. Οὔτε γὰρ πρέπον Θεῷ τοῦτο, ἕνα μὲν θλίψαι, ἕνα δὲ ἀναπαῦσαι ἑαυτοῦ θεράποντα. Ὅθεν τὸν ἐν Κορίνθῳ πορνεύσαντα Παῦλος ὁ δήσας αὐτὸς καὶ ἔλυσε· καὶ τὸν οὐρανὸν ἐν τῇ Παλαιᾷ πρὸς ἀβροχίαν Ἠλίας ἔδησε, καὶ Ἠλίας πάλιν ἔλυσε, καίπερ ἔχοντος τότε τοῦ Θεοῦ ἑπτακισχιλίους ἁγίους, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. Καὶ πάλιν, ὑβρισθέντος τοῦ Ἰὼβ ὑπὸ τῶν ἑαυτοῦ φίλων, αὐτὸν πεποίηκεν ὁ Θεὸς συγχωρῆσαι αὐτοῖς τὸ ἁμάρτημα, λέγων αὐτοῖς, ὅτι «Πορεύεσθε πρὸς τὸν θεράποντά μου Ἰώβ, καὶ προσεύξεται περὶ ὑμῶν.[3]» Καὶ ὥσπερ ἐπὶ τῶν ἁγίων ἀγγέλων οὐκ ἀντιπράττει ἕτερος ἑτέρῳ, οὕτω καὶ ἐπὶ τῶν ἁγίων νοήσωμεν.

Ἐρώτ. ριθ΄. Πόθεν τινὲς φύσει ἀβιάστως ὑπάρχουσιν ἐλεήμονες· τινὲς δὲ πάλιν φυσικῶς εἰσιν ὠμοί τε καὶ ἄσπλαγχνοι εἰς μετάδοσιν;

1. Πρβλ. Ψαλμ. 97, 9. 2. Ἰὼβ 15, 34. 3. Ἰὼβ 42, 8.

Ἀπόκ. Οὐδεὶς ὑπὸ Θεοῦ ἄνθρωπος γέγονε φύσει ἀσυμπαθὴς καὶ ἄσπλαγχνος· φύσει δὲ μᾶλλον ὁ Θεὸς τὸ φιλάλληλον εἰς τὴν τοῦ ἀνθρώπου οὐσίαν ἔθηκεν· οὐκ ἐν τῇ τοῦ ἀνθρώπου δὲ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῶν ἀλόγων καὶ πετεινῶν,. Ὅθεν πολλάκις καὶ ἐξ ἀλλήλων χωριζόμενα, στυγνάζουσι καὶ βοῶσι καὶ νηστεύουσι· τινὰ δὲ δακρύουσι. Κορωνῶν δὲ γένος, καὶ βρῶμα εὑροῦσαι, εὐθέως ἀλλήλας τῇ φωνῇ κράζουσι πρὸς μετάληψιν. Καὶ πῶς λοιπόν, εἰπέ μοι, οὐ μέλλουσι πολλὰ καὶ τῶν ἀλόγων ἡμᾶς κατακρίνειν, τοὺς κατ' εἰκόνα Θεοῦ κτισθέντας, οὐ μόνον διὰ τὴν ἀσπλαγχνίαν ἡμῶν, ἀλλὰ καὶ διὰ τὴν ἄγνοιαν καὶ ἀκολασίαν, ἣν ἔχομεν; Ἐκεῖνα γὰρ οὐ μόνον ἄρσεν ἄρσενος εἰς συνουσίαν οὐχ ἅπτεται, ἀλλὰ καὶ αὐτῆς τῆς θηλείας πρὸς ὀλίγας καὶ μόνον ἡμέρας ἐφίεται· τινὰ δὲ καὶ χηρεύουσι. Πλεονεξίαν οὐκ οἶδε, λοιδορίαν οὐ μετέρχεται. Τὸ δὲ χαλεπώτερον, ὅτι περ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ γενόμενοι, καὶ ἄρχειν ἀλόγων τεταγμένοι, παρασυνεβλήθημεν τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθημεν «αὐτοῖς.[1]»

Ἐρώτ. ρκ'. Ποῖαι πλεῖστον πάντων ἀρεταὶ τοῖς ἄρχουσι πρέπουσί τε καὶ ἁρμόζουσιν;

Ἀπόκ. Προηγουμένως τὸ συμπαθητικὸν καὶ φιλάνθρωπον, τὰ καὶ Θεῷ ὑπάρχοντα· εἶτα τὸ ἀμνησίκακον καὶ ἀόργιστον, καὶ ἀπροσωπόληπτον, καὶ ἀδωροδόκητον, καὶ πρὸ πάντων τὸ μὴ εὐχερῶς, μηδὲ ἀνεξετάστως διαβολαῖς καὶ λοιδορίαις πείθεσθαι. Ἀπὸ γὰρ λογοπειθείας πολλοὺς φόνους ἀδίκους ποιοῦσιν· ὡσαύτως καὶ ἐξ ἀσπλαγχνίας ὁμοίως καὶ ἀπὸ μνησικακίας ἀπέχεσθαι καὶ ἀπὸ δωροδοκίας. Ἐκεῖνος τοίνυν ἐστὶν ἄρχων Θεῷ εὐάρεστος, ὁ μηδὲν τῶν τοιούτων παθῶν κτώμενος.

Ἐρώτ. ρκα'. Πόθεν ὁρῶμέν τινας πονηροὺς καὶ ἀναξίους εἰς ἀρχιερωσύνην καὶ εἰς ἐξουσίαν λαοῦ προχειριζομένους, καὶ πολλὰ ἄτοπα κατεργαζομένους;

Ἀπόκ. Οὐ διὰ τὸ αὐτοὺς εἶναι ἀξίους τῆς ἐξουσίας Θεὸς αὐτοὺς προχειρίζεται εἰς τὸ ἐξουσιάζειν λαοῦ· ἀλλὰ διὰ τὸ εἶναι τὸν λαὸν πονηρὸν τοιούτους ἀρχιερεῖς καὶ ἄρχοντας παρέχει. «Δώσω γὰρ ὑμῖν», φησὶν ὁ Θεός, «ἄρχοντας κατὰ τὰς καρδίας ὑμῶν.[2]»

Ἐρώτ. ρκβ'. Πόθεν ὀφείλει γνῶναι ὁ δυσωπῶν τὸν Θεὸν περὶ αἰτήματος, ὅτι προσεδέχθη ἡ δέησις αὐτοῦ;

Ἀπόκ. Σπανίοις τισὶ καὶ θεοσεβέσιν τοῦτο κατάδηλον γίνεται, τῆς ἑαυτῶν καρδίας νοερῶς πληροφορουμένης.

Ἐρώτ. ρκγ'. Ἐκ τεσσάρων περάτων λέγομεν τὸν κόσμον συνίστασθαι· καὶ πάλιν ἐκ τεσσάρων στοιχείων τὸν ἄνθρωπον συγκεῖσθαι. Πρόδηλον οὖν ὅτι τέσσαρα πέρατα, τουτέστιν ἀνατολὴ καὶ δύσις, ἄρκτος τε καὶ μεσημβρία, τὰ τέσσαρα στοιχεῖα γεννῶσιν, ἤγουν τὸ

1. Πρβλ. Ψαλμ. 48, 13. 2. Ἱερ. 3, 15.

θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρόν. Ζητητέον λοιπὸν ποῖον στοιχεῖον, ἐκ ποίου μέρους τοῦ κόσμου τίκτεται;

Ἀπόκ. Ὡς ἡ τῶν πραγμάτων φύσις μαρτυρεῖ καὶ διδάσκει, θεωροῦμεν, ὅτι τὸ μὲν θερμὸν στοιχεῖον ἐκ τῆς ἀνατολῆς τίκτεται· καὶ μαρτυροῦσι τὰ πάσης τῆς γῆς ἀνατολικώτερα Ἰνδικὰ σώματα ὑπὸ τῆς ἄκρας θέρμης μέλανα γινόμενα. Ὁ Θεὸς γὰρ ἀπ' ἀρχῆς ἄνδρα μέλανα οὐκ ἐποίησε. Διὸ καὶ τὰ νεκρὰ σώματα, ἐν τῷ ἡλίῳ μελανοῦται καὶ καίονται. Ὅθεν ἐκ τῆς πολλῆς καὶ ἄκρας θερμότητος πολὺν οἶνον οἱ Αἰθίοπες πιεῖν οὐχ ὑποφέρουσιν· ὑπὸ δὲ τῆς ἄκρας ζέσεως καὶ θυμώδεις εἰσὶ λίαν, καὶ κατάπικροι, ἀλλὰ καὶ πρὸς πορνείαν θερμοτέρως κινούμενοι. Ὥσπερ δὲ ἐπὶ τῆς ἀνατολῆς τοῦ ἡλίου ταῦτα εἰρήκαμεν οὕτω πάλιν τὰ ἐναντία ἐροῦμεν ἐπὶ τῆς δύσεως. Ψυχρὰ γὰρ αὕτη ὑπάρχει, καὶ τοῦ ψυχροῦ στοιχείου καὶ τῆς νυκτὸς γεννητικὴ καὶ ποιητική· διὸ καὶ λευκότερα πάσης τῆς γῆς τὰ τῆς δύσεως ὑπάρχουσι σώματα, καὶ οἶνον πολὺν πίνειν ὑπομένοντα. Λείπει λοιπὸν ἡμᾶς λέγειν τὴν ἐρημικὴν μεσημβρίαν μητέρα εἶναι τοῦ ξηροῦ στοιχείου, ὡς καὶ τὰ ἐν αὐτῇ τῶν Ἀράβων σώματα ξηρότερα τυγχάνοντα, πλὴν καὶ θερμότερα, ὡς ἐν γῇ ἀνύδρῳ γενόμενα. Ὁ δὲ βορρᾶς, εὔδηλον ὅτι ψυχροτέρας ἐστὶ κράσεως. Αἱ γὰρ θάλασσαι καὶ οἱ ποταμοὶ καὶ τὰ πλήθη τῶν ὑδάτων τοῦ ὑγροῦ ἐκείνου στοιχείου εἰσὶ ποιητικά. Ταῦτα δὲ εἴπαμεν, οὐκ ἀφορίζοντες τὰ στοιχεῖα ἀπ' ἀλλήλων· συνδέδενται γὰρ ἐν πάσῃ τῇ κτίσει· ἀλλ' ὅτι περ ἐν τοῖς τέσσαρσι τόποις, οἷς εἰρήκαμεν, πλεονάζει ἕτερον τοῦ ἑτέρου κατὰ τὴν προκειμένην φυσιολογίαν.

Ἐρώτ. ρκδ' Πῶς καὶ φαρμακοί τινες ἐκδιώκουσιν ἐξ ἀνθρώπων δαίμονας.

Ἀπόκ. Τοῦ Χριστοῦ ἐν τοῖς ἁγίοις Εὐαγγελίοις λέγοντος, ὅτι «Εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἡ βασιλεία αὐτοῦ οὐχ ἵσταται [1]», εὔδηλον, ὅτι δαίμονα φαρμακὸς οὐ διώκει, ἀλλ' ὁ δαίμων ὁ ἐν τῷ δαιμονιζομένῳ ἀνθρώπῳ οἰκῶν ἑκουσίως ὑποχωρεῖ πρὸς τὸ ἀπατηθῆναι τοὺς ἀνθρώπους, καὶ ἀντὶ τοῦ προστρέχειν πρὸς Θεόν, πείθει πρὸς τοὺς φαρμακοὺς τρέχειν.

Ἐρώτ. ρκε'. Πῶς ἐπὶ τοσοῦτον ἰσχύει φαρμακός, ὥστε καὶ εἰς ἀλόγου φύσιν μετενέγκαι τὸν ἄνθρωπον;

Ἀπόκ. Εἰ ἠδύνατο ἐξ ἀνθρώπου ζῷον ἀπεργάσασθαι, πάντως ἴσχυσε καὶ ἐξ ἀλόγου ἄνθρωπον συστήσασθαι λογικόν. Ἀλλ' οὐκ ἔστι τοῦτο· μὴ γένοιτο! Ἀλλ' ὥσπερ οἱ λεγόμενοι Ψηφάδες, καὶ πάλιν αὐτὸς ὁ Ἀντίχριστος ἐρχόμενος ἐν φαντασίᾳ πλανᾷ τοὺς ὀφθαλμοὺς τῶν ἀνθρώπων χρυσίον αὐτοῖς πολλάκις ἢ ἄργυρον ὑποδεικνύς, οὕτω καὶ οἱ λέγοντες ἐξ ἀνθρώπου ζῷον ποιεῖν τοὺς ὁρῶντας καὶ μόνον ἀπατῶσιν· ἐπεὶ τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ γενόμενον ἄνθρωπον κτῆνος ποιῆσαι οὐ δύνανται.

1. Πρβλ. Μάρκ. 3, 26.

Ἐρώτ. ρκϛ΄. Ἆρα κρῖμα κέκτηνται οἱ κλοπὴν ὑπομένοντες, καὶ εἰς τοὺς λεγομένους μάντεις ὑπάγοντες;

Ἀπόκ. Καὶ μέγα· ἐδίδαξαν γὰρ ἡμᾶς ἡ Γραφὴ ἐπὶ πάσης συμφορᾶς ἡμῖν ἐπερχομένης λέγειν τό· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.[1]»

Ἐρώτ. ρκζ΄. Πῶς τινες ἐν τοῖς θανατικοῖς ἀποθνήσκουσι καὶ θεωροῦσι τινὰς ὀπτασίας, καὶ μετὰ δύο ἢ τρεῖς ὥρας ἀνίστανται διηγούμενοι;

Ἀπόκ. Ἐπὶ τῶν τοιούτων οὐ τελείως τότε ἡ ψυχὴ ἐξῆλθεν ἐκ τοῦ σώματος· ἀλλ' ἐν ἐκστάσει γίνονται, κἂν ἡμῖν ἐκπνεύσαντες νομίζωνται· ἅπερ δὲ ὁρῶσι καὶ διηγοῦνται φοβερά, πρὸς τὸ ἡμῖν συμφέρον ὁ Θεὸς αὐτὰ ὑπέδειξεν· ἵνα φοβηθέντες διορθωσώμεθα ἑαυτούς, ἀπεχόμενοι τῶν πονηρῶν πράξεων.

Ἐρώτ. ρκη΄. Πόθεν ἐπιγινώσκει ἡ ψυχὴ ἀπλανῶς, τὸ ἴδιον σῶμα ἐν τῇ ἀναστάσει, καὶ οὐκ εἰς ἀλλότριον εἰσέρχεται;

Ἀπόκ. Φυσικῇ ἀκολουθίᾳ. Ὥσπερ γὰρ ἀρνία ἀφ' ἑσπέρας ἐκ μητέρων χωρισθέντα, εἶτα, πρωΐας ἀπολυθέντα, ἀπλανῶς ἕκαστον ὑπὸ τῆς φύσεως πρὸς τὴν ἰδίαν μητέρα ἔρχεται· οὕτω καὶ ἐπὶ τῶν ψυχῶν νοήσωμεν ἐν τῇ ἀναστάσει γενέσθαι.

Ἐρώτ. ρκθ΄. Ἐάν τις ληστής, ἑκατὸν φόνους ποιήσας, κρατηθεὶς ἀποκεφαλισθῇ, τί λέγομεν περὶ αὐτοῦ; Ἆρα ἠλευθερώθη τῶν φόνων, ὧν ἐποίησεν;

Ἀπόκ. Ἑνὸς καὶ μόνου φόνου ἔδωκε δίκην· τῶν δὲ λοιπῶν ἐνενήκοντα ἐννέα ἐν τῷ αἰῶνι τῷ μέλλοντι ἀπολογήσεται. Γινώσκειν δὲ χρή, ὅτι πολλάκις καὶ ἕνα φόνον ποιήσας ἄνθρωπος, κἂν κρατηθεὶς ἀποκεφαλισθῇ, οὐ πάντως ὅτι ὅλου τοῦ κρίματος τοῦ φόνου ἠλευθέρωται. Οἷόν τι λέγομεν ἐπὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ καὶ Ἡρώδου· ὅτε γὰρ καὶ ἀπεκεφαλίσθη Ἡρώδης, ὑπὲρ οὗ ἐφόνευσεν τὸν Βαπτιστήν, ἀλλ' οὐκ ἔστιν ἴσον πρὸς σωτηρίαν τοῦ κόσμου Ἰωάννης καὶ Ἡρώδης. Ὁ μὲν γὰρ σωτήριος ἄνθρωπος, ὁ δὲ ἐπίβουλος. Ὁμοίως δὲ καὶ ἐπὶ ἄλλων φονέων καὶ φονευομένων δικαίων ἀνδρῶν ἐστὶ νοῆσαι καὶ διακρῖναι, καθὼς προειρήκαμεν.

Ἐρώτ. ρλ΄. Ἐάν τις ἄρχων ἀπὸ θυμοῦ μεθ' ὅρκων πολλῶν ὁρίσῃ πρᾶγμα, εἶτα μετὰ τὸν ὅρκον ἐλθὼν εἰς ἑαυτὸν μεταμεληθῇ, γνοὺς ὅτι κακῶς ὤρκισε, τί ὀφείλει ποιῆσαι;

Ἀπόκ. Ἐξομολογήσασθαι τῷ Θεῷ καὶ καταγνῶναι τὰς ἑαυτοῦ προπετείας, καὶ ἀναλῦσαι τὸν ὅρκον. Καὶ γὰρ καὶ Πέτρος ὁ ἀπόστολος εἰπών, ὅτι «Οὐ μή μου νίψεις τοὺς πόδας εἰς τὸν αἰῶνα[2]», καὶ ἀναλύσας ὅπερ εἶπεν, ἐπαινεῖται τοῦτο πεποιηκώς. Ἡρώδης δὲ στήσας τὸν ἑαυτοῦ ὅρκον, διὰ τὴν τοῦ προδρόμου κεφαλὴν εἰς αἰῶνας κολάζεται.

1. Ἰὼβ 1, 21. 2. Ἰω. 13, 8.

Ἐρώτ. ρλα'. Ἐάν τις λογίσηταί τι πρᾶγμα ὡς νομίζει ἑαυτῷ συμφέρον, πῶς ὀφείλει περὶ αὐτοῦ αἰτήσασθαι καὶ Θεῷ προσεύξασθαι;

Ἀπόκ. Καθὼς ἡμᾶς ὁ Χριστὸς ἐδίδαξε προσεύχεσθαι, καὶ λέγειν πρὸς Θεόν· «Γενηθήτω τὸ θέλημά σου.[1]» Καὶ γὰρ τοῦτο παιδεύων ἡμᾶς ὁ Κύριος οὕτω καὶ αὐτὸς προσηύχετο λέγων τῷ Πατρί. «Μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν.[2]» Ἡμεῖς δὲ πολλάκις οἱ ἄνθρωποι αἰτούμεθά τινα παρὰ Θεοῦ, νομίζοντες ταῦτα ἡμῖν συμφέρειν, καὶ τυγχάνοντες τοῦ αἰτήματος, εὑρίσκομεν τὴν τούτου ἔκβασιν πάνυ ἡμᾶς καταβλάψασαν. Ὅθεν ὡς προγνώστης ὁ Κύριος, τὰ τέλη τῶν πραγμάτων ἐπιστάμενος, παρακούει πολλάκις τῆς προσευχῆς ἡμῶν ὡς ἀγαθὸς τὸ συμφέρον ἡμῖν πραγματευόμενος. Ὅθεν οὐ καλὸν βιάζεσθαι τὸν Θεὸν ἐν τοῖς αἰτήμασιν ἡμῶν, ἀλλ' ὡς ἐδιδάχθημεν εὔχεσθαι, καὶ ζητεῖν μὴ τὸ ἡμέτερον ἀλλὰ τὸ τοῦ Θεοῦ θέλημα γενέσθαι. Θέλει γὰρ πάντως πάντας σωθῆναι, καὶ παρέχει ἡμῖν τὰ εἰς ἡμετέραν σωτηρίαν συντείνοντα.

Ἐρώτ. ρλβ'. Ἐάν τις βουλεύσηται πρᾶγμα ποιῆσαι, πόθεν ὀφείλει ἐπιγνῶναι ὅτι θεάρεστόν ἐστιν, ὃ ποιῆσαι ἐσκέψατο;

Ἀπόκ. Ὀλίγων ἐστὶ λίαν ἀνδρῶν τὸ ἐν πᾶσιν ἀπλανῶς τοῖς ἑαυτῶν βουλεύμασιν ἐπίστασθαι, εἰ θεάρεστόν ἐστι τὸ γινόμενον. Μέντοιγε ἐκ τῶν ἐν ταῖς θείαις Γραφαῖς εἰρημένων, καὶ τοῖς ἁγίοις πεπραγμένων, τὰ πολλὰ τῶν καθ' ἡμᾶς στοχαζόμεθα εἰ εἰσὶ θεάρεστα. Καὶ τοῦτο δέ τινες ἐπετήρησαν, ὅτιπερ εἰσὶν εὐαπόδεκτα τῷ Θεῷ, οὐ μόνον ὁ Θεός, ἀλλὰ καὶ πᾶσα ἡ κτίσις συνεργεῖ, καὶ συνέρχεται εἰς αὐτά· ὥσπερ εἰς τὰ τῷ Θεῷ ἀπαρέσκοντα οὐ δουλεύει, ἀλλὰ ἀντιτάσσεται. Τοῦτο δὲ πάντως ἀπαιτεῖται ὁ ἄνθρωπος, ἵνα πρὸς Θεοῦ εὐαρέστησιν πάντα, ὅσα πράττει, βουλεύσηται.

Ἐρώτ. ρλγ'. Προειρήκαμεν ἐν τοῖς ἔμπροσθεν, ὅτιπερ εἰς ὃ καταληφθήσεται ἄνθρωπος ἐν τῷ θανάτῳ αὐτοῦ, εἰς αὐτὸ καὶ ἀπέρχεται, εἴτε ἀγαθῷ εἴτε κακῷ. Ἐὰν οὖν τις καὶ πονηρὰ καὶ ἀγαθὰ ποιήσας τελευτήσῃ, τί χρή, περὶ αὐτοῦ λογίζεσθαι;

Ἀπόκ. Μόνῳ Θεῷ ἔγνωσται τοῦτο· ἐπεὶ οὔτε ἀνθρώπῳ οὔτε ἀγγέλῳ. Εἰσὶ γάρ τινα κακὰ καλύπτοντα μικρὰ ἀγαθά· καὶ εἰσί τινα ἀγαθὰ καλύπτοντα καὶ ἐξαλείφοντα μεγάλα πονηρά. Τὰ δὲ κρίματα ταῦτα «ἄβυσσος πολλή.»

Ἐρώτ. ρλδ'. Ἔδοξέ τισι ματαιόφροσι λέγειν ὅτι οὐδὲν διαφέρει τοῦ κτήνους ὁ ἄνθρωπος, ἀλλ' ὡς ὁ θάνατος τοῦ κτήνους, οὕτως ἐστὶ καὶ ὁ θάνατος τοῦ ἀνθρώπου μὴ ἔχοντός τινα ψυχῆς οὐσίαν ἀθάνατον. Καὶ γάρ, φησίν, ὁ ἄνθρωπος καὶ τὸ κτῆνος ὁμοίως θνήσκουσιν, ἐξερχομένου καὶ κενουμένου τοῦ αἵματος αὐτῶν.

Ἀπόκ. Τοῦ αἵματος ἡ φύσις παρὰ μὲν τοῖς ἀλόγοις οὐσία τίς ἐστι ζωτική, καὶ τῶν λοιπῶν τριττῶν στοιχείων συστατική· οὗτινος τὸ ζῶον

1. Ματθ. 6, 10. 2. Λουκ. 22, 42.

στερούμενον θνήσκει, μηδὲν λοιπὸν ἐκ τῶν τριῶν στοιχείων ὠφελούμενον, παρὰ δὲ τῇ καθ' ἡμᾶς φύσει τῇ λογικῇ ἡ τοῦ αἵματος φύσις σύνδεσμός ἐστι τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ ἀφαιρουμένου τοῦ συνδέσμου, ἀνάγκη πᾶσα καὶ τὰ συνδεδεμένα χωρίζεσθαι.

'Ερώτ. ρλε'. Καλῶς· φυσικὴ γὰρ ἡ ἀπόδειξις. Ὅμως ἐπειδὴ ζῷα καὶ ἄνθρωποι τελευτῶσι, πολλάκις καὶ ἄνευ κενώσεως αἵματος, τί ἐστι τὸ παρ' αὐτῶν ἐξερχόμενον καὶ ποιοῦν τὸν θάνατον;

'Απόκ. Παρὰ μὲν τοῖς ἀλόγοις ἡ ζωτικὴ καὶ θρεπτικὴ καὶ θερμαντικὴ καὶ κινητικὴ καὶ αὐξητικὴ τοῦ αἵματος, ἡ ἐκ πυρὸς ὑπάρχει ἐνέργεια, ἡ καὶ τὸ ἀναπνεῖν αὐτοῖς παρέχουσα. Ὥσπερ γὰρ ὁ λέβης ὑπὸ πυρὸς καιόμενος τὸ ἐν αὐτῷ ὕδωρ κινεῖ καὶ βράζει· παυομένου δὲ τοῦ πυρός, νεκρὸν λοιπὸν καὶ ἀκίνητον, καὶ ψυχρὸν τὸ ὕδωρ γίνεται· οὕτω καὶ ἐπὶ τῆς γῆς τῶν ἀλόγων φύσεως καὶ τῆς ζέσεως τοῦ αἵματος γίνεσθαι νόμιζε, καὶ ταύτην εἶναι τὴν αἰτίαν τῆς αὐτῶν ζωῆς καὶ κινήσεως. 'Εξασθενοῦντος οὖν τοῦ αἵματος, νεκρὸν λοιπὸν καὶ ἀκίνητον τὸ κτῆνος ἢ τὸ πετεινόν, ἢ ὁ ἰχθὺς καθίσταται. 'Επὶ δὲ τῆς ἀνθρωπίνης φύσεως οὐ μόνον ἡ ζέσις καὶ ἡ θέρμη τοῦ αἵματος τῷ καιρῷ τοῦ θανάτου χωρίζονται, ἀλλὰ σὺν αὐτοῖς καὶ ψυχή τις λογική τε καὶ συστατική, ἀθάνατός τε καὶ νοερά.

'Ερώτ. ρλϛ'. Τοὺς τῷ Εὐαγγελίῳ μὴ πιστεύοντας Ἕλληνας, καὶ τὰς θείας πάσας Γραφὰς εὐτελίζοντας, πῶς αὐτοὺς πεῖσαι ὀφείλομεν, ὅτι ἔστι Θεὸς ἄκτιστος, ποιητὴς οὐρανοῦ καὶ γῆς, εἷς καὶ μόνος, καὶ οὐ πολλοὶ θεοί, ὡς αὐτοὶ πλανώμενοι νομίζουσιν;

'Απόκ. Τοὺς τὰς θείας Γραφὰς μὴ δεχομένους ἐξ αὐτῆς λοιπὸν τῆς τῶν πραγμάτων φύσεως περὶ θεολογίας πεῖσαι ὀφείλομεν. Ὁρῶμεν γάρ τινας οὐσίας· ἐν τῇ κτίσει οὐ κατὰ φύσιν, ἀλλ' ὑπὲρ φύσιν μετ' ἀλλήλων ὑπαρχούσας. Οἷόν τι λέγω. Φύσει ἡ τῶν ὑδάτων οὐσία ῥυστικὴ καὶ καταφερὴς ὑπάρχει· πῶς οὖν ὁρῶμεν τοὺς λεγομένους σίφωνας ἐκ τῆς θαλάσσης ὕδωρ τὰς νεφέλας ἀνέλκοντας; Τὸ δὲ θαυμαστότερον, ὅτι, ἁλμυρὰ ἀνερχόμενα, γλυκέα λοιπὸν ταῦτα ἐπὶ γῆς διὰ τῶν ὄμβρων κατέρχονται. Πῶς δὲ πάλιν καὶ ἡ τῶν σωμάτων [ὑδάτων] φύσις, βολιστικὴ κατὰ φύσιν ὑπάρχουσα, ὁρᾶται, ἄδυτος καὶ ἀβόλιστος ἐν τοῖς ὕδασι τῆς Μαρμαρικῆς Πενταπόλεως; Οὐ μόνον δέ, ἀλλὰ γὰρ καὶ ὕδατος καὶ πυρὸς ἐναντία ἡ φύσις ὑπάρχουσα, ἐν τῷ ἅμα ἦν, ὅτε ἐν Λυκίᾳ τῷ ὄρει τῷ λεγομένῳ 'Ολύμπῳ, καθὼς μυριάδες ἀνδρῶν ἑωράκασι; Καὶ ἄλλα δὲ μυρία τούτοις ὅμοια καὶ παράδοξά ἐστιν ἐν τῇ κτίσει ὁρώμενα καὶ θαυμαζόμενα· ἅπερ ἅπαντα οὐκ ἂν οὕτως ὑπὲρ φύσιν γίνεσθαι ἔμελλον, εἰ μὴ οὐσία τις Θεοῦ ἦν τούτων δεσπόζουσα, καὶ τούτοις ἐπιτρέπουσα ἀλλήλοις μὴ ἀντιτάττεσθαι. Πῶς δὲ πάλιν λέγουσιν ἡμῖν Ἑλλήνων παῖδες, βροντῆς στερρᾶς γινομένης, ἅπασα ἡ φύσις τῶν ἀνθρώπων τρέμει, φρίττει τε καὶ ἐξίσταται, μηνύουσα διὰ τοῦ σχήματος, ὡς ὑπὸ δεσπότην ἐστὶ τὰς βροντὰς ἐργαζόμενον; Καὶ ταῦτα μὲν πρὸς τοὺς ἀφελεστέρους

Ἑλλήνων εἰς θεογνωσίαν φέροντα ὑποδείγματα. Πρὸ γὰρ τῶν παρ' αὐτοῖς σοφῶν ἐκ φιλοσόφων ἀρχαίων δυνατῶν μαρτύρια πολλὰ περὶ θεοσεβείας τινὲς Ἑλλήνων σοφοὶ ἔφρασαν· ἀλλὰ καὶ τὴν Χριστοῦ οἰκονομίαν ἀμυδρῶς προεμήνυσαν. Καὶ γοῦν τις τῶν παρ' αὐτοῖς σοφῶν πρὸ πολλῶν τῆς Χριστοῦ ἐπιδημίας χρόνων φησίν, ὅτι ἥξει ἡ νεᾶνις ἔχουσα ἡμῖν οὐράνιον γόνον. Καὶ ἄλλος πάλιν ἔφρασεν οὕτως· Ὀψέ ποτε ἐπὶ τὴν πολυσχεδῆ ταύτην κατέρχεται ὁ Θεὸς γῆν, καὶ δίχα πταίσματος σὰρξ γενήσεται· ὡς κατάκριτος ἐν ξύλῳ κρεμασθήσεται, καὶ ἀνίατα πάθη θεραπεύσει.

Ἐρώτ. ρλζ'. Χριστιανῶν τε καὶ Ἰουδαίων Χριστὸν ὁμολογούντων, ἀμφιβαλλόντων δὲ τῶν Ἰουδαίων οὔπω αὐτὸν ἐληλυθέναι, ἀλλὰ λεγόντων, ὅτι μέλλει ἔρχεσθαι· πόθεν αὐτοὺς πεῖσαι ὀφείλομεν, ὅτι καὶ Θεός ἐστιν ὁ Χριστὸς καὶ ὅτι ἀληθής ἐστι, καὶ οὐ πλάνος, ὡς αὐτοὶ νομίζουσιν;

Ἀπόκ. 1. Ὅτι μὲν Θεὸς καὶ Κύριος ὁ Χριστός ἐστιν, οἱ προφῆται μαρτυροῦσιν· ὁ μὲν Δαυὶδ λέγων· «Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν·[1]» καὶ πάλιν· «Ἔκλινεν οὐρανοὺς καὶ κατέβη·[2]» καὶ πάλιν· «Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, ἐμφάνηθι·[3]» ὁ δὲ Ἀμβακοὺμ πάλιν φησίν· «Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει·[4]» ὁ δὲ Βαρούχ· «Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἔξευρε πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη.[5]» Ἰδοὺ πῶς προφανῶς οἱ προφῆται Θεὸν λέγουσι τὸν Χριστόν.

2. Ὅτι δὲ ἐλήλυθεν ἤδη ὁ Χριστός, Δανιὴλ ὁ προφήτης τὸν χρόνον τῆς παρουσίας αὐτοῦ σημαίνων οὕτω φησί, μᾶλλον δὲ πρὸς αὐτὸν ὁ ἀρχάγγελος Γαβριήλ· «Ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν, τοῦ συντελεσθῆναι ἁμαρτίας, καὶ τοῦ σφραγῖσαι ἁμαρτίας·[6]» καὶ μετὰ βραχύ· «Καὶ τοῦ σφραγῖσαι ὅρασιν καὶ προφητείαν καὶ τοῦ χρῖσαι Ἅγιον ἁγίων.[7]» Τίς οὖν ἐστιν ἕτερος χρισθεὶς Ἅγιος ἁγίων εἰ μὴ ὁ Χριστὸς μόνος, ὡς τοῦ Θεοῦ τοῦ ζῶντος; Αἱ γὰρ ἑβδομήκοντα ἑβδομάδες τετρακόσια ἐνενήκοντα ἔτη σημαίνουσιν. Ἀπὸ δὲ τοῦ Δανιὴλ ἕως τοῦ νῦν ὑπάρχουσιν ἔτη τῶν ὀκτακοσίων πλείω. Δείξουσιν οὖν ἡμῖν λοιπὸν Ἰουδαῖοι, τίς παρ' αὐτοῖς ἐχρίσθη. Ἅγιος ἁγίων μετὰ τετρακόσια ἐνενήκοντα ἔτη τοῦ Δανιήλ, καὶ κατήργησε τὴν θυσίαν καὶ τὴν σπονδὴν τὴν νομικήν; Ἀλλ' οὐκ ἔχουσι δεῖξαι, τίς τοῦτο πεποίηκεν, εἰ μὴ Ἰησοῦς ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ.

3. Ὅτι δὲ ἀληθής ἐστι καὶ οὐ πλάνος, ὁ Χριστὸς ὡς ὑμεῖς νομίζετε, ὦ Ἰουδαῖοι, παραστήσομεν ὑμῖν τοῦτο οὐ διὰ ῥημάτων,

---

1. Ψαλμ. 117, 27. 2. Ψαλμ. 17, 10. 3. Ψαλμ. 79, 2. 4. Ἀββ. 3, 3. 5. Βαρ. 3, 36-38. 6. Δαν. 9, 24. 7. Δαν. 9, 24.

ἀλλὰ διὰ πραγμάτων, μέχρι τοῦ νῦν κραζόντων καὶ μαρτυρούντων ἐν πάσῃ τῇ οἰκουμένῃ· καὶ ὅτι πάντα τὰ ὑπ' αὐτοῦ λεχθέντα γεγόνασιν. Εἶπε γάρ, ὅτι «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.[1]» Ποῖοι δὲ λόγοι, νουνεχῶς, ἀκούσωμεν. Εἶπε περὶ τοῦ ὑμετέρου ναοῦ, ὅτι «Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον ἐπ' αὐτῷ, ὃς οὐ μὴ καταλυθῇ·[2]» Ἆρα γέγονεν αὐτοῦ ὁ λόγος, ἢ οὐ γέγονεν; Εἶπεν, ὅτι ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ὑμῶν τὸ ἔθνος, καὶ τὴν πόλιν καὶ τὸ βασίλειον· Ἆρα γέγονε τοῦτο ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου, ἢ οὐ γέγονεν, Εἶπεν, ὅτι ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου τοῦ Βαπτιστοῦ[3] καὶ παύονται· Ἆρα οὐ γέγονε τοῦτο; Τίς προφήτης παρ' ὑμῖν μετὰ Ἰωάννην τὸν Βαπτιστήν; Εὔδηλον, ὅτι οὐδείς. Εἶπε πάλιν ὁ αὐτὸς Κύριος Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ὅτι κηρυχθήσεται τὸ Εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ·[4] ἆρα γέγοενν τοῦτο, ἢ οὐ γέγονεν; Πάλιν εἶπεν, ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσι τῆς Ἐκκλησίας· Ἆρα ἐψεύσατο; Μὴ γένοιτο! Εἶπεν ἡμῖν τοῖς εἰς αὐτὸν πιστεύουσιν, ὅτι «Ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου·[5]» Ἄρτι εἴπατε ἡμῖν, διὰ τὸ ὄνομα τοῦ Χριστοῦ οὐ πάντα τὰ ἔθνη ἡμᾶς μισεῖ καὶ βδελύττεται; Κἂν ὑμεῖς σιωπήσητε, ἀλλ' οἱ λίθοι κράξονται, καὶ αὐτὴ δὲ τῶν πραγμάτων ἡ ἀλήθεια ἱκανῶς ἐντρέψαι καὶ κατασχῦναι ὑμᾶς δύναται, καὶ πεῖσαι καὶ ἄκοντας, ὅτι Χριστὸς ὁ Θεὸς ἐμφανῶς ἦλθε καὶ ἐπὶ τῆς γῆς ὤφθη, καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ πάλιν ἐπέβη ἐπὶ χερουβίμ, καὶ ἐπετάσθη, καὶ ἀνέβη εἰς οὐρανοὺς ἐν ἀλαλαγμῷ ὡς Θεός.

4. Ἵνα δὲ τελείως τῆς Ἰουδαϊκῆς καταγνῶμεν πωρώσεως, λοιπὸν δὲ καὶ ἡμεῖς οἱ πιστοὶ βεβαιότεροι ἐν τῇ Χριστοῦ πίστει γενώμεθα· φέρε διὰ βραχέων περὶ πάσης τῆς Χριστοῦ οἰκονομίας καὶ περὶ τῆς τοῦ Εὐαγγελίου ἀπολογίας ἐκ τῆς Παλαιᾶς Διαθήκης τὰς μαρτυρίας. ποιησώμεθα. Ἔσται γὰρ πᾶσι τοῖς ἐγκύπτουσιν ἐντεῦθεν ὠφέλεια. Ὅτι προαιώνιος ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἐπ' ἐσχάτων σαρκωθεὶς ἐκ τοῦ ρθ' ψαλμοῦ· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.[6]» Εὔδηλον δέ, ὅτι οὐδεὶς ἀνθρώπων πρὸ ἑωσφόρου ἐγεννήθη. Ὁ γὰρ ἑωσφόρος τῇ δ' ἡμέρᾳ ἐγένετο· ὁ δὲ Ἀδὰμ τῇ ς' ἡμέρᾳ ἐπλάσθη. Ὡσαύτως δὲ καὶ Σολομὼν περὶ τῆς πρὸ αἰώνων ἐκ Θεοῦ καὶ Πατρὸς γεννήσεως τοῦ μονογενοῦς Υἱοῦ καὶ Λόγου Κυρίου ἡμῶν Ἰησοῦ τοῦ Υἱοῦ αὐτοῦ· «Πρὸ τοῦ ὄρη γενηθῆναι, πρὸ τοῦ τὰς πηγὰς προελθεῖν, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.[7]» Ἐρωτητέον οὖν λοιπὸν τὸν Ἰουδαῖον, τίνα ὁ Θεὸς πρὸ πάσης κτίσεως ἐγέννησεν; Ὁμοίως δὲ καὶ τὸ εἰπεῖν τὸν Θεὸν περὶ τοῦ Ἀδάμ, ὅτι «Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν[8]», Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον δηλοῖ. Καὶ πάλιν τὸ

1. Λουκ. 21, 33. 2. Ματθ. 24, 2. 3. Πρβλ. Λουκ. 16, 16. 4. Πρβλ. Ματθ. 26, 12. 5. Ματθ. 24, 9. 6. Ψαλμ. 109, 3. 7. Παρμ. 8, 24-25. 8. Γεν. 3, 22.

εἰπεῖν, ὅτι «Ἔβρεξε Κύριος παρὰ Κυρίου πῦρ ἐπὶ Σόδομα[1]», προφανῶς Πατέρα καὶ Υἱὸν σημαίνει.

5. Ὅτι δὲ ἐνανθρωπῆσαι καὶ σαρκοῦσθαι ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἔμελλεν ὁ Θεὸς Λόγος, ἀκούσωμεν τῶν προφητῶν τὰς φωνὰς λεγόντων, τοῦ μέντοι προφήτου Δαυίδ· «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν·[2]» καὶ πάλιν· «Ὁ Θεὸς ἐμφανῶς ἥξει·[3]» τοῦ δὲ προφήτου Ἡσαΐου· «Οὐκ ἄγγελος οὐδὲ πρέσβυς, ἀλλ' αὐτὸς ὁ Κύριος ἥξει καὶ σώσει ἡμᾶς. Τότε, ὀφθαλμοὶ τυφλῶν ἀνοιχθήσονται, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων, τότε ὁ χωλὸς ὡς ἔλαφος ἁλεῖται.[4]» Ὅτι δὲ ἐκ γυναικὸς παρθένου γεννηθῆναι ὁ Χριστὸς ἔμελλεν, Ἡσαΐου τοῦ προφήτου πάλιν ἀκούσωμεν λέγοντος· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ·[5]» καὶ πάλιν ὁ αὐτός· «Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος, θαυμαστός, σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος.[6]» Εἶτα ὁ αὐτὸς προφήτης λέγει καὶ τὸ ποῦ μέλλει ἐπὶ γῆς, σαρκοῦσθαι ὁ Χριστός, τουτέστιν ἐν Ναζαρέθ. «Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸς θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα.[7]» Πρόδηλον δέ, ὅτι τῶν ἐθνῶν λαὸς ἐκάθητο ἐν σκότει τῆς ἀγνωσίας, πλάνης, καὶ εἰδωλολατρείας. Διὸ καὶ ὁ Δαυίδ, δεικνύς, ὅτι διὰ τὰ ἔθνη ὁ Θεὸς σαρκοῦσθαι ἔμελλεν, ἔλεγεν· «Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη.[8]» Καὶ πάλιν ὁ αὐτὸς προφήτης ὡς ἐκ προσώπου τοῦ Πατρὸς πρὸς τὸν Υἱόν φησιν· «Αἴτησον παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου·[9]» διὸ καὶ «Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας·[10]» καὶ πάλιν· «Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.[11]»

6. Ὅτι δὲ ἐν Βηθλεὲμ (ἥτις ἑρμηνεύεται Οἶκος τοῦ ἄρτου), ἔμελλε γενέσθαι ὁ ἄρτος τῆς ζωῆς καὶ ὅτι προαιώνιός ἐστιν ἡ ἐκ τοῦ Πατρὸς αὐτοῦ γέννησις, ἀκούσωμεν τοῦ προφήτου Μιχαίου λέγοντος· «Καὶ σύ, Βηθλεέμ, οἶκος τοῦ Ἐφραθά, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· Ἐκ σοῦ γάρ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ, καὶ ἔξοδος αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος.[12]» Ὅτι δὲ ἐν Σιὼν μέλλει φανεροῦσθαι ὁ Χριστός, καὶ ὅτι Ὕψιστός ἐστι, Δαυὶδ ὁ προφήτης ἐν τῷ πς' ψαλμῷ οὕτω προφητεύει λέγων· «Μήτηρ Σιὼν ἐρεῖ, Ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.[13]» Ὥστε οὖν ὕψιστός ἐστιν ὁ Χριστὸς

---

1. Γεν. 19, 24. 2. Ψαλμ. 117, 26-27. 3. Ψαλμ. 49, 3. 4. Ἡσ. 35, 4-6. 5. Ἡσ. 7, 14. 6. Ἡσ. 9, 6. 7. Ἡσ. 9, 1-2. 8. Ψαλμ. 46, 9. 9. Ψαλμ. 2, 8. 10. Ψαλμ. 46, 2. 11. Ψαλμ. 85, 9. 12. Μιχ. 5, 1. 13. Ψαλμ. 86, 5.

ὁ Υἱὸς τοῦ Θεοῦ. Ὅτι δὲ τεχθεὶς ὁ Χριστὸς ἔμελλε μετὰ τῆς ἰδίας μητρὸς τῆς πνευματικῆς νεφέλης ἔρχεσθαι εἰς Αἴγυπτον, Ἡσαΐου τοῦ προφήτου ἀκούσωμεν λέγοντος· «Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον καὶ σεισθήσονται τὰ χειροποίητα Αἰγύπτου.[1]» Ὅτι δὲ βαπτιζομένου τοῦ Χριστοῦ, ἔμελλεν ὁ Πατὴρ ἄνωθεν αὐτῷ μαρτυρεῖν, ἐν τῷ κη' ψαλμῷ γέγραπται οὕτω·» Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησεν, Κύριος ἐπὶ ὑδάτων πολλῶν.[2]» Εἶτα περὶ τῶν θαυμάτων καὶ ἰαμάτων, ὧν ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ἐποίησεν, Ἡσαΐας ἡμᾶς διδάσκει λέγων· «Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἦρε καὶ τὰς νόσους ἐβάστασε καὶ περὶ ἡμῶν ὀδυνᾶται.[3]» Ὅτι δὲ εἰρηνεῦσαι τὸν κόσμον ἦλθεν ὁ Χριστός, ἀκούσωμεν τοῦ οα' ψαλμοῦ· «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως ἀνταναιρεθῇ ἡ σελήνη, καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης.[4]» Κἂν εἴπῃ Ἰουδαῖος, ὅτι περὶ Σολομῶντος λέγει ὁ ψαλμός, ψεύδεται. Λέγει γάρ· «Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ· καὶ πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς.[5]» Ταῦτα δὲ οὐ δυνατὸν εἰς Σολομῶντα λέγεσθαι· οὐ γὰρ ἦν αὐτὸς πρὸ ἡλίου.

7. Ὅτι δὲ καὶ διὰ βαπτίσματος ἔμελλεν ὁ Χριστὸς ὁ Θεὸς ἡμῶν καταργεῖν τὸν διάβολον, ὁ ογ' ψαλμὸς μαρτυρεῖ λέγων πρὸς Θεὸν οὕτως· «Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος· σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος.[6]» Ὅτι δὲ ποιητὴς οὐρανοῦ ὁ Χριστός ἐστιν, ὁ ἐν θαλάσσῃ περιπατήσας, τοῦ Ἰὼβ ἀκούσωμεν λέγοντος οὕτως· «Ὁ τανύσας τὸν οὐρανὸν μόνος καὶ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπ' ἐδάφους.[7]» Περὶ δὲ τοῦ πώλου καὶ τῆς ὄνου, ἐφ' ὧν ὁ Χριστὸς ἐπεκάθισεν, ἀκούσωμεν τοῦ προφήτου Ζαχαρίου λέγοντος· «Χαῖρε σφόδρα, θύγατερ, Σιών· κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σῴζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον.[8]» Τί τοίνυν τῶν προφητικῶν τούτων φωνῶν τηλαυγέστερον; Ἀλλ' ὅμως, καίπερ οὕτως τρανῶς περὶ τοῦ Χριστοῦ προφητευόντων, ἀπετύφλωσεν ὁ Σατανᾶς τὰ τῶν Ἰουδαίων ὄμματα, καὶ ἐπήρωσε τὰς τῆς ψυχῆς αὐτῶν κόρας, ἵνα τὰς τοιαύτας μαρτυρίας παραγράφωνται. Ἀκούσωμεν οὖν καὶ περὶ τῶν παίδων, τῶν τῷ Χριστῷ Ὡσανὰ βοησάντων, καὶ Κύριον λεγόντων προφανῶς τὸν Χριστὸν ψαλμῷ η'· «Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ! ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτί-

---

1. Ἡσ. 19, 1. 2. Ψαλμ. 28, 3. 3. Ἡσ. 53, 4-5. 4. Ψαλμ. 71, 6-8. 5. Ψαλμ. 71, 17. 6. Ψαλμ. 73, 13-14. 7. Ἰὼβ 9, 8. 8. Ζαχ. 9, 9.

σω αἶνον.[1]» Περὶ δὲ τῆς τοῦ Ἰούδα προδόσεως ψαλμὸς μα′ λέγει· «Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.[2]» Τὴν δὲ τῶν ἐθνῶν καὶ Ἰουδαίων ἐπιβουλὴν τὴν κατὰ τοῦ Χριστοῦ ὁ β′ ψαλμὸς λέγει· «Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό», ἤγουν Ἄννας καὶ Καϊάφας, καὶ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς «κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.[3]» Ὁ γὰρ πολεμῶν τὸν Υἱόν, ὑβρίζει καὶ τὸν Πατέρα.

8. Περὶ δὲ τῶν δεσμῶν, ὧν ἔδησαν τὸν Χριστόν, λέγει ταλανίζων τοὺς Ἰουδαίους Ἡσαΐας ὁ προφήτης· «Οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι ἐβουλεύσαντο βουλὴν πονηρὰν καθ' ἑαυτῶν λέγοντες· Δήσωμεν τὸν δίκαιον.[4]» Ἐρώτησόν μοι λοιπὸν τὸν Ἰουδαῖον, καὶ εἰπὲ αὐτῷ, ὅτι Τίς ἀνθρώπων ἐπὶ γῆς ἀναμάρτητος; Εὔδηλον, ὅτι οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μία ἡμέρα τῆς ζωῆς αὐτοῦ ἐπὶ τῆς γῆς. Καὶ πάλιν φησὶν ὁ προφήτης πρὸς Θεόν· «Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.[5]» Ὥστε φανερῶς διδασκόμεθα, ὅτι οὐδεὶς ἀναμάρτητος εἰ μὴ μόνος ὁ Θεός. Ἴδωμεν οὖν λοιπὸν τί ὁ προφήτης Ἡσαΐας διαλέγεται ἡμῖν περὶ τοῦ πάθους τοῦ ἀναμαρτήτου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ Υἱοῦ τοῦ Θεοῦ· «Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.[6]» Δῆλον δέ, ὅτι ἐσιώπα ὁ Χριστὸς Πιλάτῳ παριστάμενος ἐπὶ τοῦ πάθους αὐτοῦ. «Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;[7]» Ἤγουν τὴν τῆς θεότητος οὐδεὶς διηγήσεται· κατὰ σάρκα γὰρ γενεαλογεῖται Χριστὸς ὁ Θεὸς ἡμῶν. «Ἀπὸ» γὰρ «τῶν ἀνομιῶν τοῦ λαοῦ ἤχθη εἰς θάνατον.[8]» Πρόδηλον δέ, ὅτι ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ κόσμου Χριστὸς ἀπέθανε. «Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ.[9]» Δῆλον, ὅτι τοὺς Ἰουδαίους παρέδωκε τοῖς Ῥωμαίοις. «Καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ.[10]» Διὰ τί, ὦ προφῆτα; Εἰπὲ ἡμῖν προφανῶς, τίνος χάριν; «Ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ.[11]» Τί πρὸς ταῦτα ἐροῦσιν οἱ Ἰουδαῖοι; Τίς ἄνθρωπος ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, ἁμαρτίαν μὴ ποιήσας; ἀλλ' οὐκ ἔχουσι δεῖξαι ἄνθρωπον ἀναμάρτητον εἰ μὴ μόνον τὸν Θεὸν γενόμενον ἄνθρωπον.

9. Ἀκούσωμεν δὲ καὶ περὶ τῶν ψευδομαρτύρων, τῶν κατὰ τοῦ Χριστοῦ ψευδομαρτυρησάντων, ψαλμοῦ λδ′· «Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων μοι· ἀνταποδεδώκασί μοι πονηρὰ ἀντὶ ἀγαθῶν.[12]» Δῆλον, ὅτι ὧν ὁ Χριστὸς ἐν τῷ λαῷ αὐτῷ πεποίηκε· πρῶτον μὲν τὴν ἔξοδον αὐτῶν τὴν ἐξ Αἰγύπτου, καὶ τὰ λοιπὰ μύρια

---

1. Ψαλμ. 8, 2-3. 2. Ψαλμ. 40, 10. 3. Ψαλμ. 2, 1-2. 4. Ἡσ. 3, 9-10. 5. Ψαλμ. 142, 2. 6. Ἡσ. 53, 7. 7. Ἡσ. 53, 8. 8. Ἡσ. 53, 8. 9. Ἡσ. 53, 9. 10. Ἡσ. 53, 9. 11. Ἡσ. 53, 9. 12. Ψαλμ. 34, 11-12.

ἀγαθά, ἃ εἰς αὐτοὺς εἰργάσατο, ἔπειτα δὲ τοὺς νοσοῦντας αὐτῶν ἰάσατο. Περὶ δὲ τῶν μαστιγωσάντων καὶ ῥαπισάντων τὸν Χριστὸν Ἡσαΐας ὁ προφήτης ὡς ἐκ προσώπου τοῦ Χριστοῦ οὕτως φησί· «Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων.[1]» Ὁμοίως δὲ καὶ ὁ προφήτης Δαυὶδ ἐκ προσώπου τοῦ Χριστοῦ ἐν λζ′ ψαλμῷ λέγει· «Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διὰ παντός.[2]» Περὶ δὲ τῆς πράσεως τοῦ Χριστοῦ λέγει ὁ Ἱερεμίας ὁ προφήτης· «Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὼς συνέταξέ μοι Κύριος.[3]» Ἆρα τοῦτο παραγράψασθαι δύνασθε, ὦ Ἰουδαῖοι, ὅπερ πρὸ ὀφθαλμῶν παντὸς τοῦ κόσμου πρόκειται ἔκτοτε καὶ μέχρι τοῦ νῦν; λέγω δὴ ὁ ἀγρὸς τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. Ὡσαύτως δὲ καὶ Ζαχαρίας ὁ προφήτης λέγει περὶ τῶν τριάκοντα ἀργυρίων ὡς ἐκ προσώπου τοῦ Χριστοῦ· «Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργύρια.[4]» Ὅτι δὲ τὴν ἀρχὴν τῆς σωτηρίας ἡμῶν, ἤγουν τὸν τίμιον σταυρόν, ἐν τοῖς ἰδίοις ὤμοις αὐτοῦ ἐβάστασεν ὁ Χριστὸς ὑψωθεὶς ἐν αὐτῷ, Ἡσαΐας ὁ προφήτης ἐκ Πνεύματος ἁγίου προφητεύσας εἶπεν, ὅτι «Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ τοῦ ὤμου αὐτοῦ·[5]» τουτέστιν ὁ ζωοποιὸς σταυρός. Περὶ δὲ τοῦ ἀκανθίνου στεφάνου γέγραπται ἐν τοῖς Ἄσμασι τῶν ᾀσμάτων· «Θυγατέρες Ἱερουσαλήμ, ἐξέλθετε καὶ ἴδετε τὸν στέφανον ὃν ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ·[6]» τουτέστιν ἡ συναγωγὴ τῶν Ἰουδαίων (μήτηρ γὰρ Χριστοῦ αὕτη κατὰ σάρκα νοεῖται), ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.» Πρόδηλον δέ, ὅτι ἡ ἡμέρα τοῦ πάθους τοῦ Χριστοῦ ἦν ἡμέρα εὐφροσύνης αὐτοῦ διὰ τὴν σωτηρίαν ἡμῶν. Ὥσπερ γὰρ ἄκανθαί τινες, οὕτως ὑπῆρχον αἱ ἁμαρτίαι τοῦ κόσμου, ἅστινας, ἐλθὼν ὁ Χριστὸς ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐξήλειψε. Καὶ καθάπερ διὰ τοῦ καρποῦ τοῦ ξύλου ἡ ἁμαρτία, οὕτω διὰ τοῦ ξύλου τοῦ σταυροῦ ἡ σωτηρία. Καὶ διὰ τοῦτο ἐν κήπῳ τὸ πάθος τοῦ Χριστοῦ γέγονεν, ἐπειδὴ ἐν παραδείσῳ παρέβη ὁ Ἀδάμ. Διὰ τοῦτο καὶ λῃστῇ παράδεισος ἀπὸ σταυροῦ ἀνοίγεται· διὰ τοῦτο δὲ καὶ ὥρᾳ ἕκτῃ ὁ Χριστὸς σταυροῦται, ἐπειδὴ τὸ δειλινὸν ὁ Ἀδὰμ ἐξωρίσθη. Χολῆς γεύεται, ἵνα τὴν γλυκύτητα τῆς πικρᾶς ἡδονῆς τοῦ Ἀδὰμ ἰάσηται· ῥαπίζεται, ἵνα ἐμοὶ τὴν ἐλευθερίαν χαρίσηται· ἐμπτύεται, ἵνα τὸ ἐμφύσημα τοῦ ἁγίου Πνεύματος ἡμῖν χαρίσηται· φραγγελοῦται, ἵνα τὸ ἐπὶ τοῦ νώτου ἡμῶν φορτίον τῶν ἁμαρτιῶν σκορπίσῃ· γυμνοῦται ἐν ξύλῳ, ἵνα τὴν ἐμὴν αἰσχύνην σκεπάσῃ· θανατοῦται, ἵνα ἐμὲ ζωοποιήσῃ· κατακρίνεται, ἵνα ἐμὲ τῆς κα-

1. Ἡσ. 50, 6. 2. Ψαλμ. 37, 18. 3. Πρβλ. Ἱερ. 39, 9. Ματθ. 27, 9. 4. Ζαχ. 11, 12. 5. Ἡσ. 8, 6. 6. Ἄσμ. 3, 11.

τάρας ἀπολύσῃ· καλάμῳ τὴν κεφαλὴν τύπτεται, ἵνα τὴν τοῦ ὄφεως κεφαλὴν συντρίψῃ· λόγχῃ τὴν πλευρὰν νύττεται ἵνα τὴν ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ κτισθεῖσαν θεραπεύσῃ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν καθ' ἡμῶν στρεφομένην παύσῃ, καὶ τὴν ὁδὸν ἡμῖν τοῦ παραδείσου ἀνοίξῃ.

10. Ὅτι δὲ ἐν μέσῳ τῆς γῆς ἔμελλεν ὁ Χριστὸς σταυροῦσθαι, ἐν ογ' ψαλμῷ γέγραπται. «Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.[1]» Καὶ ὅτι μετὰ ληστῶν ἔμελλεν ὁ Χριστὸς σταυροῦσθαι, Ἡσαΐας φησί· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη.[2]» Περὶ δὲ τῶν ἥλων καὶ τοῦ διαμερισμοῦ τῶν ἱματίων αὐτοῦ, ψαλμὸς κα' οὕτω λέγει· «Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.[3]» Ὁμοίως δὲ καὶ Ζαχαρίας ὁ προφήτης περὶ τῶν ἥλων οὕτως ἔφη· «Καὶ ἐροῦσι πρὸς αὐτόν· Τί αἱ πληγαὶ αὗται αἱ ἀνὰ μέσον τῶν χειρῶν σου; Καὶ ἐρεῖ· Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῶν ἀγαπητῶν μου.[4]» Περὶ δὲ τοῦ σκοτασμοῦ ὁ προφήτης Ζαχαρίας λέγει οὕτω· «Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐκ ἔσται φῶς· καὶ ψῦχος καὶ πάγος ἔσται μία ἡμέρα, καὶ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ· καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς.[5]» Ὁμοίως δὲ καὶ Ἀμὼς ὁ προφήτης εἶπε· «Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος, καὶ δύσεται ὁ ἥλιος μεσημβρίας καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς.[6]» Καὶ Ἰωὴλ δὲ ὁ προφήτης λέγει· «Ὁ ἥλιος καὶ ἡ σελήνη σκοτάσουσι καὶ οἱ ἀστέρες δύσουσι τὸ φέγγος αὐτῶν.[7]» Ὁ δὲ Κύριος ἐκ Σιὼν ἀνακράξεται καὶ ἐξ Ἱερουσαλὴμ δώσει φωνὴν αὐτοῦ, καὶ σεισθήσεται ὁ οὐρανὸς καὶ ἡ γῆ. Ὅτι δὲ ἔμελλεν ὄξος καὶ χολὴν ποτίζεσθαι Χριστός, ψαλμοῦ ξη' ἀκούσωμεν· «Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.[8]» Διὸ καὶ ἀρᾶται αὐτοὺς λέγων· «Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτοῦ εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν, τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκυψον. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν·[9]» ἤγουν ὁ ἐν Ἱεροσολύμοις ναὸς αὐτῶν, ὃ δὴ καὶ γέγονε. Καὶ τὰ λοιπὰ δὲ τοῦ ψαλμοῦ, ὡς ἐπὶ κατάρας λεγόμενα, τοῖς Ἰουδαίοις ἁρμόζει, οὓς καὶ Μωσῆς ὠνείδισεν εἰπών· «Καὶ ἔσται ἡ ζωή σου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν σου, καὶ φοβηθήσῃ ἡμέρας καὶ νυκτός, καὶ οὐ πιστεύσεις τῇ ζωῇ σου.[10]»

11. Περὶ δὲ τῆς λόγχης λέγει Ζαχαρίας ὁ προφήτης ὡς ἐκ προσ-

---

1. Ψαλμ. 73, 12. 2. Ἡσ. 53, 12. 3. Ψαλμ. 21, 17-19. 4. Ζαχ. 13, 6. 5. Ζαχ. 14, 6-7. 6. Ἀμ. 8, 9. 7. Ἰωὴλ 2, 10. 8. Ψαλμ. 68, 22. 9. Ψαλμ. 68, 23-26. 10. Δευτ. 28, 66.

ώπου τοῦ Χριστοῦ· «Καὶ ἐπιβλέψονται πρὸς μέ [1]», εἰς ὃν ἐξεκέντησαν. Περὶ δὲ τοῦ ὕδατος τῆς ἁγίας αὐτοῦ πλευρᾶς ὁ αὐτὸς προφήτης εἶπεν· «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ· [2]» Ἀκούσωμεν δὲ καὶ τοῦ προφήτου Ἡσαΐου περὶ τῆς ταφῆς τοῦ Κυρίου λέγοντος, καὶ ὅπως διαγελᾷ τοὺς Ἰουδαίους· «Ἴδετε ὡς δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ.[3]» Εἶπεν οὖν καὶ τὴν αὐτοῦ ἀνάστασιν· καὶ πάλιν· «Ἀπὸ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος, καὶ ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ.[4]» «Ἐν εἰρήνῃ» δὲ λέγει, ὅτι ὁ Πιλᾶτος μετ' εἰρήνης ἀπέδωκε τὸ σῶμα τοῦ Ἰησοῦ τῷ Ἰωσήφ. Ὁμοίως δὲ καὶ Δαυὶδ περὶ τῆς ταφῆς αὐτοῦ ἐν πζ' ψαλμῷ λέγει ὡς ἐκ προσώπου τοῦ Χριστοῦ· «Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.[5]» καὶ πρὸ τούτων· «Καὶ ἐγεννήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος [6]», ἤγουν ἀναμάρτητος. Γέγραπται δὲ καὶ ἐν τῷ Ἰὼβ οὕτως· «Ἀνοίγονταί σοι φόβῳ πύλαι θανάτου· πυλωροὶ δὲ ᾅδου ἰδόντες ἔπτηξαν·[7]» πρόδηλον δέ, ὅτι αἱ ἐναντίαι τῶν δαιμόνων δυνάμεις. Ὁμοίως δὲ καὶ ἐν τῷ ξζ' ψαλμῷ· «Ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις.[8]» Ὅτι δὲ ὁ Χριστὸς ἐν τῷ ᾅδῃ ἀπομένειν οὐκ ἔμελλεν, ἀλλὰ τριήμερος ἀνίστασθαι, ψαλμοῦ ιε' ἀκούσωμεν· «Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.[9]» καὶ πάλιν νς' ψαλμοῦ· «Ἐξεγερθήσομαι ὄρθρου.[10]» Καὶ ὁ προφήτης δὲ Ὠσηὲ οὕτως ἔφη· «Πορευθῶμεν καὶ ἐπιστρέψωμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ὅτι αὐτὸς πεποίηκεν ἡμᾶς καὶ ἰάσεται ἡμᾶς· ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα καὶ ζησόμεθα.[11]» Περὶ δὲ τῶν μυροφόρων γυναικῶν Ἡσαΐας ὁ προφήτης εἶπε· «Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας δεῦτε· οὐ γάρ ἐστι λαὸς ἔχων σύνεσιν.[12]»

12. Περὶ δὲ τῆς ἀναλήψεως του Χριστοῦ ἐν ζ' καὶ ι' ψαλμῷ γέγραπται· «Καὶ ἐπέβη ἐπὶ χερουβίμ, καὶ ἐπετάσθη· ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.[13]» Καὶ πάλιν ἐν μς' ψαλμῷ· «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος·[14]» καὶ ἐν Ζαχαρίᾳ τῷ προφήτῃ· «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ στήσονται οἱ πόδες Κυρίου εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, τὸ κατέναντι Ἱερουσαλὴμ ἐξ ἀνατολῶν.[15]» Περὶ δὲ τῆς ἐνδόξου δευτέρας παρουσίας τοῦ Υἱοῦ τοῦ Θεοῦ λέγει Δανιὴλ ὁ προφήτης· «Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε. Καὶ προσηνέχθη αὐτῷ. Καὶ αὐτῷ ἐδόθη ἀρχὴ καὶ ἡ τιμή, καὶ ἡ βασιλεία· καὶ πάντες οἱ λαοί, φυλαί,

1. Ζαχ. 12, 10. 2. Ζαχ. 14, 8. 3. Ἡσ. 57, 1. 4. Ἡσ. 57, 1-2. 5. Ψαλμ. 87, 7. 6. Ψαλμ. 87, 5. 7. Ἰὼβ 38, 17. 8. Ψαλμ. 67, 7. 9. Ψαλμ. 15, 10. 10. Ψαλμ. 56, 9. 11. Ὠσ. 6, 1-2. 12. Ἡσ. 27, 11. 13. Ψαλμ. 17, 11. 14. Ψαλμ. 46, 6. 15. Ζαχ. 14, 4.

γλῶσσαι δουλεύσουσιν αὐτῷ· Ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται· καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται.[1]» Ἰδοὺ σαφῶς διὰ τῶν εἰρημένων ἐμάθομεν, ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ σαρκωθεὶς καὶ παθὼν δι' ἡμᾶς καὶ ἀναστὰς ἐκ νεκρῶν καὶ ἀναληφθεὶς ἐν δόξῃ πρὸς τὸν ἑαυτοῦ Πατέρα καὶ πάλιν μέλλων ἔρχεσθαι μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δόξης αἰωνίου κρῖναι ζῶντας καὶ νεκρούς. Προεῖπε γὰρ περὶ τούτου ὁ αὐτὸς προφήτης Δανιήλ· «Ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς ἡμερῶν ἐκάθητο· καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιὼν καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν. Ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. Ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ, χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρείστηκαν αὐτῷ. Κριτήριον ἐκάθισε καὶ βίβλοι ἠνεῴχθησαν. Ἐθεώρουν τότε ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων, ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει, ἕως ἀνῃρέθη τὸ θηρίον καὶ ἀπώλετο, καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός.[2]» Πρόδηλον δέ, ὅτι τὸ θηρίον ὁ Ἀντίχριστός ἐστιν. Ὁ γὰρ Υἱὸς τοῦ Θεοῦ ἐρχόμενος, ἀνελεῖ αὐτὸν τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

13. Ταῦτα δὲ ἐκ πολλῶν ὀλίγα ἐκ τῶν ἁγίων Γραφῶν παρεθέμεθα πρὸς μὲν ἡμετέραν τῶν Χριστιανῶν μείζονα πίστιν, πρὸς ἔλεγχον δὲ τῆς Ἰουδαϊκῆς σκληροκαρδίας καὶ φρενοβλαβείας. Ὅτι ὁ εἷς τῆς ἁγίας ζωοποιοῦ Τριάδος, Θεὸς Λόγος καὶ Θεοῦ Υἱός, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, αὐτὸς διὰ τὴν ἡμετέραν σωτηρίαν ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐνηνθρώπησεν ἐκ τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀεὶ παρθένου Μαρίας. Καὶ πάντα θεοπρεπῶς ἀπεργασάμενος, καὶ παθών, καθὼς οἱ ἅγιοι προεῖπον προφῆται, ἔσωσεν ἐκ τῆς τοῦ ἐχθροῦ πλάνης καὶ δουλείας τὸ γένος ἡμῶν. Ὑπὲρ τῶν τοσούτων οὖν εὐεργεσιῶν ὧν τυχεῖν παρὰ τῆς αὐτοῦ ἀγαθότητος ἠξιώθημεν, σπουδάσωμεν εὐάρεστοι αὐτῷ ἀναδειχθῆναι διὰ τῆς τῶν ἁγίων αὐτοῦ ἐντολῶν ἐκπληρώσεως, ὅπως καὶ τῶν αἰωνίων καὶ ἀτελευτήτων ἀγαθῶν ἐπιτύχωμεν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι Πατρὶ αὐτοῦ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Δαν. 7, 13-14. 2. Δαν. 7, 9-11.

*Quæstiones sequentes in Evangelia, ex codice Reg. 2431, nunc primum in lucem prodeunt. Adjiciuntur porro in eodem codice ad calcem Quæstionis 36, ad Antiochum.**

ΕΡΩΤΗΣΙΣ α'. «Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ.[1]» Διὰ τί οὐκ εἶπε· Μνηστευθείσης τῆς παρθένου, ἀλλὰ «τῆς μητρὸς αὐτοῦ.»

ΑΠΟΚΡΙΣΙΣ. Ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον καὶ προσδοκῶντά τι τῶν συνήθων ἀκούσασθαι τὸν ἀκροατήν, καταπλήξῃ τῇ τοῦ παραδόξου πράγματος ἐπαγωγῇ, λέγων· «Πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου.[2]»

Ἐρώτ. β'. «Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου κατ' ὄναρ λέγων·[3]» Διὰ τί μὴ φανερῶς φαίνεται ὁ ἄγγελος τῷ Ἰωσήφ, καθάπερ τοῖς ποιμέσι καὶ τῷ Ζαχαρίᾳ.

Ἀπόκ. Ὅτι σφόδρα πιστὸς ἦν ὁ ἀνήρ, καὶ οὐ δεόμενος τῆς τοιαύτης ὄψεως.

Ἐρώτ. γ'. «Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου.[4]» Διὰ τί εἶπε· Μὴ φοβηθῇς.

Ἀπόκ. Δεικνὺς αὐτὸν δεδοικότα μὴ προσκρούσῃ τῷ Θεῷ, ὡς μοιχαλίδα ἔχων.

Ἐρώτ. δ'. Διὰ τί εἶπε, «τὴν γυναῖκά σου;»

Ἀπόκ. Ὡς μὴ διεφθαρμένης αὐτῆς οὔσης. Καλεῖ δὲ αὐτὴν γυναῖκα ἀπὸ τῆς μνηστείας· ὥσπερ εἰώθαμεν γαμβροὺς λέγειν καὶ προγάμους τοὺς μνηστῆρας.

Ἐρώτ. ε'. «Τέξεται δὲ Υἱόν.[5]» Διὰ τί οὐκ εἶπε· Τέξεται δέ σοι;

Ἀπόκ. Ὅτι οὐκ αὐτῷ ἔμελλε μόνῳ τίκτεσθαι, ἀλλὰ τῇ οἰκουμένῃ πάσῃ.

Ἐρώτ. ζ'. «Ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως.[6]» Διὰ τί προσέθηκε τὸ ἀξίωμα, εἰπών, «τοῦ βασιλέως;»

Ἀπόκ. Ἐπειδὴ καὶ ἕτερος γέγονεν Ἡρώδης ὁ τὸν Πρόδρομον ἀνελών. Ἀλλ' ἐκεῖνος τετράρχης ἦν, οὗτος δὲ βασιλεύς.

Ἐρώτ. ζ'. «Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ.[7]» Διὰ τί οὐκ εἶπε, Τὴν γυναῖκα σου, ἀλλὰ «Τὴν μητέρα αὐτοῦ;»

Ἀπόκ. Ἐπειδή, τοῦ τόκου πέρας λαβόντος, ἐλύθη τε ἡ ὑποψία, καὶ ὁ Ἰωσὴφ ἐπιστώθη. Διὰ τοῦτο οὖν λοιπὸν μετὰ παρρησίας

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σ. 699 ἑξ.

1. Ματθ. 1, 18. 2. Ματθ. 1, 18. 3. Ματθ. 1, 20. 4. Ματθ. 1, 20. 5. Ματθ. 1, 21. 6. Ματθ. 2, 1. 7. Ματθ. 2, 13.

διαλέγεται ὁ ἄγγελος, καὶ οὐκέτι τὴν γυναῖκα αὐτοῦ καλεῖ.

Ἐρώτ. η'. «Καὶ φεῦγε εἰς Αἴγυπτον.[1]» Διὰ τί ἀκούσας· «Φεῦγε εἰς Αἴγυπτον», οὐκ ἐταράχθη;

Ἀπόκ. Ἐπειδὴ πιστὸς ἦν ὁ ἀνήρ, διὸ ὑπακούει καὶ πείθεται.

Ἐρώτ. θ'. Διὰ τί οὐκ εἰς ἄλλην χώραν πέμπεται, ἀλλ' εἰς Αἴγυπτον;

Ἀπόκ. Ἵνα πληρωθῇ ἡ προφητεία ἡ λέγουσα, ὅτι «Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου.[2]»

Ἐρώτ. ι'. «Ἀκούσας δὲ Ἰησοῦς, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν.[3]» Διὰ τί ἀνεχώρησεν;

Ἀπόκ. Παιδεύων ἡμᾶς φεύγειν τοὺς πειρασμούς. Οὐ γὰρ ἔγκλημα τὸ μὴ ῥίπτειν ἑαυτὸν εἰς κίνδυνον, ἀλλὰ τὸ ἐμπεσόντα μὴ στῆναι γενναίως.

Ἐρώτ. ια'. «Ἰδὼν δὲ ὁ Ἰησοῦς τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος.[4]» Διὰ τί ἀνέβη εἰς τὸ ὄρος;

Ἀπόκ. Διὰ τὸ ἀφιλότιμον καὶ ἀκόμπαστον· οὐ γὰρ περιῆγεν αὐτοὺς μεθ' ἑαυτοῦ. Ἀλλ' ὅτε μὲν περιπατῆσαι ἔδει, αὐτὸς μόνος περιήει πανταχοῦ, καὶ πόλεις καὶ χώρας ἐπισκοπούμενος· ὅτε δὲ πολὺς ὄχλος γέγονεν, ἐν ἑνὶ ἐκάθητο τόπῳ.

Ἐρώτ. ιβ'. «Ἀνοίξας δὲ τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτούς.[5]» Διὰ τί εἶπεν· «Ἀνοίξας τὸ στόμα αὐτοῦ;»

Ἀπόκ. Ἵνα μάθωμεν, ὅτι καὶ σιγῶν ἐπαίδευεν, οὐχὶ μόνον φθεγγόμενος.

Ἐρώτ. ιγ' «Προσέχετε», φησί, «τὴν ἐλεημοσύνην μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς.[6]» Διὰ τί ἐπὶ μὲν τῆς ἐλεημοσύνης προσέθηκεν εἰπών, ἐπὶ δὲ τῆς προσευχῆς καὶ τῆς νηστείας οὐδαμῶς;

Ἀπόκ. Ἐπειδὴ τὴν ἐλεημοσύνην μὲν ἀδύνατον πάντῃ λαθεῖν, εὐχὴν δὲ καὶ νηστείαν δυνατόν.

Ἐρώτ. ιδ'. «Ἐν ἀρχῇ ἦν ὁ Λόγος.[7]» Διὰ τί ἀφεὶς τὸν Πατέρα, περὶ τοῦ Υἱοῦ διαλέγεται;

Ἀπόκ. Ὅτι ἐκεῖνος μὲν δῆλον ἅπασιν ἦν, εἰ καὶ μὴ ὡς Πατήρ, ἀλλ' ὡς Θεός· ὁ δὲ Μονογενὴς ἠγνοεῖτο. Καὶ εἰκότως τὴν περὶ αὐτοῦ γνῶσιν ἐκ προοιμίων ἐσπούδασε διδάξαι τοὺς οὐκ εἰδότας αὐτόν.

Ἐρώτ. ιε'. «Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν.[8]» Διὰ τί οὐκ εἶπεν ἐν Θεῷ;

Ἀπόκ. Πρῶτον μὲν τὴν καθ' ὑπόστασιν αὐτοῦ ἀιδιότητα ἐμφαίνων ἡμῖν· εἶτα καὶ σαφέστερον αὐτῷ προϊών, ἀπεκάλυψεν ἐπαγαγών, ὅτι ὁ Λόγος οὗτος καὶ Θεὸς ἦν. «Ἐν τῷ κόσμῳ ἦν·[9]» οὐχ ὡς τοῦ

---

1. Ματθ. 2, 13. 2. Ὠσ. 11, 1. 3. Ματθ. 4, 12. 4. Ματθ. 5, 1. 5. Ματθ. 5, 1. 6. Ματθ. 6, 1. 7. Ἰω. 1, 1. 8. Ἰω. 1, 1. 9. Ἰω. 1, 10.

κόσμου σύγχρονος. Διὰ γὰρ τοῦτο ἐπήγαγε· «Καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο.[1]»

Ἐρώτ. ις' «Καὶ ἀναβλέψας εἰς τοὺς οὐρανούς, εὐλόγησε τοὺς ἄρτους.[2]» Διὰ τί ἀνέβλεψε, καὶ οὕτως εὐλόγησεν;

Ἀπόκ. Πρῶτον μὲν ἵνα δείξῃ, ὅτι ἀπὸ τοῦ Πατρός ἐστι· δεύτερον δὲ παιδεύων ἡμᾶς, μὴ πρότερον ἅπτεσθαι τραπέζης ἕως ἂν εὐχαριστήσωμεν τῷ τὴν τροφὴν ἡμῖν παρέχοντι.

Ἐρώτ. ιζ'. Διὰ τί ἐν ἐρήμῳ τὸ τῶν ἄρτων θαῦμα ποιεῖ, καὶ πεντακισχιλίους τρέφει;

Ἀπόκ. Ἵνα μεθ' ὑπερβολῆς ἀνύποπτον ὑπάρξῃ τὸ θαῦμα, καὶ μηδεὶς νομίσῃ πλησίον κώμην κειμένην εἰσενεγκεῖν τι εἰς τὴν τράπεζαν.

Ἐρώτ. ιη'. Καὶ ἦραν ἐκ τῶν περισσευμάτων κλασμάτων.[3] Διὰ τί οὐχ ὁλόκληροι ἄρτοι, ἀλλὰ κλάσματα ἐπερίσσευσαν.

Ἀπόκ. Ἵνα δείξῃ, ὅτι τῶν πέντε ἄρτων εἰσὶ ταῦτα πλάσματα, καὶ ὥστε τοὺς ἀπόντας μαθεῖν τὸ γεγενημένον, καὶ ἵνα μή τις φαντασίαν νομίσῃ εἶναι τοῦτο.

Ἐρώτ. ιθ'. «Δώδεκα κοφίνους.[4]» Διὰ τί δώδεκα κοφίνους ἐπλήρωσαν;

Ἀπόκ. Ἵνα καὶ Ἰούδας βαστάσῃ. Ἐδύνατο μὲν γὰρ καὶ σβέσαι τῶν ὄχλων τὴν πεῖναν· ἀλλ' οὐκ ἂν ἔγνωσαν οἱ μαθηταὶ τὴν δύναμιν.

Ἐρώτ. κ'. Διὰ τί οὐχ ὁ Πιλᾶτος ὁρᾷ, ἀλλ' ἡ τούτου γυνή;[5]

Ἀπόκ. Πρῶτον μὲν ὅτι ἐκείνη ἀξία ἦν, ἢ μᾶλλον ὅτι, εἰ αὐτὸς εἶδεν, οὐκ ἂν ἐπιστεύθη ὁμοίως· ἢ οὐδ' ἂν ἐξεῖπεν· διὰ τοῦτο οἰκονομεῖται τὴν γυναῖκα ἰδεῖν, ὥστε κατάδηλον γενέσθαι πᾶσιν.

Ἐρώτ. κα'. «Καὶ συσταυροῦσιν αὐτῷ δύο λῃστάς, ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων.[6]» Διὰ τί μέσον αὐτὸν ἐσταύρωσαν τῶν λῃστῶν, καὶ διὰ τί κράξας ἀφῆκε τὸ πνεῦμα;

Ἀπόκ. Ἵνα τῇ δόξῃ τῇ ἐκείνων κοινωνήσῃ, ἢ ἵνα πληρωθῇ τὸ ῥηθέν· ὅτι καὶ «Μετὰ ἀνόμων ἐλογίσθη·[7]» καὶ ἵνα δειχθῇ ὅτι κατ' ἐξουσίαν τὸ πρᾶγμα γίνεται· καθὼς καὶ ἔλεγεν, ὅτι «Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν.[8]»

Ἐρώτ. κβ'. «Πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με.[9]» Πῶς ὁ μὲν Ματθαῖος λέγει, ὅτι εἶπεν ὁ Χριστὸς τῷ Πέτρῳ· «Πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με·» ὁ δὲ Μᾶρκος λέγει[10], ὅτι, ὅτε μὲν ἅπαξ ἠρνήσατο, τότε πρῶτον ἐφώνησεν ὁ ἀλεκτρυών· ὅτε δὲ τρίτον, τότε δεύτερον; Πῶς οὖν εὑρεθήσονται ἀληθῆ ἀμφότερα;

Ἀπόκ. Ἐπειδὴ καθ' ἑκάστην ἀγωγὴν καὶ τρίτον καὶ τέταρτον φωνεῖν εἴωθεν ἀλεκτρυών, δηλῶν ὁ Μάρκος, ὅτι οὐδὲ ἡ φωνὴ αὐτὸν ἐπέσχε, καὶ εἰς μνήμην ἤγαγε, τοῦτό φησιν. Ὥστε ἀμφότερα ἀληθῆ

---

1. Ἰω. 1, 10. 2. Ματθ. 14, 19. 3. Ματθ. 14, 20. 4. Ματθ. 14, 20.
5. Πρβλ. Ματθ. 27, 19. 6. Ματθ. 27, 38. 7. Ἠσ. 53,12. 8. Ἰω. 10,18.
9. Ματθ. 26, 34. 10. Πρβλ. Μάρκ. 14, 30.

εἰσι. Πρὶν ἢ γὰρ τὴν μίαν ἀγωγὴν ἀπαρτίσαι τὸν ἀλεκτρυόνα, τρίτον ἠρνήσατο. Οὕτω δὲ περιδεὴς ἦν καὶ σφόδρα ἀποτεθνηκὼς τῷ δέει, ὅτι οὐ μόνον ἠρνήσατο, ἀλλ' οὐδὲ ἀνεμνήσθη οἴκοθεν, καὶ ταῦτα τοῦ ἀλεκτρυόνος φωνήσαντος, ἕως οὗ τὸ βλέμμα τοῦ διδασκάλου γέγονεν αὐτῷ ἀντὶ φωνῆς. Καὶ τοῦτο ὁ Λουκᾶς δηλῶν φησιν, ὅτι ἐνέβλεψεν εἰς αὐτὸν ὁ Χριστός.[1]»

Ἐρώτ. κγ'. «Καὶ ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς.[2]» Διὰ τί ἐξελθὼν ἔξω ἔκλαυσεν;

Ἀπόκ. Ἐπειδὴ οὐκ ἐτόλμα φανερῶς ἔμπροσθεν πάντων, ἵνα μὴ κατηγορηθῇ διὰ τῶν δακρύων, καὶ γνωσθῇ μαθητὴς αὐτοῦ εἶναι.

Ἐρώτ. κδ'. «Ἐσθιόντων δὲ εἶπεν αὐτοῖς ὁ Χριστός, ὅτι Εἷς ἐξ ὑμῶν παραδώσει με.» Διὰ τί, ἐσθιόντων αὐτῶν, περὶ τῆς προδοσίας αὐτοῖς διαλέγεται;

Ἀπόκ. Ἵνα καὶ ἀπὸ τοῦ καιροῦ καὶ τῆς τραπέζης δείξῃ τὴν πονηρίαν τοῦ προδότου· Καὶ γὰρ καὶ αὐτὸς ἐκεῖ παρῆν.

Ἐρώτ. κε'. «Εἷς ἐξ ὑμῶν παραδώσει με.[3]» Διὰ τί οὐκ εἶπεν. Ὁ δεῖνα με παραδώσει· ἀλλ' «Εἷς ἐξ ὑμῶν παραδώσει με», φειδόμενος καὶ ἐν τούτῳ;

Ἀπόκ. Φειδόμενος καὶ ἐν τούτῳ τοῦ προδότου· ὥστε πάλιν δοῦναι αὐτῷ μετανοίας ἐξουσίαν τοῦ λαθεῖν. Καὶ αἱρεῖται φοβῆσαι ἅπαντας ὑπὲρ τοῦ διασῶσαι τοῦτον.

Ἐρώτ. κϛ'. «Ἦσαν δὲ καὶ αἱ γυναῖκες συνακολουθήσασαι ἀπὸ τῆς Γαλιλαίας.[4]» Διὰ τί μέμνηται τῶν γυναικῶν τῶν συνακολουθησασῶν αὐτῷ;

Ἀπόκ. Ὅπως δείξῃ τὴν πολλὴν αὐτῶν προσεδρίαν, καὶ ὅτι μέχρι τῶν κινδύνων παρῆσαν. Ὅτε γὰρ οἱ μαθηταὶ ἔφυγον, αὗται προσεκαρτέρουν.

Ἐρώτ. κζ'. «Πῶς σύ», φησίν, «Ἰουδαῖος ὢν ζητεῖς παρ' ἐμοῦ πιεῖν ὕδωρ, Σαμαρείτιδος οὔσης;[5]» Πόθεν αὐτὸν γνωρίσασα, Ἰουδαῖον εἶναι, φησί, πρὸς αὐτόν· «Πῶς σὺ Ἰουδαῖος ὤν;»

Ἀπόκ. Ἀπὸ τοῦ σχήματος, ἴσως καὶ τῆς διαλέξεως.

Ἐρώτ. κη'. «Καὶ ἐγέννησε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον.[6]» Διὰ τί εἶπε, «πρωτότοκον;» Οὐδὲ γὰρ ἔσχεν ἄλλον υἱὸν ἡ Παναγία.

Ἀπόκ. Ἐπειδὴ Θεὸς ὑπάρχων ἀληθινὸς ὁ ἐξ αὐτῆς σαρκωθεὶς Κύριος ἡμῶν Ἰησοῦς Χριστός, γέγονεν ἡμῶν διὰ τὴν σάρκωσιν ἀδελφός, τούτου χάριν ὠνομάσθη πρωτότοκος, ὡς πρωτεύων ἐν πᾶσιν αὐτός.

Ἐρώτ. κθ'. «Καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ.[7]» Διὰ τί ἐν τῇ φάτνῃ ἀνεκλίθη;

Ἀπόκ. Ἵνα ἡμᾶς τῆς ἀλογίας ἐλευθερώσῃ, τὸν κτηνοπρεπῆ με-

---

1. Πρβλ. Λουκ. 22, 61. 2. Ματθ. 26, 75. 3. Ματθ. 26,21. 4. Ματθ. 27, 55. 5. Ἰω. 4, 9. 6. Λουκ. 2, 7. 7. Λουκ. 2, 7.

ταμείψαντας βίον, καὶ τὴν ἀνθρώποις πρέπουσαν παράσχῃ σύνεσιν.

Ἐρώτ. λ'. «Ἄνθρωπος κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, καὶ λησταῖς περιέπεσε.[1]» Τίς ὁ ἄνθρωπος, καὶ τίς ἡ Ἱερουσαλήμ, καὶ τίς ἡ Ἱεριχώ, καὶ τίνες οἱ λησταί;

Ἀπόκ. Ἄνθρωπος μὲν ὁ Ἀδάμ. Ἱερουσαλὴμ δὲ ὁ παράδεισος· Ἱεριχὼ δὲ οὗτος ὁ κόσμος, καὶ λησταὶ οἱ δαίμονες.

Ἐρώτ. λα'. Κατὰ συγκυρίαν δὲ ἱερεύς τις ἰδὼν αὐτὸν ἀντιπαρῆλθε· καὶ λευΐτης ὁμοίως. Σαμαρείτης δὲ ἰδὼν αὐτόν, ἐσπλαγχνίσθη, καὶ κατέδησε τὰ τραύματα αὐτοῦ.[2]» Τί ἦν τό, «κατὰ συγκυρίαν;» καὶ τίς ὁ ἱερεύς; καὶ τίς ὁ λευΐτης; καὶ τίς ὁ Σαμαρείτης;

Ἀπόκ. Τὸ μὲν «κατὰ συγκυρίαν» δηλοῖ· τὸ ἐκ θείας οἰκονομίας· ἱερεὺς δέ ἐστιν ὁ νόμος, λευΐτης δὲ οἱ ἀπὸ τῆς λευϊτικῆς ἱερωσύνης διδάσκαλοι· Σαμαρείτης δὲ ὁ Χριστός.

Ἐρώτ. λβ'. Καὶ διὰ τί λέγεται Σαμαρείτης ὁ Χριστός;

Ἀπόκ. Διὰ τὸ τοὺς Ἰουδαίους αὐτὸν οὕτως ἀποκαλεῖν ὅτι «Σαμαρείτης εἶ, καὶ δαιμόνιον ἔχεις.[3]»

Ἐρώτ. λγ'. «Ἐγένετο δέ», φησίν, «ἀποθανεῖν τὸν Λάζαρον καὶ ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων εἰς τοὺς κόλπους τοῦ Ἀβραάμ.[4]» Διὰ τί ἀποθνήσκει πρῶτον ὁ Λάζαρος παρὰ τὸν πλούσιον;

Ἀπόκ. Ἵνα μηδεμιᾶς ἀπολογίας πρόφασις ὑπολείπηται τοῦ πλουσίου, ὡς μέλλοντος εὐποιεῖν εἰς αὐτόν.

Ἐρώτ. λδ'. «Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ ὁ πλούσιος, ὁρᾷ τὸν Λάζαρον ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ.[5]» Διὰ τί οὐκ ἀλλαχοῦ, ἀλλ' ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ ὁρᾷ τὸν Λάζαρον;

Ἀπόκ. Ἐπειδή, ὥσπερ Ἀδὰμ ἐκβαλὼν ὁ Θεὸς ἐκ τοῦ παραδείσου, καταντικρὺ τοῦτον κατῴκισεν, ἵνα ἡ συνεχὴς ὄψις, ἀνανεοῦσα τὸ πάθος, ἀκριβεστέραν αὐτῷ παράσχῃ τῆς ἐκπτώσεως τῶν ἀγαθῶν τὴν αἴσθησιν· οὕτω δὲ καὶ κατέναντι τοῦ Λαζάρου κατῴκισεν, ἵνα μειζόνως κατατρύχηται.

Ἐρώτ. λε'. Καὶ διὰ τί οὐκ ἐν ἄλλῳ δικαίῳ τὸν Λάζαρον ὁρᾷ ὁ πλούσιος, ἀλλ' ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ;

Ἀπόκ. Ἐπειδὴ φιλόξενος ἦν ὁ Ἀβραάμ. Ἵν' οὖν ἔλεγχος αὐτοῦ γένηται τῆς μισοξενίας, διὰ τοῦτο αὐτὸν μετ' ἐκείνου βλέπει. Ἐκεῖνος γὰρ καὶ τοὺς παροδίτας ἐξενοδόχει·[6] οὗτος δὲ καὶ τὸν ἔσω κείμενον παρεώρα.[7]

Ἐρώτ. λς'. «Πάτερ Ἀβραάμ, ἐλέησόν με.[8]» Διὰ τί οὐ πρὸς τὸν Λάζαρον τὸν λόγον ἀπέτεινεν ὁ πλούσιος, ἀλλὰ πρὸς τὸν Ἀβραάμ;

Ἀπόκ. Ἐπειδὴ ᾐσχύνετο καὶ ἠρυθρία· ἐνόμιζε γὰρ αὐτὸν μνησικακεῖν δι' ὧν ἔπραξεν εἰς αὐτόν.

---

1. Λουκ. 10, 30. 2. Πρβλ. Λουκ. 10, 31-35. 3. Ἰω. 8, 48. 4. Λουκ. 16, 22. 5. Λουκ. 16, 23. 6. Πρβλ. Γεν. 18. 7. Πρβλ. Λουκ. 16, 20-21. 8. Λουκ. 16, 24.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΠΕΡΙ ΣΑΒΒΑΤΩΝ ΚΑΙ ΠΕΡΙΤΟΜΗΣ, ΕΚ ΤΗΣ ΕΞΟΔΟΥ*

1. «Καὶ φυλάξουσιν οἱ υἱοὶ Ἰσραὴλ τὰ Σάββατα, ποιεῖν αὐτὰ εἰς τὰς γενεὰς αὐτῶν. Διαθήκη αἰώνιος ἐν ἐμοὶ καὶ τοῖς υἱοῖς Ἰσραήλ, σημεῖόν ἐστιν ἐν ἐμοὶ αἰώνιον, ὅτι ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσε.[1]» Σημεῖόν ἐστι τοῦ εἰδέναι τὴν τῆς κτίσεως ἡμέραν, καὶ τὸ ταύτης τέλος. Ἀκόλουθον ἦν ἕως τὰ τῆς κτίσεως ἐνεργεῖτο, ἐπὶ τῆς Ἱερουσαλὴμ ἕως τότε φυλάττειν τὰ σάββατα. Ἐλθούσης δὲ τῆς ἑτέρας γενεᾶς καὶ τοῦ κτιζομένου λαοῦ, κατὰ τὸ λεγόμενον· «Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον·[2]» ἀνάγκη μηκέτι τὸν λαὸν τοῦτον τηρεῖν τὸ τῆς προτέρας κτίσεως τέλος, ἀλλὰ τὴν ἀρχὴν τῆς δευτέρας κτίσεως ζητεῖν. Τίς δέ ἐστιν, ἢ καθ' ἣν ἀνέστη ὁ Κύριος; Ἔκτοτε γὰρ ἀρχὴν ἔσχεν ἡ καινὴ κτίσις, περὶ ἧς εἶπεν ὁ Παῦλος· «Ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις.[3]» Τὴν μὲν οὖν προτέραν κτίσιν ποιῶν ὁ Θεὸς κατέπαυσε· διὰ τοῦτο καὶ τὸ Σάββατον ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐτήρουν οἱ τῆς γενεᾶς ἐκείνης· ἡ δὲ δευτέρα κτίσις τέλος οὐκ ἔχει· διὰ τοῦτο οὐδὲ κατέπαυσεν, ἀλλ' ἕως ἄρτι ἐργάζεται. Ὅθεν οὐδὲ σαββατίζομεν ἡμέραν ὡς ἐπὶ τῇ πρώτῃ, ἀλλὰ τὰ μέλλοντα ἐλπίζομεν Σάββατα σαββάτων, ἃ οὐ τέλος λαμβάνει ἡ καινὴ κτίσις, ἀλλὰ φανεροῦται καὶ διόλου ἑορτάζει. Διὰ γὰρ τοῦτο ἐδόθη τὸ Σάββατον τῷ προτέρῳ λαῷ, ἵνα γινώσκῃ καὶ τὸ τέλος καὶ τὴν ἀρχὴν τῆς κτίσεως. Τῇ δὲ καινῇ κτίσει οὐκ ἐνετείλατο φυλάττειν Σάββατον· ἵνα τὴν μὲν ἀρχὴν ἐν τῇ Κυριακῇ γινώσκῃ, ἀτελεύτητον δὲ ἐπίσταται τὴν ταύτης χάριν.

2. Διὰ τοῦτο δὲ καὶ τὴν ἀρχήν, τουτέστιν τὴν Κυριακὴν ἐδήλωσεν, ἵνα τὸ τέλος τῆς παρελθούσης γινώσκῃς. Ὁ γοῦν Ἀπόστολος περὶ τῆς προτέρας γράφων φησίν· «Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ·[4]» καὶ πάλιν· «Ἐπὶ συντελείᾳ τῶν αἰώνων.[5]» Οὐκοῦν ἡ μὲν πρώτη πεπλήρωται καὶ τετελείωται, οὐκ ἄλλοτε ἢ ὡς οἱ προφῆται ἔλεγον· «Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου.[6]» Τέλος δὲ ἐχουσῶν τῶν πρώτων ἡμερῶν, ἄλλαι γίνονται, ὡς ὁ Ἱερεμίας φησίν· «Ἰδοὺ ἡμέραι ἔρχονται,

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 28, σ. 133-141.

1. Ἐξ. 31, 16-17. 2. Ψαλμ. 101, 19. 3. Β' Κορ. 5, 17. 4. Γαλ. 4, 4. 5. Ματθ. 13, 40. 6. Ἰωὴλ 2, 28.

λέγει Κύριος.[1]» Τέλος δὲ ἐχούσης τῆς πρώτης, ἀκολούθως ἑτέρας ἀρχὴ γέγονε· διὰ τοῦτο μετὰ τὸ Σάββατον ἀνέστη ὁ Κύριος· οὐ γὰρ προηγουμένως εἵνεκεν τοῦ ἀργεῖν τοὺς ἀνθρώπους ἐδίδου τὸ Σάββατον ὁ Θεὸς ὁ λέγων· «Ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκάνθαις[2]», καὶ ὁ προστάττων ἐν τοῖς Ἀριθμοῖς· «Καὶ τῇ ἡμέρᾳ τῶν Σαββάτων προσάξετε δύο ἀμνοὺς ἐνιαυσίους ἀμώμους, καὶ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν καὶ σπονδήν, καὶ ὁλοκαύτωμα Σαββάτων ἐν τοῖς Σαββάτοις ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντός.[3]» Καὶ πάλιν πρὸ ὀλίγων λέγει ἐν τοῖς ἀνωτέρω· «Καὶ ἐπιθήσετε ἐπὶ τὸ θῦμα λίβανον καθαρὸν καὶ ἅλας, καὶ ἔσονται εἰς ἄρτους εἰς ἀνάμνησιν, προκείμενα τῷ Κυρίῳ. Τῇ ἡμέρᾳ τῶν Σαββάτων προτεθήσεται ἔναντι Κυρίου διαπαντὸς ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ διαθήκην αἰώνιον.[4]» Εἰ γὰρ ἔμελλεν αὐτῷ περὶ ἀργίας, οὐκ ἂν προτιθέναι, καὶ προσάγειν, καὶ σφάζειν, ἐκέλευε τοὺς Λευΐτας. Εἰ γὰρ ἡ ἀργία ἁγιάζει, δηλονότι ἡ ἐργασία μολύνει· ἀλλ' οἱ Λευῖται ἐργαζόμενοι οὐ μολύνονται· οὐκ ἄρα ἡ ἀργία καθαρίζει. Ἢ διὰ τί μόνοι οἱ Λευῖται τοῦ ἁγιασμοῦ στερίσκονται, προσάγοντες, καὶ σφάζοντες, καὶ προτιθέντες ἐν τῷ Σαββάτῳ; Τοσούτῳ γὰρ ἀπέχονται τοῦ πλημμελεῖν, ὅσῳ καὶ ἱλάσκονται ὑπὲρ τῶν προσφερόντων.

3. Οὐκοῦν οὐκ ἀργίαν σημαίνει τὸ Σάββατον, ἀλλὰ γνῶσιν μὲν τοῦ Ποιητοῦ, παῦλαν δὲ τοῦ σχήματος τῆς κτίσεως ταύτης, ὡς καὶ ἐν τῷ Ἰεζεκιὴλ διαμαρτύρεται λέγων ὁ Θεός· «Καὶ τὰ Σάββατά μου ἔδωκα τοῦ εἶναι εἰς σημεῖον ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον αὐτῶν τοῦ γνῶναι αὐτούς, ὅτι ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.[5]» Γνώσεως ἄρα καὶ οὐκ ἀργίας ἕνεκεν ἐδόθη τὸ Σάββατον· ὡς εἶναι μᾶλλον τὴν γνῶσιν ἀναγκαιοτέραν τῆς ἀργίας. Διὰ τοῦτο ὁ Κύριος ἔλεγε τοῖς αἰτιωμένοις τοὺς μαθητὰς ἐπὶ τῷ τίλλειν στάχυας· «Εἰ ἐγνώκειτε τί ἐστιν, Ἔλεον θέλω καὶ οὐ θυσίαν.[6]» Ἀργοῦντας γὰρ αὐτοὺς ἐν τῷ Σαββάτῳ ᾐτιᾶτο, ὅτι τὸ ἴδιον τοῦ Σαββάτου οὐκ ἔχετε, ὅπερ ἐστὶν ἡ πρὸς τὴν ἀλήθειαν γνῶσις. Διὰ τοῦτο καὶ περὶ τὴν Ἱεριχὼ κελεύονται σαλπίζειν οἱ τὸν νόμον τοῦ Σαββάτου λαβόντες ἑπτὰ ἡμέραις, ἐν αἷς ἑπτὰ καὶ τὸ Σάββατον ἐμπίπτει. Εἰ τοίνυν ἕνεκα τοῦ ἀργεῖν ἐδόθη τὸ Σάββατον, διὰ τί ἐργάζεσθαι προστάττονται σαλπίζοντες; Ἀλλ' ἠπίστατο, ὅτι σαλπίζοντες ἐσαββάτιζον, οὐκ ἀργοῦντες, ἀλλὰ γινώσκοντες τὸν βοηθοῦντα αὐτοῖς Κύριον· ὥσπερ καὶ ἐπὶ τοῦ περιτεμνομένου ὀκταημέρου· ἀνάγκην γὰρ ἔχει καὶ τῷ Σαββάτῳ περιτέμνειν, καὶ ὅμως σαββατίζει, ἐργαζόμενος μέν, γινώσκων δὲ τὸν Θεόν. Ἀμέλει καὶ τὰς μὴ ἡμέρας τῶν Σαββάτων, ὅμως διὰ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τὴν τῆς θεογνωσίας χάριν, Σάββατα ὀνομάζειν εἴωθεν ὁ νόμος, μᾶλλον δὲ ὁ Κύριος τοῦ νόμου, ὡς ἐν τῷ Λευϊτικῷ· καὶ ἐλάλησε Κύριος

1. Ἱερ. 9, 25. 2. Παρμ. 15, 19. 3. Ἀριθ. 28, 9-10. 4. Λευϊτ. 24, 7-8. 5. Ἰεζ. 20, 12. 6. Ματθ. 12, 7.

πρὸς Μωσῆν λέγων· «Καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου ἡμέρα ἐξιλασμοῦ κλητὴ ἁγία ἔσται ὑμῖν· καὶ ταπεινώσατε τὰς ψυχὰς ὑμῶν καὶ προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ. Πᾶν ἔργον οὐ ποιήσετε ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ·[1]» καὶ μετ' ὀλίγα· «Καὶ ἔσται πᾶσα ψυχή, ἥτις ποιήσει ἔργον ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. Πᾶν ἔργον οὐ ποιήσετε, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. Σάββατα σαββάτων ἔσται ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν ἀπὸ ἐνάτης τοῦ μηνός, ἀπὸ ἑσπέρας ἕως ἑσπέρας, καὶ σαββατιεῖτε τὰ Σάββατα ὑμῶν.[2]»

4. Οὐκοῦν οὐχ ἡ ἑβδόμη ἐστὶ τὸ Σάββατον, ἀλλ' ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ὅτε τις ἀπ' αὐτῶν καταπαύει. Οὐδὲ ἡ ἀργία ἐστὶ τὸ Σάββατον, ἀλλ' ἡ ἐξομολόγησις καὶ τὸ ταπεινοῦν τὴν ψυχήν. Οὐ γὰρ ὡρισμένως τῷ Σαββάτῳ, εἴρηκεν, ἀλλ' ἁπλῶς τῇ δεκάτῃ, ἣν συμβαίνει ἀπαντᾶν μὴ ἐν Σαββάτῳ. Καὶ ὅμως τὴν ἀπαντῶσαν ἡμέραν διὰ τὸν ἐξιλασμὸν Σάββατον οὐχ ἁπλῶς, ἀλλὰ Σάββατα σαββάτων ὀνομάζει. Εἰ δὲ ταύτην Σάββατον ὀνομάζει, ἐν δὲ Σαββάτῳ ἐργάζεσθαι κελεύει· οὐκ ἄρα ἀργίας προηγουμένως ἐστὶ νόμος τὸ Σάββατον, ἀλλὰ γνώσεως καὶ ἐξιλασμοῦ, καὶ ἀργίας ἀπὸ κακίας πάσης. Οὐ διὰ τὴν ἀργίαν οὖν τὸ Σάββατον δέδωκεν, ἀλλὰ πρὸς τὸ γινώσκειν αὐτοὺς τὴν κατάπαυσιν τῆς κτίσεως. Ἐνετείλατο γὰρ ὁ Θεὸς λέγων· «Ἵνα γινώσκητε, ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ κατέπαυσε Κύριος ὁ Θεὸς ὑμῶν ἀπὸ τῶν ἔργων, ὧν ἤρξατο ποιῆσαι.[3]» Ἤθελε δὲ αὐτοὺς γινώσκοντας τὸ τέλος ταύτης ἀρχὴν ζητεῖν ἑτέρας. Τέλος μὲν οὖν τῆς προτέρας κτίσεως ἦν τὸ Σάββατον, ἀρχὴ δὲ τῆς δευτέρας, ἡ Κυριακή, ἐν ᾗ τὴν παλαιὰν ἀνενεώσατο καὶ ἀνεκαίνισεν. Ὥσπερ οὖν ἐνετείλατο φυλάττειν πρότερον τοῦ Σαββάτου τὴν ἡμέραν, μνήμην οὖσαν τοῦ τέλους τῶν προτέρων, οὕτως τὴν Κυριακὴν τιμῶμεν, μνήμην οὖσαν ἀρχῆς δευτέρας ἀνακτίσεως. Οὐ γὰρ ἄλλην ἐπέκτισεν, ἀλλὰ τὴν παλαιὰν ἀνεκαίνισε, καὶ ἣν ἤρξατο ποιεῖν ἐτελείωσε. Διὰ τοῦτο ἐν μὲν τῇ ἕκτῃ τὰ γενόμενα συνετελέσθη, καὶ τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάντων· ἐν δὲ τῷ Εὐαγγελίῳ ἐλθὼν ὁ Λόγος φησίν· «Ἦλθον τελειῶσαι τὸ ἔργον.[4]» Ὁ γὰρ ἀπὸ πάντων καταπαύων, σημαίνει τινὰ δεῖσθαι τέλους, ἅπερ ἐλθὼν ἐπετελείωσε. Φησὶ γὰρ ἐν τῷ κατὰ Ἰωάννην· «Τὰ ἔργα ἃ δέδωκέ μοι ὁ Πατήρ, ἵνα τελειώσω αὐτά· αὐτὰ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ.[5]»

5. Ἀτελὲς μὲν γὰρ ἦν τὸ ἔργον, εἰ, ἁμαρτήσαντος τοῦ Ἀδάμ, ἀπέθνησκεν ὁ ἄνθρωπος· τέλειον δὲ γέγονε, ζωοποιηθέντος αὐτοῦ. Διὰ τοῦτο, τὴν ἐν ἓξ ἡμέραις κτίσιν ἀνακαινίσας, ἡμέραν τίθησι τῇ ἀνακαινίσει, ἣν διὰ τοῦ ψαλμοῦ προαναφωνεῖ λέγον τὸ Πνεῦμα. «Αὕτη ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος.[6]» Ἀνθ' ἡλίου γὰρ Θεὸς ἀνατέλ-

---

1. Λευϊτ. 23, 27-28. 2. Λευϊτ. 23, 30-32. 3. Πρβλ. Ἔξ. 31, 17. 4. Ἰω. 4, 34. 5. Ἰω. 5, 36. 6. Ψαλμ. 117, 24.

λει, καταυγάζων τῇ ἑκάστου ψυχῇ· διὰ τοῦτο καὶ ἐν αὐτῷ τῷ σωτηρίῳ πάθει οὐκ ἔφανεν ἥλιος, σημαίνων τέλος μὲν τῆς προτέρας κτίσεως, ἀρχὴν δὲ ἑτέρας, τὴν ἐκ τοῦ Σωτῆρος ἀνατέλλουσαν· ἣν ἑωρακὼς ὁ προφήτης φησίν· «Ἰδοὺ ἀνήρ, ὄνομα αὐτῷ·[1]» καὶ πάλιν· «Ὑμῖν δὲ τοῖς φοβουμένοις αὐτὸν ἀνατελεῖ ἥλιος δικαιοσύνης.[2]» Οὐ γὰρ πάντων ἡμέρα αὕτη, ἀλλὰ τῶν ἀποθανόντων τῇ ἁμαρτίᾳ, ζώντων δὲ τῷ Κυρίῳ. Διὰ τοῦτο γὰρ καὶ τῇ ὀγδόῃ ἡμέρᾳ περιτέμνεσθαι ἐκέλευσεν ὁ νόμος· καὶ ἀπαράβατος ἦν ἡ ἐντολή, σημαίνουσα τὴν μετὰ τὴν ἑβδόμην ἀναγέννησιν πάντων. Ἡ γὰρ περιτομὴ οὐδὲν ἄλλο ἐδήλου ἢ τὴν τῆς γενέσεως ἀπέκδυσιν· τὸν γὰρ τῇ ἕκτῃ ἀποθανόντα ἀπεκδιδυσκόμεθα καὶ ἀνακαινούμεθα τῇ Κυριακῇ, ὅτε ὁ παλαιός, ἀπεκδυθείς, ἀνεγεννήθη τῇ ἀναστάσει. Τοῦτο γὰρ καὶ ὁ Παῦλός φησιν ἐν τῇ πρὸς Κολοσσαεῖς· «Ἐν ᾧ καὶ παριετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι εἰς τὸν ᾅδην, ἐν ᾧ καὶ συνηγέρθητε.[3]» Τῆς γὰρ διὰ τοῦ βαπτίσματος ἀπεκδύσεως τύπος ἦν ἡ περιτομή· ἣν ἐν ἐκείνοις τοῖς μέλεσιν ἐνετείλατο γίνεσθαι, δι' ὧν καὶ γεννᾶται τὸ σῶμα, ἵν εἰδεῖεν οἱ περιτεμνόμενοι, ὅτι ἀπεκδύσεως παλαιότητός ἐστι σημεῖον. Πιστεύσας γὰρ Ἀβραὰμ ἔλαβε τὴν περιτομήν, σημεῖον οὖσαν τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως. Διὰ τοῦτο ἐλθόντος τοῦ σημαινομένου πέπαυται τὸ σημεῖον. Ἡ μὲν γὰρ περιτομὴ σημεῖον ἦν, τὸ δέ γε λουτρὸν τῆς παλιγγενεσίας τὸ σημαινόμενον. Ὅλου γὰρ τοῦ παλαιοῦ ἀπεκδιδυσκομένου, περιττὴ ἡ διὰ τοῦ μέρους σημασία. Καὶ ὥσπερ ἡ Κυριακὴ ἀρχὴ τῆς κτίσεώς ἐστι, καὶ παύει τὸ Σάββατον· οὕτως ἡ αὐτὴ ἀναγεννήσασα τὸν ἄνθρωπον ἔπαυσε τὴν περιτομήν. Ἀμφότερα γὰρ ἐν τῇ ὀγδόῃ κατώρθωται, καὶ ἡ ἀρχὴ τῆς κτίσεως, καὶ ἡ ἀναγέννησις τοῦ ἀνθρώπου. Διὰ τοῦτο ἡ ὀγδόη τὸ Σάββατον ἔλυσε, καὶ οὐ τὸ Σάββατον τὴν ὀγδόην. Ἐν μὲν γὰρ Σαββάτῳ περιετέμνετο ὁ ἄνθρωπος· ἐν δὲ τῷ Σαββάτῳ οὐκ ἤργει ἡ περιτομή. Ἡ γὰρ ὀγδόη, ἀρχὴ οὖσα τῆς ἀνακτίσεως, κατέπαυσε τὴν πρώτην.

6. Ἡγοῦμαι δὲ καὶ διὰ τοῦτο τὴν περιτομὴν δεδόσθαι. Τοῦ γὰρ Ἀδὰμ ἀκούσαντος· «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ[4]», ἔθνησκε καὶ διεφθείρετο τὸ σῶμα· ὅθεν μέρος τι τοῦ σώματος, καὶ τοῦτο τὸ αἴτιον τῆς τοῦ σώματος γενέσεως προσετάχθησαν ἐκτιννύειν, προδιδασκόμενοι τὴν τοῦ ὅλου ἀπέκδυσιν, ἵν', ὥσπερ ἀποδιδόντες τὸ κατακριθέν, διασωθῆναι δυνηθῶσι. Καὶ ὥσπερ αἱ θυσίαι σκιαὶ ἦσαν τῶν μελλόντων, οὕτως καὶ ἡ ἐκ μέρους περιτομὴ τοῦ ὅλου ἦν σκιά. Τοῦτο δὲ καὶ ἐν τῷ Ἰησοῦ τῷ τοῦ Ναυῆ φανερῶς ὁ λόγος σημαίνει· τοῦ γὰρ Ἰησοῦ κατὰ πρόσταξιν τοῦ Θεοῦ περιτέμνοντος τὸν λαὸν ἐν Γαλγάλοις πέραν τοῦ Ἰορδάνου, εἶπε Κύριος τῷ Ἰησοῦ υἱῷ Ναυῆ· «Ἐν τῇ σήμερον ἡμέρᾳ

1. Ζαχ. 6, 12. 2. Μαλ. 4, 2. 3. Πρβλ. Κολ. 2, 11-12. 4. Γεν. 3,19.

ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ' ὑμῶν· Καὶ ἐκάλεσα, φησίν, ὄνομα τοῦ τόπου ἐκείνου Γάλγαλα.[1]» Εἰ γὰρ ἡ περιτομὴ ἀφαίρεσίς ἐστι τῆς ἐν Αἰγύπτῳ γενέσεως, δηλονότι ἡ ἀκροβυστία, Αἰγυπτιακῆς σχέσεως καὶ γενέσεως γνώρισμά ἐστι. Τοῦτο δὲ ἀφεῖλεν ὁ Θεός, ἵνα μηκέτι ὡς ἐν Αἰγύπτῳ γεννηθέντες ὦσιν, ἀλλὰ τῆς ἐπαγγελίας, εἰς ἣν εἰσῆξεν αὐτοὺς ὁ Κύριος, τέκνα λογίζωνται. Τούτων δὲ οὕτως ὄντων, φαίνεται καθόλου ἡ περιτομὴ δοθεῖσα, ἵν' ἀφαιρεθῇ ὁ ὀνειδισμὸς τῆς γηΐνης γενέσεως ἀπὸ τῶν Ἀβραμιαίων, καὶ μηκέτι ὑπεύθυνοι ὦμεν τῷ· «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.» Ἀφῃρέθη γὰρ ὁ ὀνειδισμὸς τοῦ παραπτώματος. Τοῦτο δὲ ἐγένετο τότε εἰς τύπον τοῦ διὰ Χριστοῦ βαπτίσματος. Τότε γὰρ ἐκ μέρους ἐγένετο, ὡς ἐν σκιᾷ, νῦν δέ, ὥσπερ εἶπεν ὁ Ἀπόστολος, ὅλην τὴν γηΐνην γένεσιν ἀπεκδιδυσκόμεθα, διὰ τοῦ λουτροῦ ἀναγεννώμενοι, ἵνα μηκέτι κατὰ τὴν πρώτην γένεσιν ἀποθνήσκωμεν, ἀλλὰ κατὰ τὴν περιτομὴν τῆς ἀπεκδύσεως τοῦ σώματος, ἣν διὰ τοῦ λουτροῦ ἀπεκδιδυσκόμεθα, ζήσωμεν.[2] Ὥσπερ δὲ εἶπεν ὁ Κύριος τῷ Ἰησοῦ· «Ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἐν τῇ σήμερον ἡμέρᾳ ἀφ' ὑμῶν·» οὕτως πολλῷ πλέον λεχθείη ἂν ἑκάστῳ τῶν νῦν βαπτιζομένων· Ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀφεῖλον τὸν ὀνειδισμὸν τῆς γηΐνης γενέσεως, καὶ τὸν ὀνειδισμὸν τῆς τοῦ θανάτου φθορᾶς ἀπὸ σοῦ, ἐν τῇ σήμερον ἡμέρᾳ.

---

1. Ἰ. Ναυῆ 5, 9. 2. Πρβλ. Ῥωμ. 6, 4-7.

ΤΟΥ ΑΥΤΟΥ,

ΔΙΑ ΤΙ ΕΚΛΗΘΗ Ο ΜΕΛΧΙΣΕΔΕΚ «ΑΠΑΤΩΡ, ΑΜΗΤΩΡ ΚΑΙ ΑΓΕΝΕΑΛΟΓΗΤΟΣ.*[1]»

Ἱστορία εἰς τὸν Μελχισεδέκ.

Ἐν τῷ καιρῷ ἐκείνῳ ἦν τις βασίλισσα Σαλήμ, κατὰ τὸ ὄνομα τῆς πόλεως· ἐγέννησε δὲ τὸν Σαλαάδ. Σαλαὰδ δὲ ἐγέννησε Μελχί. Μελχὶ δὲ ἔσχε γυναῖκα κατὰ τὸ ὄνομα αὐτῆς Σαλήμ· ἔτεκε δὲ αὐτῷ δύο υἱούς, ἕνα καλούμενον τὸν Μελχί, καὶ ἕτερον Μελχισεδέκ. Ἦν δὲ ὁ πατὴρ αὐτῶν Ἕλλην, ἄσωτος, θυσίας ἐπιτελῶν τοῖς εἰδώλοις. Συνέφθασε δὲ καιρὸς ἐπιτήδειος τοῦ θυσιάζειν τοῖς εἰδώλοις· ἦν γὰρ θυσιάζων ἐν τῷ δωδεκαθέῳ· καὶ λέγει Μελχὶ ὁ βασιλεὺς τῷ ἑαυτοῦ υἱῷ Μελχισεδέκ· Λάβε μετὰ σοῦ ἐκ τῶν παιδαρίων, καὶ ἄπελθε εἰς τὸ βουκόλιον, καὶ πρόσαγέ μοι ἑπτὰ μόσχους, ἵνα θύσωμεν τοῖς θεοῖς. Ἀπερχόμενος οὖν ὁ Μελχισεδέκ, ἔννοια θεϊκὴ ἐπῆλθεν αὐτῷ κατὰ τὴν ὁδόν, καὶ ἀτενίσας τοῖς ὀφθαλμοῖς αὐτοῦ εἰς τὸν οὐρανόν, ἠτένιζε τῷ ἡλίῳ, καὶ ἐνεθυμεῖτο περὶ τῆς σελήνης καὶ τῶν ἄστρων· καὶ ἐν αὐτῷ γενόμενος εἶπεν· Εἴ τις ἐποίησε τὸν οὐρανόν, τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ τὰ ἄστρα, ἐκείνῳ ὀφείλει δοθῆναι ἡ θυσία τῷ κτίσαντι αὐτά. Ἔκδηλόν με ποιοῦσι τὰ σημεῖα τοῦ οὐρανοῦ, ὅτι ὁ κτίστης αὐτῶν, ἐπάνω αὐτῶν ἐπαναπαύεται, ἄφθαρτος, ἀόρατος, ἀθάνατος μόνος Θεὸς ὑπάρχων ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ἐπιστάμενος βλασφημίας καρδιῶν· αὐτός ἐστιν ἀληθινὸς Θεός· αὐτῷ ὀφείλει δοθῆναι ἡ θυσία. Ἀπέλθω οὖν πρὸς τὸν πατέρα μου, καὶ συγγνωμήσομαι αὐτῷ· ἴσως ἀκούσεταί μου. Ἀνέλυσε δὲ ὁ Μελχισεδέκ, μηδὲν ἀποφέρων. Ἰδὼν δὲ αὐτὸν ὁ πατὴρ αὐτοῦ, λέγει αὐτῷ· Ποῦ εἰσιν οἱ μόσχοι; Ὁ δὲ Μελχισεδὲκ λέγει αὐτῷ· Μὴ ὀργίζου, πάτερ βασιλεῦ, ἀλλ' ἄκουσόν μου. Ὁ δὲ εἶπε· Τί ἔχεις εἰπεῖν, εἰπὲ διὰ τάχους. Ὁ δὲ Μελχισεδὲκ λέγει· Δεῦρο, τὴν θυσίαν ἣν ἔχομεν δοῦναι, μὴ δῶμεν αὐτὴν τοῖς θεοῖς τούτοις· οὗτοι γὰρ οὐ φαίνονταί μοι θεοί· ἀλλὰ μᾶλλον δῶμεν θυσίαν τῷ ἐπαναπαυομένῳ ἐπάνω τῶν οὐρανῶν. Αὐτὸς γὰρ Θεὸς θεῶν. Ὁ δὲ πατὴρ αὐτοῦ ὀργισθεὶς λέγει αὐτῷ· Πορεύου· ἄγαγε ἃ εἶπόν σοι· ἐπεὶ οὐ ζήσῃ. Ἀπιόντος δὲ αὐτοῦ πάλιν τοῦ Μελχισεδὲκ εἰς τὸ βουκόλιον, εἰσῆλθεν ὁ βασιλεὺς Σαλὴμ Μελχὶ πρὸς Σαλὴμ τὴν γυναῖκα αὐτοῦ, λέγων αὐτῇ· Δεῦρο, δῶμεν θυσίαν ἕνα τῶν υἱῶν ἡμῶν. Ἡ δὲ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σ. 525-529.

1. Ἑβρ. 7, 3.

γυνὴ αὐτοῦ, ἀκούσασα, ἔκλαυσε πικρῶς· ἔγνω γὰρ ὅτι προφάσει θέλει ὁ βασιλεὺς φονεῦσαι τὸν Μελχισεδέκ, ὅτι ὠνείδισεν αὐτῷ ἐπὶ τὴν θυσίαν. Καὶ ἀνεστέναζεν ἡ βασίλισσα, καὶ εἶπεν· Οἴμοι, ἐκοπίασα καὶ ἐμόχθησα εἰς κενόν. Ἰδὼν δὲ αὐτὴν ὁ βασιλεύς, εἶπεν αὐτῇ· Μὴ κλαῖε, ἀλλὰ δεῦρο λάχωμεν· καὶ ἐὰν λάχῃ μοι, ἐπιλέγομαι ὃν θέλω, καὶ δώσω αὐτὸν θυσίαν τοῖς θεοῖς ἡμῶν· εἰ δὲ λάχῃ σοι, ἐπίλεξαι ὃν ἂν θέλῃς, καὶ παραφύλαττε αὐτόν. Τοῦτο δὲ ἔλεγε, δοκῶν καταλαγχάνειν τῷ ἱερεῖ· καὶ βαλόντες κλῆρον, ἔλαχεν ἡ βασίλισσα, καὶ ἐπελέξατο τὸν Μελχισεδέκ, ὃν ἠγάπα. Ὁ δὲ βασιλεὺς Σαλήμ, ἡττηθεὶς παρὰ τῆς γυναικὸς αὐτοῦ, τὸν λαχόντα αὐτῷ υἱὸν ηὐτρέπισεν εἰς θυσίαν· ἐφοβεῖτο γὰρ προσκροῦσαι τοῖς θεοῖς αὐτοῦ. Καὶ ἐλθὼν ὁ Μελχισεδέκ, ἤνεγκε τοὺς ἑπτὰ μόσχους. Λαβὼν δὲ ὁ πατὴρ τὸν λαχόντα αὐτῷ υἱόν, ἐπορεύετο ἐπὶ τὸν ναὸν τῶν εἰδώλων ἐν τῷ δωδεκαθέῳ· συνῆλθον δὲ ἐπὶ τῇ θυσίᾳ φγ΄ παῖδες ὑπὸ τῶν ἰδίων πατέρων προσφερόμενοι· καὶ ἄλλοι τριακόσιοι παρὰ τῶν μητέρων, καὶ βόες καὶ πρόβατα ἀναρίθμητα, καὶ ἐγένετο ἡ θυσία ἕτοιμος. Σαλὴμ δὲ ἡ μήτηρ τοῦ Μελχισεδέκ, καθημένη ἐν τῷ οἴκῳ αὐτῆς, ἀνεβόησε φωνῇ μεγάλῃ καὶ λέγει τῷ Μελχισεδέκ· Οὐ κλαίεις τὸν ἀδελφόν σου, ὅτι μετὰ τοσοῦτον κάματον ἀπέρχεται σφαγῆναι; Καὶ ταῦτα ἀκούσας παρ' αὐτῆς ἔκλαυσε, καὶ λέγει τῇ μητρὶ αὐτοῦ· Ἕως τῶν ὧδε χρείαν ἔχω· καὶ ἀναστάς, ἀνῆλθεν, ἐν τῷ ὄρει Θαβώρ. Καὶ ἡ μήτηρ αὐτοῦ ἀναστᾶσα, ἀπῆλθεν ἐν τῷ ναῷ τῶν εἰδώλων, ἰδέσθαι τὸν ἑαυτῆς υἱόν, πρὶν ἢ σφαγῆναι, καὶ ὅλον τὸ γένος αὐτῆς. Ἀνελθὼν δὲ Μελχισεδὲκ εἰς τὸ ὄρος Θαβώρ, κλίνας τὰ γόνατα, εἶπεν· Ὁ Θεὸς ὁ τῶν ὅλων Κύριος, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, σὲ ἐπικαλοῦμαι τὸν μόνον ἀληθινὸν Θεόν, ἐπάκουσόν μου τῇ ὥρᾳ ταύτῃ καὶ πρόσταξον, ἵνα ὅσοι παρεγένοντο ἐπὶ τῇ θυσίᾳ τοῦ ἀδελφοῦ μου Μελχί, ὁ τόπος ᾅδης γένηται, καὶ καταπίῃ αὐτούς. Καὶ ἐπήκουσεν ὁ Θεὸς τοῦ Μελχισεδέκ, καὶ εὐθέως ἔχανεν ἡ γῆ, καὶ κατέπιεν αὐτούς, καὶ πᾶσαν φυλὴν τοῦ Μελχί, σὺν πάσῃ τῇ πόλει· καὶ οὔτε ἄνθρωπος, οὐ βωμός, οὐ ναός, οὐκ ἄλογον οὔτε τις κτίσις τῆς πάσης πόλεως ἔμεινεν, ἀλλὰ πάντα ἐχανώθη. Κατῆλθε δὲ ὁ Μελχισεδὲκ ἀπὸ τοῦ ὄρους Θαβώρ, καὶ ἰδών, ὅτι ἐπήκουσεν αὐτοῦ ὁ Θεός, ἐν φόβῳ μεγάλῳ πάλιν ὑπέστρεψεν εἰς τὸ ὄρος, καὶ ἐν τῷ δασεῖ τῆς ὕλης ἐλθών, ἐμόνασεν ἐκεῖ ἔτη ἑπτά· γυμνὸς ὡς ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ ἐξῆλθεν· καὶ ἐγένοντο οἱ ὄνυχες αὐτοῦ σπιθαμήσιοι, καὶ αἱ τρίχες τῆς κεφαλῆς αὐτοῦ ἕως τῆς ὀσφύος αὐτοῦ, καὶ ὁ νῶτος αὐτοῦ ἐγένετο ὡσεὶ δέρμα χελώνης. Ἡ δὲ τροφὴ αὐτοῦ ἀκρόδρυα ἦν, καὶ ὁ ποτὸς αὐτοῦ δρόσος, ὃν ἔλειχε. Καὶ μετὰ τὰ ἑπτὰ ἔτη φωνὴ ἦλθε τῷ Ἀβραάμ, λέγουσα, Ἀβραάμ, Ἀβραάμ. Καὶ εἶπεν Ἀβραάμ. Ὁ Κύριός μου. Καὶ εἶπε· Στρῶσον τὸ ὑποζύγιόν σου, καὶ βάστασον ἱμάτια πολυτελῆ καὶ ξυρὸν καὶ ἄνελθε ἐν τῷ ὄρει Θαβώρ, καὶ κράξον τρεῖς φωνάς· Ἄνθρωπε τοῦ Θεοῦ· καὶ ἐλεύσεται ἄνθρωπος ἠγριωμένος. Μὴ φοβηθῇς οὖν αὐτόν· ἀλλὰ ξύρισον αὐτόν, καὶ ὀνύ-

χισον, καὶ ἀμφίεσον αὐτόν, καὶ εὐλογήθητι παρ' αὐτοῦ· Καὶ ἐποίησεν Ἀβραὰμ καθὰ συνέταξεν αὐτῷ Κύριος, καὶ ἀνῆλθεν εἰς τὸ ὄρος Θαβώρ, καὶ ἔστη εἰς τὰ δασέα τῆς ὕλης· καὶ ἔκραξε τρεῖς φωνάς· Ἄνθρωπε τοῦ Θεοῦ. Καὶ ἐξῆλθεν ὁ Μελχισεδέκ, καὶ εἶδεν Ἀβραὰμ καὶ ἐφοβήθη. Καὶ εἶπεν αὐτῷ ὁ Μελχισεδέκ· Μὴ φοβοῦ, ἀλλ' εἰπέ· Τίς εἶ; καὶ τίνα ζητεῖς; Εἶπε δὲ Ἀβραάμ· Προτέταξέ μοι Κύριος ξυρῆσαί σε καὶ ὀνυχοκοπῆσαί σε καὶ ἀμφιέσαι, καὶ εὐλογηθῆναι παρὰ σοῦ. Ὁ δὲ Μελχισεδὲκ εἶπεν αὐτῷ· Ὡς προσέταξέ σοι Κύριος, ποίησον. Καὶ ἐποίησεν Ἀβραάμ, ὡς προσέταξεν αὐτῷ Κύριος. Καὶ κατελθὼν ὁ Μελχισεδὲκ ἀπὸ τοῦ ὄρους Θαβὼρ μετὰ τρεῖς ἡμέρας, κέρας ἐλαίου λαβών, καὶ ἐπισφραγίσας τῷ ῥήματι τοῦ Θεοῦ, ηὐλόγησε τὸν Ἀβραὰμ λέγων· Εὐλογημένος εἶ τῷ Θεῷ τῷ ὑψίστῳ, καὶ τὸ λοιπὸν καλεῖται τὸ ὄνομά σου τετελειωμένον, καὶ οὐκέτι λοιπὸν καλεῖται τὸ ὄνομά σου Ἀβράμ, ἀλλ' ἔσται τὸ ὄνομά σου τέλειον, Ἀβραάμ. Καὶ πάλιν φωνὴ ἦλθε τῷ Ἀβραάμ· ὁ δὲ εἶπε, Τί, Κύριέ μου; Ὁ δὲ Κύριος πρὸς αὐτόν· Ἐπειδὴ οὐδεὶς ἐκ τοῦ γένους τοῦ Μελχισεδὲκ ἐπερίσσευσεν ἀπὸ τῆς γῆς, διὰ τοῦτο κληθήσεται ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε τέλος ἔχων ζωῆς· ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸν αἰῶνα· καὶ ἠγάπησα αὐτόν, ὡς ἠγάπησα τὸν Υἱόν μου τὸν ἀγαπητόν· ὅτι ἐφύλαξε τὰς ἐντολάς μου, καὶ φυλάξει εἰς τὸν αἰῶνα. Ἵνα οὖν μὴ δόξῃ ἀρχὴν ἡμερῶν μὴ ἔχειν, διὰ τὸ μὴ εἰδέναι τινὰ πότε ἐγεννήθη, τὸ τῆς γενεαλογίας, μήτε πατρός, διὰ τοῦτο λέγεται ἀπάτωρ, ἀμήτωρ καὶ ἀγενεαλόγητος· καὶ διὰ τὸ εὐαρεστῆσαι αὐτὸν τῷ Θεῷ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. Ὡς οὖν ἀπήντησεν ὁ Μελχισεδὲκ τῷ Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, ἐπέδωκεν αὐτῷ ποτήριον οἴνου ἀοράτως ἐπιβαλὼν αὐτῷ καὶ κλάσμα ἄρτου, καὶ τῷ λαῷ αὐτοῦ ὄντος ἐν ἀνδράσι τιη', ὃ λέγεται βουκάκρατον ἕως τῆς σήμερον ἡμέρας. Κατὰ τοῦτον τὸν τρόπον ὡμοιώθη τῷ Υἱῷ τοῦ Θεοῦ, ἀλλ' οὐκ εἰς τὴν χάριν· καὶ οὕτω πρῶτος τύπος ἐγένετο τῆς ἀναιμάκτου θυσίας τοῦ Σωτῆρος φέρων εἰς τὴν ἁγίαν προσφοράν. Διὸ λέγει· «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ [1]», ἐπειδὴ τύπος ἐγένετο τῆς ἁγίας προσφορᾶς, ἐπιδεδωκὼς τῷ Ἀβραάμ, καὶ τοῖς τιη'. Οὕτω τε καὶ οἱ ἅγιοι Πατέρες κατὰ καιροὺς εὑρέθησαν ἐν τῇ Νικαέων πόλει, οἳ καὶ ὠρθοτόμησαν τὴν πίστιν· ὧν ἡ ποσότης, καθ' ὁμοιότητα τοῦ πατριάρχου Ἀβραάμ, ἐστὶ τριακόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι ἐπίσκοποι ἐν τῇ συνόδῳ. Τῷ δὲ Θεῷ ἡμῶν δόξα νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Ψαλμ. 109, 4.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΣΥΝΤΑΓΜΑ ΔΙΔΑΣΚΑΛΙΑΣ ΠΡΟΣ ΜΟΝΑΖΟΝΤΑΣ, ΚΑΙ ΠΑΝΤΑΣ ΧΡΙΣΤΙΑΝΟΥΣ, ΚΛΗΡΙΚΟΥΣ ΤΕ ΚΑΙ ΛΑΪΚΟΥΣ.*

1. Ἔστιν ὁ βίος τῶν υἱῶν τῆς Καθολικῆς Ἐκκλησίας, καὶ μάλιστα τῶν ἐν αὐτῇ ἀναχωρητῶν ἤτοι μοναχῶν, οὕτως. Χάριτι μέν ἐσμεν σῳζόμενοι·[1] ἀλλ' ἡ χάρις αὐθαιρέτους βούλεται εἶναι τοὺς ἑαυτῆς παῖδας καὶ σοφίας υἱοὺς καὶ πάσης πράξεως ἀγαθῆς, δοκιμάσαντες τὸ καλόν, ζηλοῦντες, καὶ οὕτω πράττειν. Τῆς οὖν ὀρθῆς ταύτης πίστεως ἄξιον σεαυτὸν εὐτρέπιζε, προβεβλημένος, ἀγαπητέ, ταῦτα φυλάττειν· ἀγωνίζονται μετὰ τοῦ, «Κύριος τὸν Θεόν σου ἀγαπήσεις ἐξ ὅλης καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου[2]», καὶ τὸν πλησίον σου ὡς σεαυτόν.[3]» Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ πορνεύσεις, οὐ παιδοφθορήσεις, οὐ φαρμακεύσεις, οὐ διχοστατήσεις· ἀπέχου πνικτοῦ καὶ εἰδωλοθύτου καὶ αἵματος. Καὶ ταῦτα μέν ἐστι τὰ προφανῆ ἁμαρτήματα· αἱ δὲ ὡς ἐλαχιστότεραι φαινόμεναι ἐντολαί, ὧν καὶ αὐτῶν λόγον ἀποδώσομεν, εἰσὶν αὗται· Τέως μὲν τοὺς μονάζοντάς τε καὶ ἐγκρατεῖς δεῖ ἀνακεχωρισμένους εἶναι ἀπὸ γυναικῶν, καὶ μήτε εἰς ὁμιλίαν αὐτῶν ἔρχεσθαι, εἰ δυνατόν, μήτε ὁρᾶν αὐτὰς φιλοτιμεῖσθαι, ἵνα μή τις ζημία γένηται, ἐὰν μοιχεύσῃ καρδία διὰ τῆς τῶν ὀφθαλμῶν ὁράσεως. Φυλάττεσθαί τε μὴ εἶναι δίλογον, μὴ δίγνωμον, μὴ ψεύστην, μὴ κατάλαλον, μὴ ἀκαιροπερίσπαστον, μὴ ἀναίσχυντον, μὴ ῥέμβον, μὴ ἀναίσθητον, μὴ αὐθάδη, μὴ σαπρὸν λόγον ἐκ χειλέων προφέροντα, μήτε ὅρκον ὅλως τὸ παράπαν· ἀλλά, ναί, ναί, οὔ, οὔ. Καὶ ἐάν που ἀνάγκη γένηται λέγειν ἐν ὁμιλίᾳ· Γίνωσκε, εἰ ἀλήθειαν λέγω, εἰ οὐ ψεύδομαι. Τὸ δὲ σεβάσμιον ὄνομα ἐπὶ ὅρκον μὴ λάμβανε, μήτε ἕτερόν τινα ὅρκον, καθὼς εἶπε τὸ Εὐαγγέλιον· ταῦτα γὰρ πάντα οὐ προσήκει οὐδὲ ἁρμόττει ποιεῖν· ἀλλὰ καὶ ἀπὸ Ἐκκλησίας ἐκβάλλειν τὸν μὴ παραφυλαττόμενόν τινα δὲ αὐτῶν ἀποκτενεῖν.

2. Ἔτι τε μὴ γυμνοῦν ἐνώπιόν τινος, ἀλλ' ἢ ἀνάγκη ἐν λουτρῷ, διὰ πάθος, ἐν ἀσθενείᾳ πολλῇ γινόμενον. Μὴ λέγειν ἀδελφόν, ῥακά, μήτε, μωρέ· ἑορταῖς ἐθνῶν μὴ συγκοινωνεῖν· Σάββατα μὴ φυλάττειν· μὴ μαγεύειν· μὴ φαρμακεύειν, μήτε ἄλλο σοι ταῦτα πράττειν ἐπὶ νόσῳ ἢ πάθους ἀλγήματι. Μὴ ἀπέρχεσθαι πρὸς ἐπαοιδόν, μήτε φυ-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σ. 836-845.

1. Πρβλ. Ἐφ. 2, 8. 2. Ματθ. 22, 37. 3. Ματθ. 22, 39.

λακτήριον ἑαυτῷ περιτιθέναι, μήτε περικαθαίρειν, μήτε μὴν ταῦτά σοι ποιεῖν, μήτε ὑπὸ ἄλλου σοι γένηται. Τὸ σῶμα φυλάττειν ἀπὸ πάσης αἰσχρότητος καὶ ἀσελγείας· μὴ ἔχειν γυναῖκα συνείσακτον, καθάπερ τινὲς ἀγαπητὰς ἐπέθεντο αὐταῖς ὀνόματα· τάχα δὲ ἐναντίως μισηταὶ αὐτοῖς εὑρεθήσονται. Μὴ ἔχειν καταψυχὴν πρός τινα· ὁ γὰρ καταψυχῆς ἔχων, ἡ ψυχὴ αὐτοῦ τῷ Κυρίῳ οὐ προσδέδεκται. Μὴ συνεύχεσθαι αἱρετικῷ, μήτε μετὰ ἐθνικῶν. Μὴ παραβαίνειν νηστείαν, τουτέστι τετράδα καὶ παρασκευήν, εἰ μή τι ἐπὶ νόσῳ βεβάρησαι, χωρὶς Πεντηκοστῆς μόνης καὶ τῶν 'Επιφανιῶν. Τὴν τεσσαρακοστὴν τῆς ἁγίας 'Εκκλησίας καὶ τὴν ἑβδομάδα τοῦ ἁγίου Πάσχα παρατετηρημένως φύλαττε. Λῦε τὴν νηστείαν ἐπ' ἂν ἀδελφὸς πρός σε ἐπεδήμησε· νηστείαν δὲ οὐ τὴν τεταγμένην, τετράδα καὶ παρασκευήν, καὶ τὴν τεσσαρακοστήν, καὶ τοῦ πάθους, ἀλλὰ τὴν ἀπὸ ἰδίας προαιρέσεως, τουτέστι δευτέρας, καὶ τρίτης, καὶ πέμπτης, Σάββατον καὶ κυριακὴν μὴ νηστεύσῃς, πλὴν τοῦ μεγάλου Σαββάτου τοῦ ἁγίου Πάσχα. 'Η δὲ τῆς τετράδος καὶ παρασκευῆς ἕως ὥρας ἐνάτης νηστεία τεταγμένη ἐστί· καὶ εἴ τι περισσοτέρως ποιήσεις, τοῦτο παρὰ τὴν σεαυτοῦ προαίρεσιν. Εἰ δὲ καὶ ὑπερθέσεις δύνασαι ποιεῖν, γενναίως ἀσκεῖς. Νηστεύων δὲ καὶ πολιτευόμενος, βλέπε μὴ φυσιωθῇς· ἡ γὰρ φυσίωσις παγίς ἐστι τοῦ διαβόλου, δι' ἧς ἀπ' οὐρανοῦ πέπτωκεν, ὁμοίως δὲ λοιπὸν δι' αὐτῆς τοὺς ἀνθρώπους παγιδεύων καταβάλλει. Μή τίς σε πλανήσῃ ἐν κυριακῇ νηστεύειν τὸ παράπαν, μήτε γονυπετεῖν τὸ παράπαν, μήτε ἐν Πεντηκοστῇ· οὐ γάρ ἐστι θεσμὸς 'Εκκλησίας. Καὶ μὴ ἀνέχου, ἵνα πλανήσωσί σε τινὲς Μαρκιωνισταί, ἢ ἑτέρα αἵρεσις, νηστεύειν τὸ Σάββατον ἰδίως καὶ Κυριακῆς. Τῶν δὲ συνάξεων μὴ ἀμέλει· τῶν μυστηρίων ἄξιον σεαυτὸν εὐτρέπιζε, μήπως εἰς κρῖμα συνέλθῃς. Μὴ ἀμέλει πλύνειν πόδας ἀδελφῶν ἐρχομένων πρὸς σέ· ζητήσεται γὰρ ἡ τοιαύτη ἐντολὴ περὶ τῶν ὑπερηφανευσάντων αὐτήν, κἂν ἐπίσκοποι ὦσιν. 'Ο γὰρ Κύριος ἡμῶν αὐτὸς πρῶτος ἔπλυνε, παραγγείλας αὐτοῖς οὕτω ποιεῖν.

3. Μὴ γίνου φιλάργυρος, μὴ αἰσχροκερδής, μὴ φιλοκτήμων, μὴ φιλόπλουτος· οἱ γὰρ τοιοῦτοι Θεῷ ἀρέσαι οὐ δύνανται. Καὶ ὅλως μὴ πραγματεύου· πολλαὶ χῶραί εἰσι μὴ σπείρασαι, καὶ οἱ οἰκοῦντες, ἐὰν τέχνας μὴ ἔχωσιν, ἀναγκάζονται πραγματεύεσθαι· κἂν μὴ ὦσι μονάζοντες, καὶ πραγματεύονται, κακῶς μέν, πλὴν ἀνάγκη ποιεῖ. Τόκον μὴ λάμβανε· μὴ προσαγόραζέ τι ἴσον ὡς τῆς πολιτευομένης τιμῆς. 'Αγάπα πάντα ἄνθρωπον, καὶ εἰρήνευε μετὰ πάντων, καὶ μεθ' ὧν οὐκ εὔχῃ, εἰ δυνατὸν τὸ ἐκ σοῦ, χωρὶς αἱρέσεως. "Εχων δέ, μετάδιδε τῷ μὴ ἔχοντι· μὴ ἔχων δέ, μὴ ἐγκληθήσῃ. 'Εὰν αἰτήσῃ τις παρὰ σοῦ εἰς χρῆσιν, δίδου, καὶ λάμβανε παρ' αὐτοῦ τὸ κεφάλαιον, ὅτ' ἂν ἔχῃ, ἄνευ τόκου. Μὴ δολιεύου ἐνώπιον Κυρίου. 'Εὰν γὰρ ἔχῃς γεννήματα ἢ ἀργύριον, καὶ ζητεῖ τις δανείσασθαι παρὰ σοῦ καὶ οὐ διὰ μὴ λαμβάνειν σε τόκον πωλεῖς τιμιωτέρως, ἵνα ἀγοράσῃς εὐώνως τῷ καιρῷ,

τουτέστιν ὀλιγοτίμως· «Δράσσεται ὁ Θεὸς τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ.[1]» Σκέψαι γὰρ καὶ ὅρα, ὅτι ἀνθ' ἑνὸς τόκου τρεῖς ἢ τέσσαρας τόκους εὑρήσεις λαμβάνων.

4. Γίνου ταπεινὸς καὶ ἡσύχιος, τρέμων διὰ παντὸς τὰ λόγια τοῦ Κυρίου. Μὴ γίνου μάχιμος, μὴ τύπτε ἄνθρωπον, ἢ μόνον παιδίον σου μικρὸν πρὸς παιδείαν, καὶ αὐτὸ παρατετηρημένως, σκοπῶν μήπως διὰ σοῦ φόνος γένηται· πολλαὶ γάρ εἰσιν ἀφορμαὶ τοῦ θανάτου. Μὴ μυκτήριζε πάντα ἄνθρωπον· μὴ βδελύσσου τινὰ ἀπὸ σχήματος· παρατετηρημένως ἔχε τὴν ἐσθῆτα, μήτε μαλακοῖς χρώμενος ἱματίοις, μήτε ἐσθῆτι φαινομένῃ δικαίων ἐνδυομενυία, τουτέστι ῥυπαροῖς προερχόμενος. Σάκκον δὲ ἐὰν ἔχῃς, ἵνα πενθῇς τὰς ἁμαρτίας σου, σκόπει μὴ φανῇ σου ὁ σάκκος, ἀλλ' ἔστω κεκρυμμένος ἔσω. Καὶ μήτε δέρματα ἀμφιάζου, μήπως δόξαν παρὰ ἀνθρώπων λήψῃ. Ὅλως τρίχας μὴ τρέφε, ἐξέκοψε γὰρ τὸ τοιοῦτον σχῆμα ὁ Ἀπόστολος·[2] μὴ ξυρῶ τὸ γένειον, καὶ μὴ περικουρείοις χρῶ κειρόμενος.

5. Εἰ δύνασαι καὶ ἑβδομάδα νηστεύειν, μηδενὶ δείκνυε. Κρεῶν ἀπέχου, οὐχ ὡς βδελυσσόμενος, ἀλλ' ὡς ἀνακόπτων τὸ σῶμα τῆς τροφῆς, καὶ ἀνάξιον ἑαυτὸν ἡγούμενος, καὶ ἀντὶ τῶν ἐπιγείων τῶν οὐρανίων, ὀρεγόμενον. Πᾶς γὰρ μετριάζων δαψιλείᾳ τροφῶν, βοηθεῖ τῷ σώματι αὐτοῦ πρὸς ἐγκράτειαν. Οἴνου ὅλως μὴ λάμβανε, ἢ μόνον γεύεσθαι καὶ εὐλογεῖν τὸν κτίσαντα. Ἐὰν δὲ καὶ σύ, ὥσπερ Τιμόθεος, διὰ τὴν πολλὴν πολιτείαν νόσοις περιπέσῃς, ὀλίγῳ οἴνῳ χρῶ· τὸ γὰρ ὀλίγον φάρμακόν ἐστιν ἰάσεως· πολλῷ δὲ αὐτῷ χρώμενος, ἀμφοτέρας ἀσθενείας σεαυτὸν περιβαλεῖς· εἰ δὲ ἕως ἑνὸς ποτηρίου ἢ δύο, περισσὸν δὴ μή. Εἰ δυνατόν σοι ἀνυπόδυτον ὁδεύειν, γενναίως ἐνεχθήσῃ· εἰ δὲ ἀνάγκη ἐστὶ πάντως ὑποδέεσθαι, ψιλὰ ἔσονταί σου τὰ ὑποδήματα· καὶ μὴ θέλε κατακεκοσμημένοις ὑποδήμασιν ἑταιρισμοῦ σχήμασιν ἐπαιρείδεσθαι. Τοῖς παροῦσιν ἀρκοῦ. Καὶ ἐὰν περισσοτέρων κρεῶν καὶ οἴνων ἔχῃς πολιτείαν, καὶ ἀπέλθῃς ἐπὶ ξένης, μὴ θελήσῃς ἑαυτὸν κομπάζειν, ἀλλ' ἴσος γίνου τοῖς ἀδελφοῖς· οἷον, ἐὰν ἐν λαχάνοις χρώμενος, καὶ ἑψήμασι, καὶ εἰ ἀνάγκη, γάρον ἐσθίειν, ἢ καὶ ἰχθύος μεταλαμβάνειν ἐὰν θέλῃς· ἕως τούτου μόνου, καὶ πάλιν ἀνάλαβε τὴν πρώτην ἄσκησιν. Πάλιν, ἐὰν ἀρρωστήσῃς καὶ λάβῃς ᾠοῦ, ἁμαρτία οὐκ ἔστιν· εἰ δὲ ἡττηθῇς ἐν τῇ νόσῳ, [καὶ λάβῃς πετεινοῦ καὶ κρεῶν], ἥττημα μέν σοί ἐστι, μὴ λογίσῃ δὲ αὐτὸ ἁμαρτίαν· λυποῦ δέ, ὅτι ἀνεκόπης σου τῆς πολιτείας, καὶ ὑπεχαλάσθης τοῦ στερεοῦ λογισμοῦ.

6. Εἰ δὲ ἐπὶ νόσῳ ἀναγκασθῇς, λουτρῷ χρήσῃ, ἕως ἅπαξ καὶ δίς· ὑγιαίνων δέ, βαλανείου οὐ χρείαν ἔχεις· Σὺ ὁ μονάζων καὶ ἱερεὺς χαμευνίαν θέλε, ἐὰν ᾖς ὑγιής· πρὸ παντὸς δὲ τέχνην ἐπιχειρεῖν. Ἐν ἀγρῷ ἐργάζου, ἵνα μὴ ἐσθίῃς ἄρτον ἀργόν· μᾶλλον δὲ ἐκ τῶν χειρῶν σου ἔχε πρὸς τὸ ἀναπαύειν ἀδελφοὺς καὶ ξένους, καὶ εἰ δυνατόν, χήρας,

1. Α' Κορ. 3, 19. 2. Πρβλ. Α' Κορ. 11, 14.

καὶ ὀρφανούς, καὶ μετρίους. Καὶ εἰ μὲν μεταξὺ τῶν ἀνθρώπων οἰκεῖς, καὶ ἔχεις χωρίον, ἤτοι γεώργιον, ἐργάζεσθαι· δικαίως συνάγων καρπούς, καὶ μὴ ἔχων τι ἀδικίας, πρῶτον μὲν τὰς ἀπαρχὰς τοῖς ἱερεῦσι πρόσφερε, ἔπειτα θέλε καὶ χήρας ἀναπαύειν, καὶ ὀρφανοὺς καὶ λοιποὺς ἀπὸ δικαίων πόνων, μὴ ἀπὸ τόκων ἢ πλεονασμῶν, ἢ πραγματειῶν, ἢ διασεισμάτων. Εἰ δὲ εἰς μονὴν καθέζῃ, μὴ ὕβριζε τὴν ἄσκησιν τῆς μονῆς. 'Εὰν χωρίον κέκτησαι, ἐν μοναστηρίῳ ἀναχωρῶν, οὐκ ἀνεχώρησέ σοι, ἀλλ' ἐμπαίζεις καὶ ἐμπαίζῃ. Καθεζόμενος δὲ ἐν μοναστηρίῳ μὴ θέλε εἶναι ἀργὸς καὶ ὑπὸ ἄλλων τρέφεσθαι· ἀλλὰ δεῖ σεαυτὸν ἢ τέχνην εἰδεῖν, ἢ ἐργατεύεσθαι, ἵνα πως τὴν ἐφήμερον προσπορήσῃς τροφήν. Νεωτέρους δὲ ἐὰν ἔχῃς περὶ σεαυτόν, πρῶτον μὲν ταπεινοφρόνει, καὶ μὴ θέλε εἶναι διδάσκαλος· εἰ δὲ ἴδῃς ψυχὰς σῳζομένας διὰ τῆς σῆς ἀναστροφῆς, τελειῶσαι βουλόμενος τῶν πέντε ταλάντων τὰ διπλάσια, ὧν εἴληφας, μερίμνα τὰς περὶ σὲ ψυχάς, καὶ ἐπίστυφε τοὺς νεωτέρους ἰδιάζειν ἕκαστον αὐτῶν ἔν τε τῇ ὁμιλίᾳ καὶ ἐν τῇ ἀναστροφῇ, χωρὶς μόνης τῆς τραπέζης, καὶ συνάξεως, καὶ ψαλμῳδίας· ἐν δὲ τῷ ὑπνεῖν, ἕκαστον ἴδια περιβάλλεσθαι, καὶ ἕκαστον τὸ στιχάριον αὐτοῦ ἔχειν, ἤτοι σακκίον κεκρυμμένον, ἵνα, ἄν που εὔχῃ νυκτός, ἕτοιμοι εὑρεθῶσιν. Θέλε ἀγρυπνεῖν συμμέτρως ἐν ψαλμοῖς καὶ εὐχαῖς· καὶ ἡμέρας μὲν εὔχεθαι πυκνῶς, μὴ χρονίζων δὲ ἐν εὐχῇ, ἢ κράζων, ἢ βαττολογῶν· συμμέτρως δὲ ψάλλειν, ἵνα μὴ περικακῶσιν αἱ ψυχαί. Θέλε δὲ τοὺς παῖδας σιωπητικοὺς προβιβάζειν. Εἰς καπηλεῖον ὅλως εἰσέλθῃς· ἀλλ' εἰ ἀνάγκη γένηται, ἐπὶ ξένης γενόμενος, καὶ χρείαν ἔχεις ἐδέσματος ἢ ποτοῦ, ἀποστείλας ἀγόρασον καὶ ἐν ἐκκλησίᾳ φάγε καὶ πίε, ἐν τόπῳ αὐτῆς ἀνακεχωρημένῳ· ἐὰν δὲ μὴ ᾖ ἐκκλησία ἐν τῷ τόπῳ, μηδὲ οἰκία ὀρθοδόξων, καὶ ἀνάγκη σοι γένηται, καὶ εἰσέλθῃς εἰς πανδοχεῖον, θέλε μένειν ἐν πανδοχείῳ, ὅπου οὐκ εἰσὶ γυναῖκες, οὔτε καπηλεῖον· καὶ τοῦτο μετὰ λύπης.

7. 'Εὰν οὖν, τὰς προειρημένας ἐντολὰς φυλάξας, καὶ τῶν προειρημένων σφαλμάτων ἑαυτὸν τηρήσας, τὸν δρόμον τελειώσῃς ἐν πίστει τε καὶ ἁγνότητι καὶ πολιτείᾳ, κατὰ τὸ εἰρημένον, βαθμὸν σεαυτῷ μέγαν καὶ ἀγαθὸν περιποιήσῃ. Αὗταί εἰσιν αἱ τῆς προειρημένης πίστεως ἐντολαὶ καὶ παραφυλάγματα, ἃς ἐὰν ποιήσῃς καὶ τὴν πίστιν τηρήσῃ, ἔσῃ μαθητὴς τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ. Εἰ δέ τις ἀντιλέγει τοῖς προειρημένοις, Θεῷ ἐστιν ἀντιλέγων. Ψηλαφήσει γὰρ τὰς θείας Γραφάς, καὶ κατανοήσει τὴν παράδοσιν τῆς 'Εκκλησίας, καὶ ἔχει συνιέναι, ὅτι περὶ τούτων ὅλων ἐντέλλεται ὁ Κύριος. 'Ημεῖς δέ, ἵνα μὴ μακρολογήσωμεν, τὰς μαρτυρίας οὐκ ἐξεθέμεθα. Καὶ αὗται μὲν αἱ ἐντολαὶ μονάζουσι καὶ λοιποῖς Χριστιανοῖς εὐλαβέσιν.

8. Εἰ δέ τις ἱερεὺς ἀκριβῶς θέλῃ ἱερατεύειν, μετὰ τῶν προειρημένων ἐντολῶν, ἤτω νηφάλιος, σπουδαῖος, ἀνεξίκακος, χρηστός, φιλόρφανος, φιλόπτωχος, φιλόξενος, φιλάγαθος, ἥσυχος, στερεὸς πίστει καὶ γνώμῃ καὶ λόγῳ, ἀπεχόμενος γυναικός, μὴ ἀμελῶν τοῦ

ποιμνίου, μὴ βδελυσσόμενός τινα· μὴ προσωποληπτεῖν, ἐλέγχοντα ἐπὶ πάντων, μὴ ἐᾶν ψωριὸν πρόβατον ἐν τῇ ποίμνῃ, ἀλλὰ καθαίρειν πρῶτον μετὰ μετανοίας, καὶ τότε συνάγειν ἐν τῇ μάνδρᾳ· εἰδέναι ἕκαστον ὡς ποιμαίνειν δεῖ, τί δὲ ταῖς χήραις παραγγέλλειν, τί μοναχοῖς, τί λαϊκοῖς, τί κατηχουμένοις. Γυναιξὶ δὲ παραγγέλλειν ἐν ἐκκλησίᾳ μὴ λαλεῖν ὅλως [1], ἀλλ' ἐν πᾶσι σιγᾶν καὶ εὔχεσθαι, καὶ μὴ λαμπρύνειν ἑαυτὰς ἐν χρυσῷ ἢ ἐσθῆτι, τὰ δὲ πρόσωπα αὐτῶν μὴ φαίνεσθαι, χεῖρας ἀνδρῶν μὴ καταφιλεῖν. Κατηχούμενοι δὲ ἰδίᾳ εὐχέσθωσαν, ἢ ἔξωθεν τοῦ βηλοῦ. Ὁ δὲ πᾶς λαὸς ἐν φόβῳ καὶ σιωπῇ ἀκουέτω τὸν λόγον τοῦ Κυρίου. Οὐ μόνον δὲ οἱ ἁμαρτάνοντες δίκην ἀποτίσουσιν, ἀλλὰ καὶ οἱ χαίροντες ἐπὶ τοῖς ἁμαρτάνουσι. Περὶ δὲ τῶν προσφορῶν νήφει ὁ ἱερεύς· ἐὰν γὰρ λάβῃ παρὰ στρατευομένου ἐκχέοντος αἷμα, ἢ διασείσαντος, ἢ κλέψαντος, ἢ πραγματευτοῦ, ἢ ἐπιόρκου, ἢ παρὰ πλουσίου ἀποστερητοῦ, ἢ παρὰ τελώνου ἐπιπράττοντος, ἢ τοκογλύφου, ἢ τιμιολκοῦ ἐπὶ σίτου, ἢ παρὰ παντὸς ἁμαρτωλοῦ· ὁ τοιοῦτος ἱερεύς, ἀπὸ τοιούτων ἐὰν λάβῃ, χωλῶν καὶ τυφλῶν προσφέρει ἐξ αὐτῶν τῷ Θεῷ. Σοὶ δὲ τῷ λαϊκῷ οὐκ ἔξεστι κρῖναι τὸν ἱερέα, εἰ μή, ἐὰν εἰδῇς παραβάτην, φεῦγε ἀπ' αὐτοῦ. Ἐὰν ταῦτα φυλάξῃς, ὁ ἱερεύς, βαθμὸν ἀγαθὸν ἑαυτῷ περιποιῇ, καὶ πολλὴν παρρησίαν τὴν ἐν Χριστῷ Ἰησοῦ Κυρίῳ ἡμῶν [2], μεθ' οὗ τῷ Πατρὶ σὺν ἁγίῳ Πνεύματι ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Πρβλ. Α' Κορ. 14, 34. 2. Πρβλ. Α' Τιμ. 3, 13.

ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ

ΔΙΑΤΥΠΩΣΙΣ ΤΩΝ ΘΕΛΟΝΤΩΝ ΕΝ ΗΣΥΧΙᾼ ΔΙΑΓΕΙΝ *

1. Τοιοῦτος ὁ μοναχός, καὶ οὕτω χρὴ εἶναι τὸν μοναχόν, ἀπεχόμενον ἀπὸ γηΐνων πραγμάτων· οὐ μὴν δὲ ἀλλὰ καὶ Χριστοῦ στρατιώτην, ἄυλον, ἀμέριμνον, πάσης πραγματευτικῆς ἐννοίας καὶ πράξεως ἐκτός. Ἐν τούτοις ἤτω ὁ μοναχός, μάλιστα ὁ πᾶσαν ὕλην τοῦ κόσμου τούτου καταλιπών· καὶ ἐπὶ τὰ ὡραῖα κάλλη τῆς ἡσυχίας ἡ ἄσκησις, ἡδὺς ὁ βίος, ἡ πρᾶξις τερπνή. Βούλει τοιγαροῦν, ἀγαπητέ, τὸν μονήρη βίον ἀναλαβεῖν, καὶ ἐπὶ τὰ τῆς ἡσυχίας ἀποτρέχειν τρόπαια· ἄφες ἐκεῖ τὸν κόσμον καὶ τὰς τοῦ κόσμου φροντίδας, τάς τε ἐπὶ τούτων ἀρχάς τε καὶ καὶ ἐξουσίας, τουτέστι μόνος ἄυλος ἔσο, ἀπαθής, πάσης ἐπιθυμίας ἐκτός, ἵνα, τῆς ἐκ τούτων περιστάσεως ἀλλότριος γενόμενος, δυνηθῇς ἡσυχάζειν καλῶς. Εἰ μὴ γάρ τις τούτων ἑαυτὸν ὑπεξάρῃ, οὐκ ἂν δυνηθῇ ταύτην κατορθῶσαι τὴν πολιτείαν. Τροφῶν βραχέων ἀντέχου καὶ εὐκαταφρονήτων, μὴ πολλῶν καὶ εὐπεριστάτων, ἢ μᾶλλον ἀπεριστάτων. Ἐὰν δὲ καὶ ὡς φιλοξενίας χάριν περὶ τὰ πολυτελῆ λογισμὸς γένηται, ἄφες τοῦτον ἐκεῖ, μὴ ὅλως πεισθῇς αὐτῷ· ἐνεδρεύει γάρ σε διὰ τούτου ὁ ὑπεναντίος, τοῦ ἀποστῆσαι τῆς ἡσυχίας.

2. Ὅρα μὴ ἐπιθυμήσῃς πλοῦτον ἔχειν πρὸς διάδοσιν τῶν πενήτων· κρεῖσσον γὰρ λόγος ἀγαθὸς ὑπὲρ δόμα· ἔστι γὰρ αὕτη καὶ ἀπάτη τοῦ πονηροῦ πρὸς κενοδοξίαν πολλάκις καὶ εἰς πολυπραγμοσύνης αἰτίαν ἐμβάλλουσα τὸν νοῦν. Περὶ δὲ ἱματίων, μὴ ἐπιθυμήσῃς πολλὰ ἔχειν ἱμάτια· ἀλλὰ τὰ ἀρκοῦντα τῇ ἀνάγκῃ τοῦ σώματος μόνα προνοοῦ. Ἐὰν δέῃ τροφῶν ἢ ἱματίων, μὴ αἰσχυνθῇς τὰ παρ' ἑτέρων σοι προσφερόμενα λαβεῖν· τοῦτο γάρ ἐστιν ὑπερηφανίας εἶδος. Ἐὰν δὲ καὶ αὐτὸς ἐν τούτοις περισσεύῃς, δίδου τῷ ὑστερουμένῳ· οὕτως ὁ Θεὸς τοὺς ἑαυτοῦ παῖδας οἰκονομεῖσθαι βούλεται. Ἔχων τοῦ ἐνεστῶτος καιροῦ τὰ δέοντα, εἰς τὸν μέλλοντα μὴ μεριμνήσῃς καιρόν, οἷον ἡμέρας μιᾶς, ἢ ἑβδομάδος, ἢ μὴν ἐνεστῶτος καιροῦ· αὐτὸς ὁ καιρὸς ἐπιχορηγήσει τὰ δέοντα. Ἀλλὰ μᾶλλον ζήτει μάλιστα τὴν βασιλείαν τῶν οὐρανῶν. Τῆς ἑαυτοῦ ὠφελείας πάντοτε φρόντιζε, καὶ τὸν τῆς ἡσυχίας περιποιοῦ τρόπον. Μὴ ἀγαπήσῃς οἰκῆσαι μετὰ ἀνθρώπων ὑλικῶν καὶ ἐμπερισπάστων· ἢ μόνος οἴκει, ἢ μετὰ ἀνθρώπων ἀΰλων καὶ ὁμορφρόνων· ὁ γὰρ μετὰ ἀνθρώπων ὑλικῶν καὶ ἐμπερισπάστων οἰκῶν, πάντως κοινωνήσει καὶ αὐτὸς τῇ τούτων περιστάσει, καὶ δουλεύσει ἀνθρωπίναις

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σ. 845-849.

ἐπιταγαῖς, λαλιαῖς τε ματαίαις, καὶ τοῖς ἄλλοις ἅπασι δεινοῖς, ὀργῇ, λύπῃ, μανίᾳ τῶν ὑλῶν, φόβῳ τῶν σκανδάλων, γονικαῖς μερίμναις, συγγενικαῖς φιλίαις. Ἀλλὰ γὰρ τῆς πρὸς τούτους συντυχίας παραιτοῦ, μήποτέ σε ἀπολέσωσι τῆς ἐν τῷ κελλίῳ ἡσυχίας, καὶ περὶ τὰς ἑαυτῶν περιστάσεις ἀγάγωσιν.

3. Ἐὰν δὲ καὶ τὸ κελλίον ἐν ᾧ καθέζῃ εὐπερίστατον ᾖ, φεῦγε, καὶ αὐτοῦ μὴ φείσῃ, μὴ ἑλκυσθῇς εἰς ἀγάπην αὐτοῦ. Πάντα ποίει, πάντα πράττε, ὅπως δυνηθῇς ἡσυχάσαι, καὶ σχολάσαι, καὶ σπουδάσαι γενέσθαι ἐν τοῖς τοῦ Θεοῦ θελήμασι, καὶ ἐν τῇ πάλῃ τῶν ἀοράτων. Εἰ μὴ δύνασαι ῥᾳδίως ἡσυχάσαι ἐν τοῖς σοῖς μέρεσι, δός σου ἐπὶ ξενιτείαν τὴν πρόθεσιν, καὶ ἐπὶ ταύτην κατάσπευδέ σου τὸν λογισμόν· γενοῦ καθάπερ τις πραγματευτὴς ἄριστος, τὰ πάντα πρὸς ἡσυχίαν δοκιμάζων, καὶ τὰ πρὸς ταύτην ἥσυχα καὶ χρήσιμα. Πλὴν λέγω σοι, ξενιτείαν ἀγάπα· ἀπαλλάττει γάρ σε τῶν κατὰ τὴν ἰδίαν χώραν περιστάσεων, καὶ τῆς κατὰ τὴν ἡσυχίαν ὠφελείας μόνον ἀπολαύειν ποιεῖ. Τὰς ἐν πόλει διατριβὰς φεῦγε, καὶ ἐν ἐρήμῳ καρτέρησον, εἰ δυνατὸν τὸ καθόλου. Εἰς πόλιν μὴ ἀπαντήσῃς· οὐδὲν γὰρ εὔχρηστον, οὐδὲν ὠφέλιμον τῇ πολιτείᾳ σου ἐκεῖ θεάσῃ. Μὴ δειλιάσῃς ἦχον αὐτῶν, ἢ πτοηθῇς· μηδὲ ἀποφύγῃς τὸ στάδιον τῆς σῆς ὠφελείας. Ἀφόβως ὑπόμεινον, καὶ ὄψει τοῦ Θεοῦ τὰ μεγαλεῖα, τὴν ἄλλην ἅπασαν ἐπὶ σωτηρίαν πληροφορίαν.

4. Ἐὰν φίλους ἔχῃς, φεῦγε τούτων τὰς συνεχεῖς συντυχίας· διὰ μακροῦ γὰρ αὐτοῖς συντυγχάνων εὐχάριστος ἔσῃ. Ἐὰν δὲ κατανοήσῃς διὰ τούτων αὐτῶν βλάβην σοι γινομένην, μηδόλως ἐγγίσῃς· φίλους γὰρ ἔχειν σε χρὴ τοὺς ὠφελίμους καὶ συλλαμβανομένους τῇ σῇ πολιτείᾳ. Φεῦγε τῶν πονηρῶν ἀνδρῶν καὶ μαχίμων τὴν συντυχίαν· μηδενὶ τούτων συνοικήσῃς· ἀλλὰ γὰρ καὶ τὰς φαύλας αὐτῶν προθέσεις παραιτεῖν. Ἄνδρες εἰρηνικοὶ ἀδελφοί, καὶ πνευματικοὶ πατέρες ἅγιοι, ἔστωσαν φίλοι σοι. Μὴ μετὰ περισπωμένων συναυλιάου, μηδὲ συμπόσιον ἔχῃς μετ' αὐτῶν· μήποτέ σε περὶ ἑαυτῶν ἀπάτας ἑλκύσωσι, καὶ τῆς κατὰ τὴν ἡσυχίαν ἐπιστήμης ἀπαγάγωσιν. Ἐὰν δέ τις τῶν κατὰ τὴν ἀγάπην τοῦ Θεοῦ πορευομένων, ἐλθὼν πρός σέ, ἐπὶ τὸ φαγεῖν προσκαλέσηταί σε, καὶ θέλῃς ὑπάγειν, ὕπαγε μέν, τάχιον δὲ ἐν τῷ κελλίῳ σου ὑπόστρεφε. Εἰ δυνατόν, ἐκτὸς τοῦ κελλίου σου μὴ κοιμηθῇς ἔξω· ἵνα διὰ παντὸς σοι παραμένῃ ἡ τῆς ἡσυχίας χάρις, καὶ τῆς ἐν αὐτῇ προθέσεως ἀνεμπόδιστον ἕξεις τὴν λατρείαν. Μὴ γίνου ἐπιθυμητὴς βρωμάτων καλῶν· ἡ γὰρ σπαταλῶσα ψυχή, ζῶσα τέθνηκε. Μὴ χορτάσῃς τὴν κοιλίαν σου βρώματα διάφορα, ἵνα μὴ πόθος σοι τούτων γένηται, καὶ περὶ τραπέζης ἐμποιήσῃ σοι τὸν πόθον. Εἴρηται γὰρ μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας. Ἐὰν δὲ καὶ συνεχῶς ἔξω τοῦ κελλίου σου θεάσῃ σεαυτὸν προσκαλούμενον, παραιτοῦ. Ἔστιν ἐπιζήμιος ἡ ἔξω τοῦ κελλίου σου συνεχὴς διατριβή, ἀφαιρεῖται τὴν χάριν, σκοτίζει τὸ φρόνημα, μαραίνει τὸν πόθον.

ΤΟΥ ΑΥΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ

ΠΡΟΣ ΚΑΣΤΟΡΑ ΤΟΝ ΜΑΚΑΡΙΩΤΑΤΟΝ ΠΕΡΙ ΤΩΝ ΚΑΝΟΝΙΚΩΝ ΤΩΝ ΚΟΙΝΟΒΙΩΝ ΔΙΑΤΥΠΩΣΕΩΝ *

Ἐπειδή μοι προσέταξας, μακαριώτατε πάτερ Κάστορ, γνωρίσαι σοι τὰς κανονικὰς διατυπώσεις τῶν κοινοβίων τῶν ἀνατολικῶν, καὶ μάλιστα τῶν Αἰγυπτίων, ὧν αὐτόπτης γέγονα, εἴξας ἐγὼ τῇ ὑμετέρᾳ κελεύσει, τοῦτον ὡς ἐν ὀλίγῳ τὸν λόγον ὑμῖν ἀπέστειλα· ἵνα ἔχωσιν ἐφόδιον πρὸς ἀρετὴν οἱ συνειλεγμένοι σὺν Θεῷ ἐν τῷ νέῳ σου μοναστηρίῳ, τοὺς τῶν μακαρίων ἀνδρῶν κανόνας τε καὶ ἄλλους. Ἀναγκαῖον τοίνυν πρὸ πάντων περὶ προσευχῆς τῆς πάντων αἰτίας τῶν ἀγαθῶν διηγήσασθαι, ὅπως τε, καὶ μετὰ πάσης τῆς καταστάσεως ἐν τοῖς κατὰ τὴν Αἴγυπτον καὶ Θηβαΐδα κοινοβίοις ταύτην ἐπιτελοῦσι. Συναγομένων γὰρ αὐτῶν ἐπὶ τὸ αὐτὸ κατὰ τὸν καιρὸν τῆς συνάξεως, ἡνίκα τελειωθῇ ὁ ψαλμὸς οὐ παραχρῆμα πρὸς γονυκλισίαν ὁρμῶσιν, ἀλλὰ πρὶν ἢ τὰ γόνατα κάμψαι, πρὸς ὀλίγον ἱστάμενοι, καὶ τὰς χεῖρας ἐκτεταμένας ἔχοντες, εὔχονται· καὶ μετὰ ταῦτα χαμαὶ προσπίπτοντες καὶ πρὸς ὀλίγον πάλιν ἐν τῇ γονυκλισίᾳ εὐχόμενοι πάντες, ἐν τῷ ἅμα ἐγείρονται· καὶ πάλιν τὰς χεῖρας διαπετάσαντες, ἐκτενέστερον καὶ ἐπιτεταμένως τὰς ἱκεσίας ἀποπληροῦσιν, οὐδενὸς γόνυ κλίνοντος, ἢ ἐκ τῆς γονυκλισίας ἀνισταμένου, ἕως ὁ ποιῶν αὐτοῖς τὴν εὐχήν, κλίνῃ πρῶτος, ἢ ἀναστῇ πρῶτος. Καθὰ τοίνυν εἴρηται, ὅτε τὰς προειρημένας συνάξεις ἐπιτελέσαι συνέρχονται, σιωπὴ τοσαύτη παρέρχεται ὑπὸ πάντων, ὡς νομισθῆναι μηδένα ἄνθρωπον ἐν τῇ τοσαύτῃ τῶν ἀδελφῶν ἀναριθμήτῳ πληθύϊ παρεῖναι, ἐξαιρέτως ἐν τῷ καιρῷ τῶν προσευχῶν, ὅτε οὔτε πτύσμα προσέρχεται, οὔτε βὴξ ἠχεῖται, οὐκ ἀκηδία, οὐ νυσταγμός, οὐ χάσμα, οὐ στεναγμοὶ μετ' ἤχου ἀναπέμπονται. Τὸν γὰρ ἐν χαυνότητι διανοίας μετὰ κραυγῆς τὰς εὐχὰς ἐπιτελοῦντα, δισσῶς ἁμαρτάνειν λέγουσιν· πρῶτον μὲν ὡς ῥαθύμως εὐχόμενον, δεύτερον δὲ ὡς ἀπαιδεύτῳ τῇ φωνῇ τὴν τοῦ πλησίον ἀκοὴν κατακτυποῦντα, καὶ διασκεδάζοντα τὴν διάνοιαν, συνεπιτιθεμένων καὶ τῶν πονηρῶν πνευμάτων, οἵ, ἐπειδὴ ἂν ἴδωσιν ἡμᾶς εἰς προσευχὴν ἱσταμένους, λογισμοῖς ἀπρεπέσι καὶ ἀκηδίᾳ τὴν ψυχὴν καταβαρύνουσι. Καὶ τούτου χάριν τοὺς ψαλμοὺς οὐ μετὰ θορύβου καὶ ταραχῆς σπεύδουσιν ἐκτελεῖν, οὐδὲ τῷ πλήθει τῶν στίχων, ἀλλὰ τῇ τῆς διανοίας νοήσει εὐφραίνονται, ἐκείνῳ τῷ λογισμῷ κατακολουθοῦντες τῷ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σ. 849-872.

φάσκοντι· «Ψαλῶ τῷ πνεύματι, ψαλῶ καὶ τῷ νοΐ·[1]» ὠφελιμώτερον γὰρ ἔχουσι τὸ δέκα στίχους μετὰ συνέσεως ψάλλειν, ἢ ὅλον τὸ ψαλτήριον μετὰ συγχύσεως διανοίας.

2. Τελειωθέντων δὲ τῶν ψαλμῶν καὶ τοῦ κανόνος, οὕτως ὡς ἀνωτέρω ἐμνημονεύσαμεν, οὐδεὶς τῶν ἀδελφῶν κἂν πρὸς ὀλίγον στῆναι, ἢ ὁμιλῆσαι μετ' ἄλλου τολμᾷ· ἀλλ' οὐδὲ τοῦ κελλίου προελθεῖν, ἢ τὸ ἔργον καταλιπεῖν, ὃ μετὰ χεῖρας ἔχουσιν, ἀποστολικὸν πληροῦντες παράγγελμα, εἰ μή πού γε χρεία γένηται πρὸς καθῆκόν τινος ἀναγκαίου ἔργου πάντας συνεισελθεῖν, ὅπερ οὕτω μετὰ σπουδῆς καὶ ἐξερχόμενοι πληροῦσιν, ὡς μηδεμίαν ὁμιλίαν μεταξὺ αὐτῶν ἀνακύπτειν, ἀλλ' ἕκαστον προσέχοντα τῇ μελέτῃ τῆς διανοίας καὶ τῷ ψαλμῷ, πληροῦντες τὸ προτεταγμένον. Μεγάλῃ δὲ σπουδῇ φυλάττουσι, μή τις μετὰ ἄλλου, καὶ μάλιστα ἀρχαρίου, ἀπαλειφθῇ τῶν ἀδελφῶν ἰδιάζων πού ποτε, ἢ τὰς ἰδίας χεῖρας ἐκτείνας τολμήσῃ κατασχεῖν ἢ περιπλακῆναι ἑτέρῳ. Εἰ δέ τις παραβαίνων τὸν κανόνα τοῦτον εὑρεθῇ. ἐπιτιμίῳ βαρυτάτῳ ὑποβάλλεται.

3. Περὶ μὲν οὖν τοῦ κανονικοῦ τρόπου τῶν τε εὐχῶν καὶ τῶν ψαλμῶν, ὃς ὀφείλει ἐν ταῖς καθημεριναῖς συνόδοις φυλάττεσθαι, ἱκανῶς ἡμῖν εἴρηται. Ὀφείλομεν δὲ λοιπὸν περὶ τῶν ἀποτασσομένων τῷ κόσμῳ διηγήσασθαι, ποίῳ τρόπῳ ἐν τούτοις τοῖς κοινοβίοις εἰσέρχονται, καὶ διαμένουσι ταπεινοφρονοῦντες καὶ ὑποτασσόμενοι ἕως βαθυτάτης πολιᾶς. Τοσαύτη γὰρ παρ' αὐτοῖς ἡ ὑπακοὴ καὶ ταπείνωσις ἄχρι γήρως, ὅση οὐκ ἂν εὑρεθῇ οὐδὲ κατὰ τὸν πρῶτον ἐνιαυτὸν τοῖς ἀποτασσομένοις ἐν τοῖς καθ' ἡμᾶς μοναστηρίοις. Οὐ πρότερον τοίνυν δεχθήσεται ἔσω ἐν τῷ μοναστηρίῳ ὁ θέλων μονάσαι, πρὶν ἀπόδειξίν τινα καὶ πεῖραν τοῦ πρὸς Θεὸν πόθου καὶ τῆς ταπεινώσεως καὶ μακροθυμίας διὰ τῆς ἐπὶ πλεῖστον ὑπακοῆς παράσχῃ. Δοκιμασθεὶς οὖν ἐν τούτοις, εὐπρόσδεκτος παρ' αὐτοῖς γίνεται, καὶ διδάσκεται τῆς αὐτοῦ περιουσίας μὴ ἔχειν τι τεθησαυρισμένον· ἐπίστανται γὰρ τὸν παρακρατοῦντά τι τῶν ἰδίων μὴ δύνασθαι διαμένειν πολυχρόνιον ἐν τῇ τοῦ μοναστηρίου ὑποταγῇ, καὶ κακουχίᾳ εἰς τέλος ἐγκαρτερεῖν. Ἡνίκα γὰρ οἱαδήποτε πρόφασις ἢ θλίψις τὴν αὐτοῦ κινήσει διάνοιαν, εὐθὺς ἡ τοῦ ἀποκειμένου ἐλπίς, ὥσπερ σφενδόνη λίθον, τοῦ μοναστηρίου ἐκτινάσσει. Διά τοι τοῦτο ἕκαστος αὐτῶν γυμνοῦται τῆς ἀρχαίας περιουσίας, ὡς μηδὲ αὐτὸ τὸ ἔνδυμα ὃ περιβεβλημένος ἦλθε τοῦ λοιποῦ φορεῖν συγχωρεῖσθαι. Ἀλλά, τῶν ἀδελφῶν πάντων συνηγμένων, προαχθεὶς εἰς τὸ μέσον ἐκδύεται τὰ ἱμάτια τὰ ἴδια, καὶ διὰ τῶν χειρῶν τοῦ ἀββᾶ, ἐνδύμασι τοῦ μοναστηρίου μεταμφιέννυται· ὡς διὰ τοῦ τύπου τούτου ἐπιγνῶναι αὐτόν, ὅτι, πάντων τῶν κοσμικῶν πραγμάτων καὶ τῆς ἀλαζονείας, καὶ τοῦ τύφου γυμνωθεὶς ἐνεδύσατο τὴν πτωχείαν τοῦ Χριστοῦ, καὶ ὅτι ἀνεπαισχύντως ἐναριθμεῖ ἑαυτόν, καὶ ἐξισοῖ τῷ

1. Α' Κορ. 14, 15.

σώματι τῆς ἀδελφότητος. Τὰ δὲ ἱμάτια ἃ ἀποδύεται λαβὼν ὁ οἰκονόμος τῆς μονῆς φυλάττει, ἀφορίσας ἕως δ' ἂν τῆς προκοπῆς αὐτοῦ καὶ τῆς ἀναστροφῆς, καὶ ὑπομονῆς τῆς ἐν διαφόροις πειρασμοῖς ἀπόδειξιν παράσχῃ. Καὶ εἰ μὲν εὕρωσιν αὐτὸν δυνάμενον ἐν τούτοις καρτερεῖν, καὶ ἐν σπουδῇ πάσῃ, καὶ διαπύρῳ θέρμῃ ᾗ ἐνήρξατο, διαμένοντα, τοῖς λοιποῖς συναριθμοῦσιν ἀδελφοῖς· εἰ δέ τι γογγυσμοῦ ἐλάττωμα, ἢ παρακοῆς οἱασδήποτε ἁμαρτίαν ἐν αὐτῷ καταμάρθωσιν [καταμάθωσι], ἐκδύοντες τοῦτον ἅπερ ἐκ τοῦ μοναστηρίου ἐνεδύσαντο, καὶ τοῖς κοσμικοῖς ἐνδύμασι πάλιν περιβάλλοντες, ἀπωθοῦνται τοῦ κοινοβίου. Ὡς ἐκ ταύτης λοιπὸν τῆς ἀκριβείας μὴ εὐχερὲς εἶναι τῷ βουλομένῳ εἰσέρχεσθαι ὡς βούλεται ἢ ἀναχωρεῖν τῆς μονῆς, ἀλλὰ τὸν μὴ ἐμμένοντα κατὰ πάντα τρόπον τῇ ἰδίᾳ ὁμολογίᾳ μετενδύεσθαι τοῦ μοναστηρίου.

4. Ὅτε τοίνυν ὁ ὑποδεχθεὶς ταύτῃ, ἧπερ εἰρήκαμεν, ἀκριβείᾳ δοκιμασθῇ, καὶ ἄμεμπτος εὑρεθῇ, οὐ παραχρῆμα τῇ συνοδίᾳ τῶν ἀδελφῶν συναναμίγνυσθαι ἐπιτρέπεται, ἀλλὰ παραδίδοται τῷ ἐντεταγμένῳ τὴν φροντίδα τῶν ξένων, καὶ τούτοις πᾶσαν ἐπιμέλειαν καὶ ὑπηρεσίαν ποιεῖν προστάσσεται· καὶ ὅτε ὁλόκληρον ἐνιαυτὸν ἀμέμπτως ἐξυπηρετήσῃ τοῖς ξένοις, τυπωθεὶς διὰ τούτου πρὸς ταπείνωσιν καὶ μακροθυμίαν, συναριθμεῖται λοιπὸν τῇ συνοδίᾳ τῶν ἀδελφῶν, καὶ παραδίδοται ἑνὶ τῶν γερόντων, ὃς ταύτην ἔχει τὴν μέριμναν, ὅπως διδάξῃ τὸν μαθητευόμενον, διὰ ποίας ὁδοῦ ἀρξάμενος δυνηθῇ ἐπὶ τὴν τελειότητα τῶν ἀρετῶν φθάσαι. Ἐν πρώτοις οὖν διδάσκει αὐτὸν σπουδάζειν νικᾶν τὰς ἰδίας ἐπιθυμίας καὶ ἡδονάς, διὰ τὸ ἐπιτάσσειν αὐτῷ τὰ ἐναντία τῶν θελημάτων αὐτοῦ. Οὐκ ἄλλως γὰρ λέγουσιν οἱ πατέρες δύνασθαί τινα τὰς ἡδονὰς χαλινοῦν, ἢ ὀργῆς περιγίνεσθαι, ἢ λύπης, ἢ ταπείνωσιν ἀληθῆ κτήσασθαι, ἢ ἁπλῶς μετὰ ἀδελφότητος ἐν κοινοβίῳ τελειωθῆναι, εἰ μὴ πρότερον διὰ τῆς ὑπακοῆς νεκρώσῃ τὰ ἑαυτοῦ θελήματα. Ταύταις δὲ ταῖς διατυπώσεσι καὶ διδασκαλίαις τὸν μαθητευόμενον προβιβάσαντες ὡσανεὶ στοιχείοις τισί, καὶ συλλαβαῖς, ἀκολούθως πάλιν διδάσκουσι μὴ κρύπτειν τοὺς ἰδίους λογισμούς· ἀλλὰ παραχρῆμα ἡνίκα ἐπέρχονται, τούτους τῷ οἰκείῳ Πατρὶ ἀποκαλύπτειν, καὶ μηδὲν περὶ τῆς τούτων διακρίσεως τῇ ἰδίᾳ καρδίᾳ πιστεύειν· ἀλλ' ἐκεῖνο γινώσκειν ἀγαθὸν ἢ κακὸν εἶναι, ὅπερ ταῖς ἑαυτοῦ διακρίσεσι δοκιμάσας ὁ Πατὴρ ἀποδείξει. Οὕτω γὰρ δυνήσεται ἐν μηδενὶ ὑπὸ τοῦ ἐχθροῦ ὁ πρὸς ἀρετὴν τυπούμενος ἀπατᾶσθαι, ὡς ἄπειρος, καὶ μήπω γνῶσιν κεκτημένος μεθοδείας· διανὲς τῆς τοῦ διαβόλου τέχνης λέγουσιν εἶναι οἱ Πατέρες, τοῦ ἀναπείθειν αὐτὸν τοὺς μαθητευομένους ἀπὸ τῶν Πατέρων κρύπτειν τοὺς ἰδίους λογισμοὺς ἰδίᾳ ὑπεροψίᾳ, ὡς δῆθεν ἱκανοὺς ὄντας ἑαυτοῖς τὰ συμφέροντα συμβουλεύσασθαι, ἢ ἰδίᾳ κενοδοξίᾳ αἰσχυνομένους δημοσιεῦσαι τὰς ἑαυτῶν ἐνθυμήσεις.

5. Τοσαύτη δὲ φυλάττεται παρ' αὐτοῖς ὑποταγή, ὡς μὴ τολμῆ-

σαί τινα ἐκτὸς τοῦ ἀββᾶ μηδὲ τοῦ κελλίου ὅπου κάθηται προβαίνειν· οὕτω δὲ τὰ παρ' αὐτοῦ προστασσόμενα ἐπιτελεῖν σπουδάζουσιν, ὡς παρὰ Θεοῦ ταῦτα δεχόμενοι. Καθήμενοι δὲ ἐν τοῖς ἰδίοις κελλίοις, τῷ ἔργῳ τε καὶ τῇ μελέτῃ, καὶ τῇ προσευχῇ προσκείμενοι, καὶ μετὰ σπουδῆς προσέχοντες, ἐπειδὰν ἀκούσωσι τοῦ κρούοντος τὴν θύραν τοῦ κελλίου ἢ εἰς τὴν κοινὴν προσευχὴν ἢ πρός τι ἔργον τούτους προσκαλουμένου, παραχρῆμα πάντα ὁμοῦ ἀφέντες, πρὸς τὸ ἐπιταγὲν ὁρμῶσι, πάσῃ σπουδῇ τὴν τῆς ὑπακοῆς ἀρετὴν ζηλοῦντες· ἣν οὐ μόνον τοῦ ἔργου τῶν χειρῶν, ἀναγνώσεώς τε καὶ τῆς ἐν κελλίῳ ἡσυχίας, ἀλλὰ καὶ πασῶν ἀρετῶν προτιμῶσι, καὶ ταύτης ἅπαντα δεύτερα τίθενται.

6. Ἐκεῖνο δὲ μεταξὺ τῶν ἄλλων περιττόν ἐστι καὶ λέγειν, ὡς οὐδεὶς αὐτῶν ἄλλο τι κέκτηται πλὴν κολοβίου, καὶ ἡμιφορίου, καὶ σανδαλίων, καὶ μηλωτῆς, καὶ ψιάθου· αἰσχύνην ἡγούμενοι τὸ λέγεσθαι παρ' αὐτοῖς, βιβλίον ἐμόν, γραφεῖον ἐμόν, ἢ ἄλλο τι ἐμόν. Τοσοῦτον δὲ ἕκαστος αὐτῶν καθ' ἡμέραν ἐξ ἔργου τε καὶ ἱδρῶτος ἰδίου προσφέρει πορισμὸν τῷ μοναστηρίῳ, ὡς μὴ μόνον ταῖς ἑαυτῶν χρείαις ἐξαρκεῖν, ἀλλὰ καὶ τῇ διακονίᾳ τῶν ξένων καὶ πτωχῶν ὑπουργεῖν. Οὕτως δὲ κάμνοντες οὐ φυσιοῦνται, οὐχ ὑπερηφανεύονται, οὔτε τις αὐτῶν ἐκ τοῦ οἰκείου ἔργου καὶ ἱδρῶτος ἀπαιτεῖ περισσότερον τῆς διδομένης παρὰ τοῦ ἀββᾶ χρείας· οὐ κτῆμα οἱασδήποτε ὕλης ἑαυτῷ περιποιεῖται, πάροικον ἑαυτὸν καὶ ξένον ἔχων ὅλου τοῦ κόσμου, καὶ δοῦλον ἑαυτὸν μᾶλλον καὶ ὑπηρέτην τῶν ἀδελφῶν λογιζόμενος, ἤπερ δεσπότην οἱονδήποτε γηΐνου πράγματος. Εἰ δέ τις κλάσῃ σκεῦος οἱονδήποτε, ἢ ἀπολέσῃ, ἐξομολογεῖται τῷ ἀββᾷ τῆς ἰδίας ῥᾳθυμίας τὸ πταῖσμα, καὶ οὕτω μετὰ ταπεινοφροσύνης μετανοῶν λαμβάνει συγχώρησιν. Ὅστις δὲ πρός τι ἔργον μετακληθείς, ἢ πρὸς σύναξιν, καταφρονήσας βραδύτερον ἀπαντήσῃ, ἢ σκληρότερον, ἢ προπετέστερον ἀποκριθῇ, ἢ ἀμελέστερον, ἢ ὑπογογγύζων τὸ προσταχθὲν ποιήσῃ, ἢ τὴν ἀνάγνωσιν τοῦ ἔργου καὶ τῆς ὑπακοῆς προτιμήσας, τὰ προσταχθέντα αὐτῷ ἔργα βραδύτερον ἐκτελέσῃ, ἢ ἀπολυθεὶς τῆς συνάξεως μὴ ταχέως πρὸς τὸ ἔργον αὐτοῦ ἀναδράμῃ, ἢ μετά τινος ἐκτὸς ἀναγκαίας χρείας ὁμιλήσῃ, ἢ ἄλλου μετὰ παρρησίας κατάσχῃ τὴν χεῖρα, ἢ συγγενειῶν συντύχῃ χωρὶς τοῦ ἀλλὰ αὐτοῦ ἐπιτροπῆς καὶ εὐλογίας, ἢ ἐπιστολὴν παρά τινος δέξηται, ἤ τινι ἀντιγράψαι ἄνευ τοῦ ἀββᾶ ἐπιχειρήσῃ, ἤ τι τῶν ὁμοίων τούτοις πλημμελήσῃ, τοιούτῳ ἐπιτιμίῳ ὑποβάλλεται· Συνηγμένων τῶν ἀδελφῶν ἐν τῇ συνάξει, ῥίψας ἑαυτὸν ἐπὶ τὴν γῆν, καὶ ἐξομολογούμενος, συγχώρησιν αἰτεῖ τοῦ ἰδίου σφάλματος. Τὰ δὲ παχύτερα τούτων πταίσματα εἴ τις εὑρεθῇ πράττων, ἅτινά ἐστι καταφρόνησις, ἀντιλογία μετὰ ὑπερηφανίας, ἢ ἐκ τοῦ μοναστηρίου πρόοδος ἐκτὸς ἐπιτροπῆς τοῦ ἀββᾶ, ἢ πρὸς γυναῖκα συντυχία, ἢ ὀργή, ἢ μάχη, ἢ ἔχθρα, ἢ μνησικακία, ἢ φυλαργυρία, ἥτις ἐστὶ λέπρα ψυχῆς, ἢ κτῆσις οἱουδήποτε πράγματος ἐκτὸς τῶν διδομένων παρὰ τοῦ ἀββᾶ, ἢ τροφῆς ἄνευ εὐλογίας κλεψιμαίῳ τρόπῳ γινομένης, καὶ τὰ τούτων παραπλή-

σια, οὐ τῷ προειρημένῳ ἐπιτιμίῳ ὑποβάλλεται, ἀλλὰ σφοδροτέρῳ, καὶ μείζονι. Καὶ εἰ μὴ διορθωθῇ, ἐκβάλλεται τοῦ μοναστηρίου.

7. Τὸ δὲ ἀνάγνωσιν ἐπιτελεῖσθαι ἔν τισι κοινοβίοις κατὰ τὸν καιρὸν τῆς ἑστιάσεως, οὐκ ἀπὸ τοῦ κανόνος τῶν Αἰγυπτίων, ἀλλὰ ἀπὸ τῶν Καππαδόκων, οἵτινες, οὐ πνευματικῆς ἕνεκεν τοσοῦτον γυμνασίας, ὅσον ἡσυχίας χάριν τῆς παρὰ τὰς ὁμιλίας, τὸ τοσοῦτον διετυπώσαντο. Παρὰ δὲ τοῖς Αἰγυπτίοις, καὶ μάλιστα τοῖς Ταβεννησιώταις, τοσαύτη σιωπὴ ὑπὸ πάντων παρέχεται, ἡνίκα εἰς τοσοῦτον πλῆθος πολυαρίθμητον τῶν ἀδελφῶν κατὰ τὸν καιρὸν τῆς συνάξεως τῆς τραπέζης αὐτῶν, ὅσην σχεδὸν ἐν ἄλλοις μὴ εὑρίσκεσθαι, οὕτως ὡς μὴ τολμᾶν βρῆξαί τινα παρεκτὸς τοῦ ἀρχηγοῦ τῆς τραπέζης, ὅστις, εἴ τινος χρεία γένηται κρούσματι μᾶλλον ἢ φωνῇ τοῦτο σημαίνει. Καὶ τὰ κουκούλια ἕως κάτω τῶν βλεφάρων φοροῦσιν οὗτοι, ἵνα μή, ῥεμβοὺς τοὺς ὀφθαλμοὺς ἔχοντες, περιεργότερον ἀλλήλοις ἐνορῶσι· τῇ δὲ τραπέζῃ μόνον, καὶ τῇ τοῦ τρέφοντος Θεοῦ εὐχαριστίᾳ ἐνατενίζουσι. Μεγάλη δέ ἐστι φυλακὴ παρ' αὐτοῖς ὅπως μηδεὶς αὐτῶν ἔξωθεν τῆς τραπέζης τροφῆς μεταλάβῃ.

8. Ἵνα δὲ μή τι δόξωμεν τῶν κοινοβιακῶν κανόνων παραλελοιπέναι, ἐπιμνησθῆναι δεῖ καὶ τῶν ἐν ἄλλοις κλίμασι παραδεδομένων διατυπώσεων. Κατὰ πᾶσαν τοίνυν τὴν Μεσοποταμίαν καὶ Παλαιστίνην, καὶ Καππαδοκίαν, καὶ πᾶσαν τὴν Ἀνατολὴν ἐν τῷ καιρῷ τῆς συνάξεως, τρίτης, καὶ ἕκτης, καὶ ἐνάτης ὥρας, εἴ τις, πρὶν ἢ ὁ πρῶτος ψαλμὸς τελειωθῇ, μὴ ἀπαντήσῃ, τοῦ λοιποῦ εἰς τὸ εὐκτήριον εἰσελθεῖν οὐ τολμᾷ, οὔτε καταμίξαι ἑαυτὸν τοῖς ψάλλουσιν· ἀλλὰ τῶν ἀδελφῶν τὴν ἀπόλυσιν πρὸ θυρῶν ἐκδέχεται ἱστάμενος. Ἐξερχομένων δὲ πάντων, βαλὼν ἐπὶ τὴν γῆν μετάνοιαν, ἐξαιτεῖται τῆς οἰκείας ῥᾳθυμίας συγχώρησιν. Ἐν δὲ ταῖς νυκτεριναῖς συνάξεσι δευτέρου ψαλμοῦ, παρέχεται συγγνώμη τοῖς βραδύνουσι παρὰ τούτοις· καὶ ἑβδομάδας οἱ ἀδελφοὶ ἐκ διαδοχῆς ποιοῦσιν ἔν τε τῷ μαγειρείῳ καὶ τοῖς ἄλλοις καθήκουσιν, ἅμα καὶ ἑαυτοὺς διαναπαύοντες, καὶ νόμον ἀγάπης, διὰ τὸ δουλεύειν ἀλλήλοις, ἀναπληροῦντες. Τοσαύτη δὲ ταπεινοφροσύνη καὶ σπουδὴ ἐν τῇ διακονίᾳ ἐπιτελεῖται παρ' αὐτοῖς, ὅση οὐκ ἂν δεσπόταις παρὰ δούλων παρασχεθείη. Συμπληρωθείσης δὲ τῆς ἑβδομάδος, τῇ ἀναστασίμῳ ἡμέρᾳ μετὰ τοὺς ἑωθινοὺς ὕμνους, ἄλλοις πάλιν τοῖς εἰσερχομένοις ὑπηρετῆσαι τὰ πρὸς τὴν χρῆσιν σκεύη σεσημειωμένα παραδιδόασιν· ἅτινα δεχόμενοι, τοσαύτην μέριμναν καὶ φροντίδα εἰς τὴν τούτων παραφυλακὴν ἐνδείκνυνται, μή τι ἐξ αὐτῶν κλασθῇ ἢ ἀπόληται, ὅσην εἰκὸς τὸν πεπιστευμένον σκεύη ἱερὰ καὶ τῷ Θεῷ ἀνατεθειμένα. Ὑφέξειν γὰρ λόγον ἑτοιμάζονται οὐ μόνον ἐν τῷ παρόντι τῷ οἰκονόμῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι τῷ Θεῷ, εἰ τύχοι ἐξ ἀμελείας ἢ ῥᾳθυμίας ἀπολέσθαι τί ἐξ αὐτῶν. Πρὸς πλείονα δὲ πίστιν τῶν εἰρημένων, ὅπερ αὐταῖς ὄψεσιν ἐθεασάμην προσθήσω τῷ διηγήματι. Ἐν τῇ ἑβδομάδι τινὸς ἀδελφοῦ παριὼν ὁ οἰκονόμος ὀλίγους κόκκους

φακῆς κατὰ γῆν ἐρριμμένους ἐθεάσατο, καὶ οὐ κατεφρόνησεν ὡς οἰκτροῦ καὶ οὐδαμινοῦ πράγματος· ἀλλὰ πολλὰ ἐγκαλέσας τῷ τὴν ἑβδομάδα πεπιστευμένῳ ἀδελφῷ, δέδωκεν αὐτῷ ἐπιτιμίαν, ὡς ἀμελοῦντι τῶν τῷ Θεῷ ἀνατιθεμένων, καὶ καταπατοῦντι, τὴν ἰδίαν συνείδησιν. Τοσαύτῃ γὰρ πίστει καὶ σπουδῇ πάντων ἐπιμελοῦνται, καὶ πάντα διοικοῦσιν, ὡς καὶ αὐτά, ἅπερ ἡμῖν εὐτελῆ καὶ καταφρονήσεως ἄξια φαίνονται, μετὰ πολλῆς προσοχῆς, φυλάττειν οἷον ἀγγεῖον κακῶς κείμενον μεταστῆσαι, σκεῦος ἐρριμμένον συνάξαι, πιστεύοντες καὶ ὑπὲρ τούτων μισθὸν ἔχειν παρ' αὐτῷ τῷ Δεσπότῃ Θεῷ. Τούτους δὲ τοὺς κανόνας τῶν ἑβδομάδων κατὰ πᾶσαν τὴν Ἀνατολὴν εὑρήκαμεν γίνεσθαι. Παρὰ δὲ τοῖς Αἰγυπτίοις οὐχ οὕτω τῶν ἑβδομάδων ἡ ἐναλλαγὴ ἐπιτελεῖται, ἀλλὰ ἑνὶ δοκιμωτάτῳ τῶν ἀδελφῶν ἡ τοῦ μαγειρείου φροντὶς ἐπιτρέπεται, ἐφ' ὅσον ἡ ἀρετὴ τούτου ἐπιδίδωσι, καὶ ἡ ἰσχὺς τοῦ σώματος ὑπουργεῖ ἐν τῇ διακονίᾳ, καὶ μήτε γῆρας αὐτῷ μήτε ἀσθένεια ἐμποδίζει. Καὶ ἐπειδὴ ὁ λόγος ἡμῖν περὶ ὑποταγῆς καὶ ταπεινώσεως εἴρηται, δι' ὧν πρὸς τὸ ἀκρότατον τῆς ἀρετῆς ἀνεκθεῖν δυνάμεθα, ἀναγκαῖον ὑπολαμβάνω ὀλίγα ἐκ πολλῶν τῶν ἐν τοῖς κοινοβίοις διαλαμψάντων ἀγώνων [ἁγίων] Πατέρων κατορθώματα παραδείγματος χάριν προσθεῖναι τῷ διηγήματι.

9. Γέγονέ τις Πατὴρ Μούθιος ὀνόματι. Οὗτος ἐπιποθῶν ἀποτάξασθαι τῷ κόσμῳ, παραγενόμενος κοινοβίῳ, ἐπιπολὺ πρὸ τῶν θυρῶν τοῦ μοναστηρίου ἐκαρτέρησεν, ἕως ὅτε τῇ πολλῇ αὐτοῦ ὑπομονῇ μετὰ μικροῦ υἱοῦ παρὰ τὸν συνήθη κανόνα τοῦ κοινοβίου ἐδέχθη. Καὶ ὅτε μετὰ πολλοὺς κόπους εἰσῆλθεν, οὐ μόνον διαφόροις ἔργοις παρεδόθησαν, ἀλλὰ καὶ κατὰ τὴν τοῦ κελλίου συνοίκησιν διεχωρίσθησαν, ὅπως τῇ ἀπ' ἀλλήλων διαζεύξει κατὰ μικρὸν τῆς πρὸς ἀλλήλους φυσικῆς προσπαθείας ἀπαλλαγῶσιν· ἧς χάριτι Χριστοῦ διὰ τῆς πολλῆς γυμνασίας ὁ πατὴρ ἠλευθερώθη. Καί ποτε πρὸς βάσανον καὶ δοκιμὴν τῆς αὐτοῦ ἀρετῆς προσεποιήσατο ὁ ἀββᾶς μετ' ὀργῆς ἀγανακτεῖν πρὸς τὸν παῖδα, καὶ προστάσσει τῷ εἰρημένῳ πατρὶ αὐτοῦ λαβεῖν αὐτὸν καὶ ῥίψαι εἰς τὸν ποταμόν. Τότε ἐκεῖνος, ὡς ἂν ὑπὸ Θεοῦ προσταχθεὶς βαστάσαι αὐτοῦ τὸν παῖδα, δρομαῖος ἐπὶ τὴν ὄχθην τοῦ ποταμοῦ παραγίνεται, καὶ σπεύδων πληρῶσαι τὸ πρόσταγμα πίστει διαπύρῳ καὶ θερμότητι τῆς ὑπακοῆς, ἐκωλύθη ὑπὸ τῶν ἀδελφῶν, ἐπιφθασάντων καὶ ἀφαρπασάντων τὸν παῖδα. Τοσοῦτον οὖν παρὰ Θεῷ ἡ πίστις τούτου καὶ ἡ ὑπακοὴ προσεδέχθη, ὡς ἀποκαλυφθῆναι τῷ ἀββᾷ ἐκ τοῦ Θεοῦ, ὅτι τὸ ἔργον τοῦ Ἀβραὰμ οὗτος ἐποίησε. Μετ' ὀλίγον δὲ χρόνον ὁ εἰρημένος ἀββᾶς τοῦ κοινοβίου τελευτῶν, τοῦτον διάδοχον αὐτοῦ κατέλιπεν.

10. Ἄλλον ἔγνωμεν ἀδελφὸν ἀποταξάμενον, ὃς καὶ κατὰ τὸν κόσμον μέγας ὑπῆρχε (καὶ γὰρ ὁ Πατὴρ αὐτοῦ κόμης ἐστρατεύετο καὶ πλούσιος ἐτύγχανε), καὶ ἐν ἀναγνώσμασι σπουδαίοις οὐ μετρίως ἦν γεγυμνασμένος. Οὗτος οὖν καταλείψας τὴν κοσμικὴν περιφάνειαν,

πρὸς τὸν μονήρη βίον ὥρμησε, καὶ δὴ πρὸς δοκιμὴν τῆς αὐτοῦ πίστεως καὶ ταπεινώσεως προστάσσεται ὑπὸ τοῦ ἀββᾶ δέκα σπυρίδας βαστάσαι, καὶ ἐν τῇ πόλει τῇ ἰδίᾳ πωλῆσαι, καὶ μὴ πάσας ὁμοῦ ἀλλὰ κατὰ μίαν αὐτὰς πωλεῖν· ὅπερ ἐκεῖνος μετὰ πάσης ὑπομονῆς καὶ ταπεινώσεως ἐπλήρωσεν, ἐπιθεὶς τὰς σπυρίδας τοῖς ὤμοις, καὶ αὐτὰς κατὰ μίαν πωλήσας, μὴ λογισάμενος τὴν εὐτέλειαν τοῦ πράγματος, καὶ τοῦ γένους τὴν λαμπρότητα, καὶ τῆς πράσεως τὴν δοκοῦσαν ἀτιμίαν. Ἐσπούδαζε γὰρ μιμητὴν ἑαυτὸν καταστῆσαι τῆς τοῦ Χριστοῦ ταπεινώσεως.

11. Καὶ ἄλλον δέ τινα τῶν Πατέρων ἐθεασάμεθα ἀββᾶν Πινοφᾶν, ἄνδρα πάσῃ ἀρετῇ κεκοσμημένον, ὅστις ἦν πρωτόβιος καὶ ἀββᾶς μεγάλου κοινοβίου, ὅ ἐστιν ἐν Αἰγύπτῳ ἐγγὺς τῆς Πανεφὼ πόλεως· οὗτος, ὁρῶν ἑαυτὸν καὶ διὰ τὴν προσοῦσαν πολιτείαν, καὶ διὰ τὸ γῆρας, καὶ διὰ τὴν ἡγεμονίαν, ὑπὸ πάντων δοξαζόμενον καὶ τιμώμενον, καὶ μὴ δυνάμενον ἐγγυμνάζεσθαι τοῖς τῆς ταπεινοφροσύνης ἐπιτηδεύμασιν, οἷσπερ ἐξ ἀρχῆς, διὰ τῆς αὐτῷ περιποθήτου ὑποταγῆς ἐν ᾗ ἐκλήθη, λάθρα φυγὼν ἀπὸ τοῦ ἰδίου κοινοβίου, ἀνεχώρησε μόνος εἰς τὰ ἔσχατα τῆς Θηβαΐδος· καὶ ἐπάρας τὸ σχῆμα τοῦ μοναχοῦ καὶ ἐνδυσάμενος κοσμικὰ ἱμάτια ἀπῆλθεν εἰς τὸ κοινόβιον τῶν Ταβεννησιωτῶν, νομίσας ἐν τούτῳ λανθάνειν τίς ἂν εἴη διὰ τὸ πλῆθος τῶν ἀδελφῶν, καὶ διὰ τὸ ἀπέχειν πολὺ τοῦ κλίματος, ἐν ᾧ τὸ τούτου κοινόβιον. Καὶ ἐπὶ πολλὰς ἡμέρας παρακαλῶν ἐδέχθη παρὰ τοῦ ἀρχιμανδρίτου, ὃς παραδίδωσιν αὐτῷ ὡς γέροντι, καὶ εἰς μηδὲν ἄλλο χρησιμεύοντι, τὴν τοῦ κήπου φροντίδα καὶ ἐπιμέλειαν, μετὰ καὶ ἄλλου ἀδελφοῦ, ᾧτινι ὑποτασσόμενος τὴν περιπόθητον αὐτῷ ταπείνωσιν καὶ ὑπακοὴν ἐξετέλει. Οὐ ταύτῃ δὲ μόνον ἠρκεῖτο τῇ διακονίᾳ, ἀλλὰ καὶ ὅσα τῶν ἔργων δυσχερῆ ἄλλοις ἐδόκουν, αὐτὰ προθύμως ἐποίει. Διατελέσας οὕτω λανθάνων τριετῆ χρόνον, τῶν αὐτοῦ μαθητῶν ἐπιζητούντων αὐτὸν κατὰ πᾶσαν τὴν Αἴγυπτον, μόλις ἐγνώσθη ὑπό τινος ἀδελφοῦ, ὅστις ἦν παραγενόμενος ἐκεῖσε· ὃς θεασάμενος, καὶ ἐπιγνοὺς τὸν χαρακτῆρα τοῦ προσώπου, καὶ ἔτι ἀμφιβάλλων, ἐπειρᾶτο καὶ φωνῆς τούτου ἀκούειν· οὐ γὰρ εἶχε τὸ ἀσφαλὲς ἐκ μόνης τῆς ὄψεως, θεωρῶν τὸν τοιοῦτον ἄνδρα γεγηρακότα, καὶ δίκελλαν κρατοῦντα, καὶ γῆν ἐργαζόμενον, καὶ κόπρον τοῖς οἰκείοις ὤμοις βαστάζοντα, καὶ ταῖς ῥίζαις τῶν λαχάνων ἐπιβάλλοντα. Ὅτε τοίνυν, τὸν τῆς φωνῆς ἦχον ἐπιμελῶς ἐξιχνεύων, ἠδυνήθη καταλαβεῖν ὅστις ἐστί, ῥίψας ἑαυτὸν πρὸ τῶν ποδῶν αὐτοῦ, μεγίστην ἔκπληξιν τοῖς ὁρῶσι παρεῖχεν, ὅτι οὕτω πεποίηκεν ἀνθρώπῳ, ὃς παρ' αὐτοῖς ὡς ἀρχάριος, καὶ οὐ πρὸ πολλοῦ τὸν κόσμον καταλείψας, ἔσχατος ἐνομίζετο. Ἔτι δὲ μάλιστα ἐξεπλάγησαν, ὅτε τὸ ὄνομα τούτου ἔμαθον, ὃς πρὸ τούτου μέγας παρ' αὐτοῖς ἠκούετο· καὶ συγγνώμην ᾔτουν, διότι τοῦτον ἀγνοήσαντες μετὰ τῶν ἐσχάτων ἀρχαρίων ἔταξαν. Παρακαλέσαντες δὲ αὐτὸν πολλά, εἰς τὸ ἴδιον κοινόβιον ἐξέπεμψαν ἄκοντα καὶ ὀδυρόμενον, ἅτε δὴ μὴ συγ-

χωρούμενον ἐκτελέσαι τὴν αὐτῷ φίλην ταπείνωσιν καὶ ὑποταγήν. Ποιήσας οὖν ὀλίγον χρόνον ἐν τῷ αὐτοῦ μοναστηρίῳ, πάλιν πυρωθεὶς τῷ πόθῳ τῆς ταπεινώσεως καὶ ὑποταγῆς, ἐπιτηρήσας καιρὸν νυκτός, ἔφυγεν οὐκ ἔτι ξένην χώραν· ἀνελθὼν γὰρ εἰς πλοῖον ἦλθεν εἰς τὰ μέρη Παλαιστίνης, ἐλπίζων ἐκεῖσε εἰς τέλος διαλαθεῖν. Παραγενόμενος τοίνυν ἐν Παλαιστίνῃ ὥρμησεν εἰς τὸ μοναστήριον τὸ πλησίον τοῦ σπηλαίου ἔνθα ὁ Δεσπότης Χριστὸς ἐτέχθη· ἐν ᾧ μοναστηρίῳ ἔτυχε τὸ τηνικαῦτα διατρίβων. Καὶ ἐκεῖσε δὲ παραγενόμενος, οὐκ ἠδυνήθη λαθεῖν κατὰ τὴν δεσποτικὴν φωνήν, τὴν φάσκουσαν· «Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη.[1]» Ἐλθόντες γὰρ ἀδελφοὶ ἀπὸ τῶν μερῶν τῆς Αἰγύπτου εἰς προσκύνησιν τῶν ἁγίων τόπων, καὶ ἐπιγνόντες αὐτόν, πάλιν ἀπήγαγον εἰς τὸ ἴδιον κοινόβιον πολλαῖς δεήσεσι καὶ ὀδυρμοῖς πείσαντες αὐτόν. Τούτῳ τοίνυν τῷ ἁγίῳ ἀνδρὶ συνῴκησα ἐγὼ χρόνον ὀλίγον ἐν Αἰγύπτῳ· ἅπερ δὲ ἤκουσα αὐτοῦ νουθετοῦντος ἕνα ἀδελφόν, ὃν παρουσίᾳ μου ἐδέξατο, διηγησάμενος πληρώσω τὸν λόγον.

12. Ἔγνως, φησίν, ἀδελφέ, πόσας ἡμέρας πρὸ τῶν θυρῶν τῆς μονῆς διατελέσας σήμερον ἐδέχθης· ἐὰν τοίνυν μάθῃς τῆς δυσχερείας τὴν αἰτίαν, δυνήσεταί σοι ἐν τῇ ὁδῷ ταύτῃ, ᾗ ἐπιθυμεῖς ἐπιβῆναι, συμβαλέσθαι, καὶ δοῦλον Χριστοῦ σε ἀπεργάσασθαι πιστόν. Ὡς γὰρ τοῖς πιστῶς δουλεύουσι τῷ Δεσπότῃ δόξα, τιμὴ πρὸς τὸ μέλλον ἐπήγγελται, οὕτως τιμωρίαι βαρύταται τοῖς χλιαρῶς καὶ ῥαθύμως προερχομένοις ταύτῃ τῇ ἐπαγγελίᾳ. Βέλτιον γάρ ἐστι κατὰ τὴν Γραφὴν μὴ εὔξασθαι, ἢ εὔξασθαι, καὶ μὴ ἀποδοῦναι. Καὶ πάλιν εἴρηται· «Ἐπικατάρατος ὁ ποιῶν τὸ ἔργον τοῦ Κυρίου ἀμελῶς·[2]» τούτου χάριν ἀπεστραφόμεθά τε καὶ ἀνεβαλλόμεθα τοῦ δέξασθαι, οὐχ ὅτι τὴν σωτηρίαν σοῦ καὶ πάντων τῶν εἰς Χριστὸν πιστευόντων οὐκ ἐπιθυμοῦμεν, ἀλλ' ἵνα μή, προπετῶς, καὶ ὡς ἔτυχεν ὑποδεχόμενοι, ἡμεῖς μὲν παρὰ Θεῷ κουφότητος, καὶ εὐχόμενοι, δίκην ὑφέξωμεν, σὲ δὲ ὑπεύθυνον βαρυτέρας τιμωρίας καταστήσωμεν, εἰ πρὸς τὸ παρὸν εὐχερῶς, καὶ μὴ μαθόντα τὸ βάρος καὶ τὴν ἀκρίβειαν τοῦ ἐπαγγέλματος, καὶ μετὰ ταῦτα χαῦνος, καὶ ῥάθυμος ἀποδειχθῇς. Διά τοι τοῦτο, καθὼς εἴρηται, τὴν αἰτίαν τῆς ἀποταγῆς ὀφείλεις γνῶναι, τί σε δεῖ ποιεῖν. Ἡ ἀποταγὴ τοίνυν οὐδὲν ἄλλο καθέστηκεν εἰ μὴ σταυροῦ καὶ θανάτου ἐπαγγελία. Γίνωσκε τοίνυν ἀπὸ τῆς σήμερον ἡμέρας τεθνηκέναι σε, καὶ σταυροῦσθαι τῷ κόσμῳ, καὶ τὸν κόσμον σοι, κατὰ τὸν Ἀπόστολον· καὶ καταμάνθανε τίς ἡ δύναμις τῆς σταυρώσεως· ἐπειδὴ οὐκέτι λοιπὸν σὺ ζῇς, ἀλλ' ἐκεῖνος ἐν σοὶ ζῇ ὁ ὑπὲρ σοῦ σταυρωθείς. Τούτῳ τοίνυν τῷ τύπῳ καὶ τῷ σχήματι, ᾧ ὁ Δεσπότης ὑπὲρ ἡμῶν ἐκρεμάσθη, καὶ ἡμᾶς ἐπάναγκές ἐστιν ἐν τῷ κοινοβίῳ διάγειν, καθὼς εὔχεται καὶ ὁ μακάριος Δαυὶδ ἐκ τοῦ φόβου τοῦ Θεοῦ παρακαλῶν καθηλωθῆναι τὰς σάρκας αὐτοῦ.[3] Ὡς γὰρ ὁ τὸ σῶμα προσηλωμένον ἔχων τῷ ξύλῳ ἀκίνητός ἐστι πρὸς

---

1. Ματθ. 5, 14. 2. Ἱερ. 31, 10. 3. Πρβλ. Ψαλμ. 118, 120.

πᾶσαν ἐνέργειαν οἵαν θέλει, οὕτως ὁ τῷ θείῳ φόβῳ καθηλωμένον τὸν λογισμόν, ἀκίνητος ὑπάρχει πρὸς πᾶν θέλημα σαρκικόν. Καὶ ὥσπερ ὁ σταυρῷ προσηλωμένος οὐκ ἔτι τὰ παρόντα λογίζεται, οὐδὲ τοῖς ἰδίοις θελήμασι συνδιατίθεται, οὐκ ἐπιθυμίᾳ ταράττεται, οὐ φροντίδι τοῦ κτᾶσθαι κατατείνεται, οὐχ ὑπερηφανίᾳ φυσιοῦται, οὐ φιλονεικίᾳ, οὐ φθόνῳ ἐξάπτεται, οὐ περὶ τῶν παρουσῶν ἀτιμιῶν ἀλγεῖ, οὐ τὰς παρελθούσας ὕβρεις ἀναμιμνήσκεται· μικρὸν γὰρ ὕστερον τὴν ἐκ τοῦ βίου ἔξοδον ἐκδέχεται διὰ τοῦ σταυροῦ· οὕτως ὁ ἀποταξάμενος γνησίως τῷ κόσμῳ, καὶ τῷ θείῳ φόβῳ ὡς ἐν σταυρῷ καθηλωμένος, τὴν ἐκ τοῦ βίου τούτου ἔξοδον καθ' ἑκάστην προσδεχόμενος, ἀκινήτους καὶ ἀνενεργήτους ἔχει πάσας τὰς ἐπιθυμίας καὶ τὰς σαρκικὰς διαθέσεις.

13. Φυλάττου τοιγαροῦν μήποτε τούτων ἀναλαβεῖν ἐπιθυμήσῃς ὧν ἀποτασσόμενος ἀποβέβληκας. Κατὰ γὰρ τὴν ἀπόφασιν τοῦ Δεσπότου, «Ὁ βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον καὶ σταφεὶς εἰς τὰ ὀπίσω, οὐκ εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·[1]» καὶ ὁ πρὸς τὰ ταπεινά τε καὶ γήϊνα τοῦ κόσμου τούτου πράγματα ἀπὸ τῆς ὑψηλῆς πολιτείας καταβαίνων πάλιν παρ' ἐντολὴν τοῦ Χριστοῦ πράττει, τοῦ δώματος καταβαίνων, καὶ ἆραί τι τῶν τοῦ οἴκου ἐπιχειρῶν.[2] Φυλάττου τοίνυν μή, τῆς τῶν κατὰ σάρκα γονέων ἀρχαίας διαθέσεως ἀναμνησθείς, καὶ πρὸς τὰς φροντίδας τοῦ αἰῶνος τούτου ἐπιστραφείς, ἀνεύθετος εὑρεθῇς κατὰ τὴν τοῦ Κυρίου φωνὴν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Φυλάττου μήποτε τὴν ὑπερηφανίαν, ἣν ἀρχόμενος τῇ θέρμῃ τῆς ταπεινώσεως κατεπάτησας, ἀνεγείρῃς καθ' ἑαυτοῦ, ὅταν τὸ ψαλτήριον μάθῃς, ἤ τι τῆς Γραφῆς, ἢ καὶ κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν, ἃ κατέλυσας πάλιν οἰκοδομῶν, παραβάτην σεαυτὸν ἀποδείξῃς· ἀλλὰ μᾶλλον ὡς ἐνήρξω, καὶ ὁμολογήσας τὴν ταπείνωσιν ἐνώπιον Θεοῦ καὶ ἀγγέλων, ἕως τέλους διατήρησον. Ὁμοίως τὴν ὑπομονήν, ἣν ἐπεδείξω ἐν τῷ μοναστηρίῳ, ἐπὶ πολλὰς ἡμέρας πρὸ τῶν θυρῶν διακαρτερῶν, καὶ μετὰ δακρύων ἱκετεύων, σπούδασον ἐπαυξῆσαι. Ἄθλιον γὰρ ὄντως ὀφείλοντά σε καθ' ἑκάστην προστιθέναι τῇ πρώτῃ θέρμῃ, καὶ εἰς τὸ τέλειον ἀναβαίνειν προκόπτοντα ὑφαιρεῖν ἀπ' αὐτῆς, καὶ πρὸς τὰ κάτω ὑπαναλύειν. Οὐ γὰρ ὁ ἀρχόμενος τοῦ καλοῦ μακάριος, ἀλλ' ὅστις ἕως τέλους ἐν τούτῳ διαμείνῃ. Ὁ γὰρ ἐπὶ γῆς συρόμενος ὄφις τὴν ἡμετέραν ἀεὶ τηρεῖ πτέρναν, τουτέστι τῇ ἡμετέρᾳ ἐξόδῳ ἐπιβουλεύει, καὶ ἕως τέλους τῆς ζωῆς ἡμῶν ὑποσκελίζειν ἡμᾶς ἐπιχειρεῖ. Καὶ τούτου χάριν τὸ ἐνάρξασθαι καλῶς οὐδὲν ὠφελήσει, οὐδὲ ἡ ἀρχὴ τῆς ἐν ὑποταγῇ θερμότητος, εἰ μὴ καὶ τὸ τέλος ὡσαύτως γένηται. Καὶ ἡ τοῦ Χριστοῦ δὲ ταπείνωσις, ἣν νῦν ἐνώπιον αὐτοῦ ἐπηγγείλω, οὐκ ἄλλως βεβαιωθήσεται, εἰ μὴ ἕως τέλους ταύτην ὑποδείξῃς. Διό, ἵνα δυνηθῇς ταύτην τελείως κτήσασθαι, καὶ συντρίψαι τὴν κεφαλὴν τοῦ δράκοντος, σπούδαζε, ὅταν ἐπέρχωνταί σοι λογισμοί,

1. Λουκ. 9, 62. 2. Πρβλ. Λουκ. 17, 31.

εὐθέως ἐξ ἀρχῆς τούτους ἀπαγγέλλειν. Οὕτως γὰρ δημοσιεύων τὰς ἀρχὰς τῶν ὀλεθρίων τοῦ δράκοντος λογισμῶν, καὶ μὴ αἰσχυνόμενος ἐκφαίνειν τῷ σῷ Πατρί, συντρίψεις τὴν τούτου κεφαλήν.[1] Διὸ δὴ κατὰ τὴν Γραφήν, εἰ προσέλθῃς δουλεύειν τῷ Θεῷ[2], ἑτοίμασον σεαυτὸν μὴ πρὸς ἀμεριμνίας, μὴ πρὸς ἀνέσεις, ἀλλὰ πρὸς πειρασμούς, πρὸς θλίψεις, «Διὰ» γὰρ «πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·[3]» καί, «Στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοις εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.[4]» Πρόσχες τοίνυν τοῖς ὀλίγοις καλοῖς, καὶ ἐκ παραδείγματος αὐτῶν κανόνιζε τὸν ἑαυτοῦ βίον· μὴ προσχῇς τοῖς ῥαθύμοις καὶ καταφρονηταῖς, κἂν πολλοὶ ὦσι· «Πολλοὶ γάρ», φησί, «κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί[5]», καὶ μικρὸν τὸ ποίμνιον ᾧ ηὐδόκησεν ὁ Πατὴρ δοῦναι τὴν βασιλείαν.[6] Μὴ μικρὸν γὰρ εἶναι νομίσῃς ἁμάρτημα ἐπαγγέλλεσθαι τελειότητα, καὶ τοῖς ἀμελεστέροις καὶ ῥαθύμοις ἀκολουθεῖν. Ἵνα τοίνυν δυνηθῇς ἐπιβῆναι τῇ τελειότητι, ταύτῃ κέχρηστο τῇ τάξει, καὶ τούτοις ἀνάβαινε τοῖς βαθμοῖς.

14. Πρῶτος βαθμὸς ἀρετῆς καὶ ἀρχὴ τῆς ἡμετέρας σωτηρίας, ὁ φόβος ἐστὶ τοῦ Θεοῦ· διὰ τούτου καὶ τῶν ἁμαρτημάτων ἀποκάθαρσις, καὶ τῶν ἀρετῶν φυλακή, καὶ ὁδὸς ἐπὶ τὴν τελειότητα γίνεται. Ὅταν γὰρ ὁ τοῦ Θεοῦ φόβος εἰσέλθῃ εἰς τὴν ψυχήν, καταφρονεῖν πάντων πείθει τῶν τοῦ κόσμου πραγμάτων, καὶ λήθην τῶν κατὰ σάρκα συγγενῶν γεννᾷ, καὶ αὐτοῦ ὅλου τοῦ κόσμου. Ἐκ δὲ τούτων ταπείνωσις κεφάλαιον τῶν ἀρετῶν καὶ πλήρωμα πάντων τῶν καλῶν κατορθοῦται· καταφρονήσει γὰρ καὶ στερήσει πάντων τῶν πραγμάτων ἡ ταπείνωσις προσγίνεται. Ἡ ταπείνωσις δὲ τούτοις τοῖς γνωρίσμασι δοκιμάζεται. Πρῶτον εἰ νεκρωθέντα τις εἶχεν ἑαυτῷ τὰ ἴδια θελήματα· δεύτερον δὲ εἰ μὴ μόνον τῶν οἰκείων πράξεων, ἀλλὰ καὶ τῶν ἐνθυμήσεων μηδὲν τὸν ἴδιον κρύπτει Πατέρα· τρίτον, εἰ μὴ τῇ ἰδίᾳ συνέσει, ἀλλὰ πάντα τοῦ Πατρὸς διακρίσει πιστεύει, διψῶν ἀεὶ καὶ ἐπιποθῶν, καὶ ἡδέως ἀκούων τῆς τούτου νουθεσίας· τέταρτον, εἰ πᾶσιν ἀνεπαισχύντως δουλεύσει τοῖς τοῦ Πατρὸς προστάγμασι· πέμπτον, εἰ μὴ μόνον αὐτὸς οὐ τολμᾷ ὑβρίσαι τινά, ἀλλὰ καὶ τὰς ὑπὸ ἄλλων αὐτῷ ἐπαγομένας ὕβρεις μετὰ χαρᾶς ἔσται προσδεχόμενος· ἕκτον, εἰ μηδὲν ἐπιχειρήσει καινότερον πρᾶξαι, ὅπερ ὁ κανὼν ὁ κοινὸς προτρέπει, οὐδὲ τῶν Πατέρων τὰ παραδείγματα· ἕβδομον, εἰ πάσῃ εὐτελείᾳ ἀρκούμενος, καὶ ἐπ' αὐτοῖς τοῖς δεδομένοις εὐχαριστῶν, καὶ τούτων ἀνάξιον ἡγεῖται ἑαυτόν· ὄγδοον, εἰ ἑαυτὸν πάντοτε κατώτερον πάντων, καὶ μὴ ᾖ προπετὴς ἐν λόγοις· δέκατον, εἰ μὴ ἔστιν εὐχερὴς ἐν λόγοις, καὶ πρόχειρος ἐν γλώσσῃ. Τούτοις γὰρ καὶ τοῖς ὁμοίοις τούτων σημείοις ἡ ταπείνωσις γνωρίζεται. Ταῦτα, ὅταν ἐν ἀληθείᾳ κατορθωθῇ,

1. Πρβλ. Γεν. 3, 15. 2. Πρβλ. Σοφ. Σειρ. 2, 1. 3. Πράξ. 14, 22. 4. Ματθ. 7, 14. 5. Ματθ. 22, 14. 6. Λουκ. 12, 31-32.

ταχέως πρὸς τὸ ὕψος τῆς ἀγάπης ἀνάγει, ἐν ᾗ φόβος οὐκ ἔστι κολάσεως, καὶ δι' ἧς τὰ πάντα οὐκέτι μετὰ ἀνάγκης καὶ κόπου φυλάττεται, ἀλλὰ πόθῳ διαπύρῳ καὶ ἐπιθυμίᾳ τοῦ καλοῦ. Πρὸς ἥνπερ ἀρετὴν ἵνα ἰσχύσῃς εὐχερέστερον φθάσαι, ὑποδείγματά σοι πρὸς μίμησιν ἔστωσαν, οἱ λόγοι τῶν συμβαινόντων, καὶ εὐλάβειαν κεκτημένων ἀδελφῶν· μὴ οἱ πλείους, καὶ ἀμελέστερόν τε καὶ ῥᾳθυμότερον ζῶντες. Καὶ γὰρ ἐκ τοῦ μιμεῖσθαι καὶ ζηλοῦν τοὺς ἁγίους μεγίστη ὠφέλεια προσγίνεται τοῖς βουλομένοις πρὸς τελειότητα φθάσαι.

15. Εἰ τοίνυν θέλεις δυνηθῆναι πᾶσι τούτοις ἐξακολουθῆσαι, καὶ ὑπὸ τούτων εἰς τὸν πνευματικὸν ἀγῶνα τοῦ κοινοβίου ἄχρι τέλους διακαρτερῆσαι, ταῦτα ἃ εἶπεν ὁ Δαυὶδ ἀναγκαῖά σοι πρὸς φυλακὴν ἐν τῇ συνοδίᾳ τῶν ἀδελφῶν ἔστωσαν· «Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.[1]» Ὅσα τοίνυν βλέπεις ἀλλότρια οἰκοδομῆς καὶ ὠφελείας, ὡς τυφλὸς γενοῦ,καὶ ὅσα ἀκούεις, ὡς κωφὸς καὶ ἄλαλος, καὶ οὐκ ἔχων ἐν τῷ στόματι ἐλεγμούς. Καὶ μὴ μιμήσῃ τούτους, ὅσοι ἄπιστοι, καὶ ἀνήκοοι, καὶ προπετεῖς, καὶ συρφετοί, καὶ ὑβρισταὶ τυγχάνουσιν, ἀλλ' ὡς κωφὸς καὶ μὴ ἀκούων, ταῦτα παραπέμπου. Ἐάν σοί τις ἐλέγχους, ἢ ὀνείδη, ἢ ὕβρεις ἐπιπέμψῃ ἀκίνητος ἔσο ὡς πεφιμωμένος καὶ ἄλαλος, ἀεὶ τοῦτον τὸν στίχον ἐπιλέγων τοῦ ψαλμοῦ· «Εἶπα. Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου. Ἐθέμην τῷ στόματί μου φυλακήν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου, ἐκωφώθην, καὶ ἐταπεινώθην.[2]» Ἔτι μὴν πρὸς τούτοις καὶ τέταρτον τοῦτο πρὸ πάντων μελέτα, καὶ φυλάσσου, ὅπερ καὶ ταῦτα τὰ ἀνωτέρω εἰρημένα τρία κοσμῆσαι δύναται· τὸ μωρὸν καὶ ἄφρονα ἑαυτόν, κατὰ τὸ Ἀποστόλου παράγγελμα[3], ἐν τούτῳ τῷ αἰῶνι ποιῆσαι, ἵνα γένῃ σοφός, δηλονότι μηδὲν διακρίνων ἢ διστάζων ἐν οἷς ἂν προσταχθῇς, ἁπλότητος καὶ πίστεως τὴν ὑπακοὴν ποιῶν. Ἐκεῖνο μόνον ἅγιον τῶν ἁγίων λογιζόμενος, καὶ σοφόν, καὶ συμφέρον πιστεύων, τὸ ὑπὸ τοῦ σοῦ Πατρὸς προσταχθέν σοι. Τοιαύτῃ γὰρ διαθέσει ἀσφαλισάμενος τὴν σὴν καρδίαν, δυνήσῃ ἕως τέλους ὑπομεῖναι τὸν Χριστοῦ ζυγὸν τῆς ὑποταγῆς, καὶ οὐδέν σε τῶν τοῦ διαβόλου πειρατηρίων καὶ τεχνασμάτων δυνήσεται σαλεῦσαι ἐκ τῆς ἐπιστήμης τοῦ βίου. Καὶ τὴν ὑπομονὴν δέ, καὶ τὴν ταπείνωσιν, καὶ τὴν μακροθυμίαν τὴν σήν, μὴ ἐκ τῆς τῶν ἄλλων ἀρετῆς προσδόκα κατορθοῦσθαι· οἷον ἐὰν ἐπ' οὐδενὸς παροξύνῃ, ἢ οὐκ ἐξουδενώσῃ, ἢ οὐκ ἀτιμάζῃ, ὅπερ οὔτε τῆς σῆς ἀρετῆς ἐστι δεῖγμα, οὔτε ἐν τῇ ἐξουσίᾳ κεῖται· ἀλλ' ὅταν λοιδορούμενος, ἢ ἀτιμαζόμενος, ἢ ἐξουδενούμενος πράως φέρῃς· τοῦτο γὰρ ἐν τῇ σῇ προαιρέσει κεῖται. Ἵνα τοίνυν αὐτὰ πάντα, ἅπερ πλατύτερον εἰρήκαμεν, συναθροίσαντες, τί ποτε σύντομον εἴπωμεν πρὸς τὸ εὐκόλως τὴν σὴν διάνοιαν τούτων μνημονεύειν, ἄκουε πάλιν, πῶς κατὰ

1. Ψαλμ. 37, 13-15. 2. Ψαλμ. 38, 1-3. 3. Πρβλ. Α' Κορ. 3, 18.

τάξιν δυνήσῃ ἐπιβῆναι τῆς τελειότητος. Ἀρχὴ τῆς ἡμετέρας σωτηρίας ὁ φόβος ἐστὶ τοῦ Θεοῦ· ἐκ τούτου γεννᾶται ἀγαθὴ ὑπακοή, ἐξ ἧς τίκτεται ἡ ὑποταγή, καὶ ἡ καταφρόνησις τῶν τοῦ κόσμου πραγμάτων· ἐκ δὲ ταύτης τῆς ταπεινώσεως γεννᾶται τῶν ἰδίων θελημάτων ἡ νέκρωσις· ἐκ δὲ τῆς τῶν θελημάτων νεκρώσεως αἱ τῶν ἡδονῶν ῥίζαι μαραίνονται· ἐκ δὲ τούτων πάντα τὰ ἐλαττώματα τῆς ψυχῆς ἀποβάλλονται· τῇ δὲ ἀποβολῇ τούτων, αἱ ἀρεταὶ αὔξουσι, καὶ καρποφοροῦσι· τῇ δὲ αὐξήσει τῶν ἀρετῶν ἡ καθαρότης τῆς καρδίας προσγίνεται· ταῖς δὲ καθαρότησι τῆς καρδίας ἡ ἀποστολικὴ τελειότης ἐπακολουθεῖ χάριτι καὶ συνεργείᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΚΑΣΤΟΡΑ

ΠΕΡΙ ΤΩΝ ΟΚΤΩ ΤΗΣ ΚΑΚΙΑΣ ΛΟΓΙΣΜΩΝ *

1. Πρώην τὸν περὶ διατυπώσεως λόγον τῶν κοινοβίων συντάξαντες, πάλιν ἐπὶ τοῦ παρόντος, ταῖς ὑμετέραις εὐχαῖς θαρρήσαντες, ἐπεχειρήσαμεν γράψαι περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν· γαστριμαργίας φημὶ καὶ πορνείας, φιλαργυρίας καὶ ὀργῆς, λύπης καὶ ἀκηδίας. κενοδοξίας καὶ ὑπερηφανίας. Προηγουμένως τοίνυν περὶ ἐγκρατείας γαστρὸς ἡμῖν λεχθήσεται, τῆς ἀντικειμένης τῇ γαστριμαργίᾳ· τοῦ τε τρόπου τῶν νηστειῶν, καὶ τῆς ποιότητος καὶ ποσότητος τῶν βρωμάτων. Καὶ ταῦτα οὐκ ἀφ' ἑαυτῶν ἐροῦμεν, ἀλλ' ἅπερ παρειλήφαμεν παρὰ τῶν ἁγίων ἡμῶν Πατέρων. Ἐκεῖνοι τοίνυν οὐχ ἕνα κανόνα νηστείας, οὐδὲ ἕνα τρόπον τῆς τῶν βρωμάτων μεταλήψεως, οὐδὲ τὸ αὐτὸ μέτρον πᾶσι μεταδιδόασι, διὰ τὸ μηδὲ πάντας τὴν αὐτὴν ἰσχὺν ἔχειν, ἢ διὰ ἡλικίαν, ἢ δι' ἀσθένειαν, ἢ διὰ ἕξιν ἀστειοτέρου σώματος· Ἕνα δὲ σκοπὸν πᾶσι παραδεδώκασι, φεύγειν τὴν πλησμονήν, καὶ ἀποστρέφεσθαι τὴν χορτασίαν τῆς γαστρός· τὴν δὲ καθημερινὴν νηστείαν ἐδοκίμασαν ὠφελιμωτέραν εἶναι, καὶ συμβαλλομένην εἶναι πρὸς καθαρότητα, πλέον τῆς ἐν τρισὶν ἢ τέτταρσιν, ἢ καὶ ἕως ἑβδομάδος ἑλκομένης νηστείας. Καὶ γάρ φασι τὸν ἀμέτρως ἐπεκτεινόμενον τῇ νηστείᾳ ὑπὲρ μέτρον πολλάκις τῇ τροφῇ κεχρῆσθαι, ὡς ἐκ τούτου ποτὲ μὲν τῇ ὑπερβολῇ τῆς ἀσιτίας ἀτονεῖν τὸ σῶμα, καὶ πρὸς τὰς πνευματικὰς λειτουργίας ὀκνηρότερον γίνεσθαι· ποτὲ δέ, τῷ πλήθει τῶν τροφῶν βαρυνόμενον, ἀκηδίαν καὶ χαύνωσιν ἐμποιεῖν τῇ ψυχῇ. Καὶ πάλιν οὐ πᾶσιν ἁρμόδιον εἶναι τὴν τῶν λαχάνων μετάληψιν, οὐδὲ πᾶσι τὴν τῶν ὀσπρίων, οὐδὲ πάντας δύνασθαι τῇ τοῦ ξηροῦ ἄρτου κεχρῆσθαι τροφῇ· καὶ πάλιν τὸν μέν φησι δύο λίτρας ἐσθίοντα ἄρτου ἀκμὴν πεινᾶν, ἄλλον δὲ ἐσθίοντα λίτραν, ἢ ἓξ οὐγγίας χορτάζεσθαι. Πᾶσιν οὖν, ὡς εἴρηται, ἕνα σκοπὸν ἐγκρατείας παραδεδώκασι, τὸ μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας, μηδὲ ἐξέλκεσθαι τῇ τοῦ λάρυγγος ἡδονῇ. Οὐδὲ γὰρ ἡ διαφορὰ τῆς ποιότητος μόνον, ἀλλὰ καὶ ἡ ποσότης τοῦ πλήθους τῶν βρωμάτων τὰ πεπυρωμένα βέλη τῆς ἁμαρτίας εἴωθεν ἀνάπτειν· οἵας γὰρ δήποτε τροφῆς πληρουμένη γαστήρ, ἀσωτίας σπέρματα τίκτει. Καὶ πάλιν οὐ μόνον κραιπάλη οἴνου ἀλλὰ καὶ πλησμονὴ ὕδατος, καὶ πασῶν τροφῶν ὑπερβολὴ κεκαρωμένην καὶ νυστάζουσαν ταύτην ἀπο-

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σ. 872 ἑξ.

τελοῦσι. Τοῖς Σοδομίταις οὐκ οἴνου καὶ διαφόρων βρωμάτων κραιπάλη, καταστροφῆς γέγονεν αἰτία, ἀλλ' ἄρτου πλησμονή, κατὰ τὸν προφήτην.[1] Ἡ ἀσθένεια τοῦ σώματος πρὸς τὴν καθαρότητα τῆς καρδίας οὐκ ἀντίκειται. Ταῦτα οὖν παρασχόμενος τῷ σώματι ἃ ἡ ἀσθένεια ἀπαιτεῖ, οὐχ ἅπερ ἡ ἡδονὴ θέλει. Ἡ τῶν βρωμάτων χρῆσις ὅσον ὑπουργῆται πρὸς τὸ ζῆν παραλαμβάνεται, οὐχ ὅσον δουλεῦσαι ταῖς ὁρμαῖς τῆς ἐπιθυμίας. Ἡ σύμμετρος καὶ μετὰ λόγου τῶν τροφῶν μετάληψις τῆς ὑγείας φροντίζει τοῦ σώματος, οὐ τὴν ἁγιωσύνην ἀφαιρεῖται. Ὅρος ἐγκρατείας καὶ κανὼν παραδεδομένος ὑπὸ τῶν ἁγίων Πατέρων ἀκριβὴς οὗτός ἐστι, τὸ ἔτι τῆς ὀρέξεως ἐγκειμένης, τῆς τροφῆς ἀπέχεσθαι τὸν ἐσθίοντα. Καὶ ὁ Ἀπόστολος δὲ εἰπών· «Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν[2]», οὐ τὴν ἀναγκαίαν τῆς ζωῆς κυβέρνησιν ἐκώλυσεν, ἀλλὰ τὴν φιλήδονον ἐπιμέλειαν ἀπηγόρευσεν. Ἄλλως τε καὶ πρὸς καθαρότητα τελείαν τῆς ψυχῆς μόνη ἡ ἀποχὴ τῶν βρωμάτων οὐκ ἰσχύει, εἰ μὴ καὶ αἱ λοιπαὶ ἀρεταὶ συνδράμωσι. Τοιγαροῦν ἡ ταπείνωσις διὰ τῆς ὑπακοῆς τοῦ ἔργου καὶ τῆς τοῦ σώματος καταπονήσεως, μεγάλα ἡμῖν συμβάλλεται. Ἡ ἀποχὴ τῆς φιλαργυρίας οὐ μόνον τὸ μὴ ἔχειν χρήματα, ἀλλὰ μηδὲ ἐπιθυμεῖν κεκτῆσθαι. Πρὸς καθαρότητα τὴν ψυχὴν ὁδηγεῖ τῆς ὀργῆς ἡ ἀποχή, τῆς λύπης, τῆς κενοδοξίας, τῆς ὑπερηφανίας. Ταῦτα πάντα τὴν καθολικὴν τῆς ψυχῆς καθαρότητα ἀπεργάζεται. Τὴν δὲ διὰ σωφροσύνης μερικὴν τῆς ψυχῆς καθαρότητα ἐξαιρέτως ἐγκράτεια καὶ νηστεία κατορθοῖ. Ἀδύνατον γὰρ τὸν τὴν γαστέρα κεκορεσμένον πολεμῆσαι κατὰ διάνοιαν τῷ πνεύματι τῆς πορνείας. Τοιγαροῦν πρῶτος ἔστω ἡμῖν ἀγὼν τὸ κρατεῖν γαστρός, καὶ δουλαγωγεῖν τὸ σῶμα, οὐ μόνον διὰ νηστείας, ἀλλὰ καὶ δι' ἀγρυπνίας, καὶ κόπου, καὶ ἀναγνώσεως, καὶ τοῦ συνάγειν τὴν καρδίαν εἰς τὸ φόβον τῆς γεέννης, καὶ εἰς τὸν πόθον τῆς βασιλείας τῶν οὐρανῶν.

2. Δεύτερός ἐστιν ἡμῖν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς πορνείας καὶ τῆς ἐπιθυμίας τῆς σαρκός, ἥτις ἐπιθυμία ἀπὸ πρώτης ἡλικίας ἄρχεται παρενοχλεῖν τῷ ἀνθρώπῳ. Μέγας οὗτος ὁ ἀγὼν καὶ χαλεπός, καὶ διπλῆν ἔχων τὴν πάλην· διότι οὗτος διπλοῦς καθέστηκεν, ἐν τῇ ψυχῇ καὶ ἐν τῷ σώματι συνιστάμενος. Καὶ τούτου χάριν διπλῆν κατ' αὐτοῦ καὶ τὴν πάλην ἀναδέξασθαι. Οὔτε γὰρ ἱκανὴ ὑπάρχει μόνη ἡ σωματικὴ νηστεία πρὸς κτῆσιν τῆς τελείας σωφροσύνης, καὶ ἀληθοῦς ἁγνείας, εἰ μὴ καὶ εὐχὴ πρὸς Θεὸν ἐκτενής, καὶ κοινὴ καὶ τῶν θείων Γραφῶν μελέτη, καὶ κάματος καὶ ἔργον χειρῶν, ἅπερ δύναται τὰς ἀστάτους ὁρμὰς τῆς ψυχῆς συστέλλειν, καὶ ἐκ τῶν αἰσχρῶν φαντασιῶν ἀνακαλεῖσθαι αὐτήν· πρὸ δὲ πάντων συμβάλλεται ταπείνωσις ψυχῆς, ἧς χωρὶς οὐδὲ πορνείας, οὐδὲ τῶν ἄλλων παθῶν δυνήσεταί τις περιγενέσθαι. Προηγουμένως τοίνυν χρὴ πάσῃ φυλακῇ τηρεῖν τὴν καρδίαν ἀπὸ λογι-

1. Πρβλ. Ἰεζ. 16, 49. 2. Ῥωμ. 13, 14.

σμῶν ῥυπαρῶν.[1] Ἐκ γὰρ ταύτης προεξέρχονται, κατὰ τὴν τοῦ Κυρίου φωνήν, «διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι [2]», καὶ τὰ λοιπά. Καὶ γὰρ ἡ νηστεία οὐ μόνον πρὸς κακουχίαν τοῦ σώματος ἡμῖν προστέτακται, ἀλλὰ καὶ πρὸς νῆψιν τοῦ νοός, ἵνα μή, τῷ πλήθει τῶν βρωμάτων σκοτισθείς, ἀδυνατήσῃ πρὸς τὴν τῶν λογισμῶν παραφυλακήν. Χρὴ τοίνυν μὴ μόνον ἐν τῇ σωματικῇ νηστείᾳ τὴν πᾶσαν σπουδὴν ἐνδείκνυσθαι, ἀλλὰ καὶ ἐν τῇ προσοχῇ τῶν λογισμῶν, καὶ ἐν τῇ πνευματικῇ μελέτῃ, ὧν χωρὶς ἀδύνατον πρὸς τὸ ὕψος τῆς ἀληθοῦς ἁγνείας καὶ καθαρότητος ἀνελθεῖν. Προσήκει τοίνυν ἡμᾶς καθαρίζειν πρότερον, κατὰ τὴν τοῦ Κυρίου φωνήν, τὸ ἔνδον τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς καθαρόν.[3] Διὰ δὴ τοῦτο, εἰ ἔστιν σπουδή, κατὰ τὸν Ἀπόστολον, νομίμως ἀθλῆσαι, καὶ στεφανωθῆναι [4], νικήσαντας τὸ ἀκάθαρτον πνεῦμα τῆς πορνείας, μὴ τῇ ἡμετέρᾳ δυνάμει ἢ ἀσκήσει θαρρήσωμεν, ἀλλὰ τῇ βοηθείᾳ τοῦ δεσπότου Θεοῦ. Οὐ παύεται γὰρ ὁ ἄνθρωπος πολεμούμενος ὑπὸ τοῦ δαίμονος τούτου ἕως οὗ ἐν ἀληθείᾳ πιστεύσῃ, ὅτι οὐκ ἰδίᾳ σπουδῇ ἢ καμάτῳ, ἀλλὰ τῇ τοῦ Θεοῦ ῥοπῇ καὶ βοηθείᾳ ἀπαλλάττεται ταύτης τῆς νόσου, καὶ εἰς τὸ ὕψος τῆς ἁγνείας ἀνέρχεται. Καὶ γὰρ ὑπὲρ φύσιν ἐστὶ τὸ πρᾶγμα, καὶ τρόπον τινὰ ἔξω τοῦ σώματος γίνεται, ὁ τοὺς ἐρεθισμοὺς τῆς σαρκὸς καὶ τὰς ἡδονὰς ταύτης καταπατήσας. Καὶ τούτου χάριν ἀδύνατόν ἐστιν ἄνθρωπον τοῖς πτεροῖς, ἵν' οὕτως εἴπω, πρὸς τὸ ὕψος τοῦτο καὶ οὐράνιον βραβεῖον τῆς ἁγιωσύνης ἀναπτῆναι, καὶ μιμητὴν ἀγγέλων γενέσθαι· εἰ μὴ χάρις Θεοῦ τοῦτον ἀπὸ τῆς γῆς καὶ τοῦ βορβόρου ἀναγάγοι. Οὐδεμιᾷ γὰρ ἀρετῇ μᾶλλον οἱ σαρκὶ συνδεδεμένοι ἄνθρωποι τοῖς οὐρανίοις ἀγγέλοις συνομοιοῦνται, ὡς τῇ σωφροσύνῃ· διὰ ταύτης γάρ, ἔτι ἐν τῇ γῇ διάγοντες, ἔχουσι, κατὰ τὸν Ἀπόστολον, τὸ πολίτευμα ἐν οὐρανοῖς.[5] Δεῖγμα δὲ τοῦ τὴν ἀρετὴν ταύτην κεκτῆσθαι ἡμᾶς, τὸ μηδὲ μιᾶς εἰκόνι αἰσχρᾶς φαντασίας ἐν τοῖς ὕπνοις τὴν ψυχὴν προστρέχειν. Εἰ γὰρ καὶ μὴ λογίζεται ἁμαρτία ἡ τοιαύτη κίνησις, ὅμως τεκμήριον ὑπάρχει τοῦ νοσεῖν τὴν ψυχήν, καὶ μήπω τοῦ πάθους ἀπηλλάχθαι. Καὶ τούτου χάριν τὰς συμβαινούσας ἡμῖν ἐν τοῖς ὕπνοις αἰσχρὰς φαντασίας ἔλεγχον εἶναι τῆς προλαβούσης ῥαθυμίας καὶ τῆς ἐν ἡμῖν ἀσθενείας πιστεύειν ὀφείλομεν, ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς ἀποκεκρυμμένην νόσον φανεροποιούσης τῆς γινομένης ῥύσεως ἐν τῇ τοῦ ὕπνου ἀνέσει. Διὸ καὶ ὁ ἰατρὸς τῶν ψυχῶν ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς τὸ φάρμακον ἐναπέθετο, ἔνθα καὶ τὰς αἰτίας τῆς νόσου ὑπάρχειν ἐγίνωσκε, φάσκων. «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· [6]» οὐ τοσοῦτον τοὺς πορνικοὺς καὶ περιέργους ὀφθαλμοὺς διορθούμενος, ὅσον τὴν ἔνδον ἐνιδρυμένην ψυχήν, ἥτις τοῖς παρὰ Θεοῦ δοθεῖσιν ἐπ' ἀγαθῷ ὀφθαλμοῖς

---

1. Πρβλ. Παρμ. 4, 23. 2. Ματθ. 15, 19. 3. Πρβλ. Ματθ. 23, 26. 4. Πρβλ. Β' Τιμ. 2, 5. 5. Πρβλ. Φιλιπ. 3, 20. 6. Ματθ. 5, 28.

κακῶς κέχρηται· τούτου χάριν καὶ ἡ σοφὴ παροιμία οὐ λέγει, Πάσῃ φυλακῇ τήρει τοὺς ὀφθαλμούς, ἀλλά, «Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν·[1]» ἐκείνῃ μάλιστα ἐπιθεῖσα τὴν ἰατρείαν τῆς φυλακῆς, τῇ κεχρημένῃ τοῖς ὀφθαλμοῖς εἰς ἃ βούλεται. Τοιγαροῦν αὐτὴ ἔστω τῆς καθάρσεως ἡμῶν πρώτη φυλακή, ἵνα, ὅτε τῇ ἡμετέρᾳ διανοίᾳ μνήμη γυναικὸς γένηται ἀναδοθεῖσα διὰ τῆς διαβολικῆς ἐνεργείας, εἰ τύχοι μητρός, ἢ ἀδελφῆς, ἢ ἄλλων γυναικῶν εὐλαβῶν, ταχέως αὐτὴν ἐκ τῆς ἡμετέρας καρδίας ἐκβάλωμεν· ἵνα μή, ἐπιπολὺ διατριβόντων ἡμῶν ἐν αὐτῇ τῇ γνώμῃ ὁ τῶν κακῶν ἀπατεὼν ἐκ τούτων τῶν προσώπων κατακυλίσῃ καὶ κατακρημνίσῃ τὴν διάνοιαν εἰς αἰσχρὰς καὶ ἐπιβλαβεῖς ἐνθυμήσεις, καθὼς καὶ ἡ παρὰ Θεοῦ πρὸς τὸν πρῶτον δοθεῖσα ἐντολὴ κελεύει, τηρεῖν τὴν κεφαλὴν τοῦ ὄφεως, τουτέστι τοῦ βλαβεροῦ λογισμοῦ τὴν ἀρχήν, δι' οὗπερ ἕρπειν εἰς τὴν ἡμετέραν ψυχὴν ἐπιχειρεῖ· ἵνα μὴ τῇ τῆς κεφαλῆς παραδοχῇ, ἥτις ἐστὶν ἡ προσβολὴ τοῦ λογισμοῦ, τὸ λοιπὸν τοῦ ὄφεως σῶμα, τουτέστι τῆς ἡδονῆς τὴν κατάθεσιν, παραδεξώμεθα, καὶ ἐκ τούτου λοιπὸν ἐπὶ τὴν ἀθέμιτον πρᾶξιν κατενέγκῃ τὴν διάνοιαν· ἀλλὰ προσήκει, κατὰ τὸ γεγραμμένον, εἰς τὰς πρωΐας ἀποκτενεῖν πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς[2], τουτέστι τῷ φωτὶ τῆς γνώσεως διακρίνειν καὶ ἐξολοθρεύειν τοὺς ἁμαρτωλοὺς λογισμοὺς ἐκ τῆς γῆς, ἥτις ἐστὶν ἡ καρδία, κατὰ τὴν τοῦ Κυρίου φωνήν· καὶ ὡς ἔτι νήπιοί εἰσιν οἱ υἱοὶ Βαβυλῶνος, ἤγουν οἱ πονηροὶ λογισμοί, τούτους ἐδαφίζειν, καὶ συντρίβειν πρὸς τὴν πέτραν[3], ἥτις ἐστὶν ὁ Χριστός. Ἐὰν γὰρ διὰ τῆς ἡμετέρας συγκαταθέσεως ἀνδρυνθῶσιν, οὐκ ἄνευ μεγάλου στεναγμοῦ καὶ καμάτου κινηθήσονται. Πρὸς δὲ τοῖς εἰρημένοις ἀπὸ τῆς θείας Γραφῆς καλὸν καὶ λόγον ἁγίων Πατέρων ἐπιμνησθῆναι δεῖ. Εἴρηται τοίνυν τῷ ἁγίῳ Βασιλείῳ τῷ ἐπισκόπῳ Καισαρείας Καππαδοκίας· Καὶ γυναῖκα ἀγνοῶ, καὶ παρθένος οὐκ εἰμί· τοσοῦτον ἐγίνωσκε μὴ ἐν τῇ σωματικῇ μόνῃ ἀποχῇ τῆς γυναικὸς τὸ δῶρον τῆς παρθενίας κατορθοῦσθαι, ὅσον τῇ τῆς ψυχῆς ἁγιωσύνῃ καὶ καθαρότητι ἢ τῷ φόβῳ Θεοῦ κατορθοῦσθαι πέφυκε. Λέγουσι δὲ καὶ τοῦτο οἱ Πατέρες, μὴ δύνασθαι ἡμᾶς τὴν ἀρετὴν τῆς ἁγνείας τελείας κτήσασθαι, εἰ μὴ πρότερον ἀληθινὴν ταπεινοφροσύνην ἐν τῇ καρδίᾳ κτησώμεθα· οὔτε δὲ γνώσεως ἀληθοῦς καταξιωθῆναι ἐφ' ὅσον ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς τὸ πάθος τῆς πορνείας ἐγκαθέζεται. Ἵνα δὲ τὸ μέγα τοῦτο κατόρθωμα καὶ ἐκ τοῦ Ἀποστόλου δείξωμεν, μιᾶς αὐτοῦ ἐπιμνησθέντες λέξεως, καταπαύσωμεν τὸν λόγον. «Εἰρήνην, φησί, διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.[4]» Ὅτι γὰρ περὶ τούτου λέγει, δῆλον ἐξ ὧν ἐπήγαγεν, εἰπών· «Μή τις πόρνος ἢ βέβηλος ὡς Ἡσαῦ.[5]» Ὅσον τοίνυν οὐράνιον, καὶ ἀγγελικὸν ὑπάρχει τὸ κατόρθω-

1. Παρμ. 4, 23. 2. Πρβλ. Ψαλμ. 100, 8. 3. Ψαλμ. 136, 9. 4. Ἑβρ. 12, 14. 5. Ἑβρ. 12, 16.

μα τῆς ἀγνοσύνης, τοσοῦτον βαρυτέραις παρὰ τῶν ἀντιπάλων ἐπιβουλαῖς πολεμεῖται. Καὶ τούτου χάριν σπουδάζειν ὀφείλομεν οὐ μόνον ἐγκράτειαν σώματος ἀσκεῖν, ἀλλὰ καὶ συντριβὴν καρδίας, καὶ πυκνὰς προσευχὰς μετὰ στεναγμῶν· ὥστε τὴν κάμινον τῆς ἡμετέρας σαρκός, ἣν ὁ Βαβυλώνιος βασιλεὺς τοῖς τῆς ἐπιθυμίας ἐρεθισμοῖς καθ' ἑκάστην ἀνάπτει, τῇ δρόσῳ τῆς παρουσίας τοῦ ἁγίου Πνεύματος ἀποσβεσθῆναι. Πρὸς δὲ τούτοις μέγιστον ἡμῖν ὅπλον πρὸς τὸν πολέμιον τοῦτον καθέστηκεν ἡ κατὰ Θεὸν ἀγρυπνία. Ὥσπερ γὰρ ἡ ἁγνεία, καὶ ἡ παραφυλακὴ τῆς ἡμέρας τὴν νυκτερινὴν παρασκευάζουσιν ἁγιωσύνην, οὕτως ἡ νυκτερινὴ κατὰ Θεὸν ἀγρυπνία τὴν ἡμερινὴν τῇ...

3. Τρίτος ἐστὶν ἡμῖν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς φιλαργυρίας· ξένος οὗτος ὁ πόλεμος, καὶ ἔξωθεν τῆς φύσεως γνωριζόμενος, ἐξ ἀπιστίας τῷ μοναχῷ τὴν ἀφορμὴν εὑρίσκων. Καὶ γὰρ καὶ τῶν ἄλλων παθῶν, θυμοῦ λέγω καὶ ἐπιθυμίας, οἱ ἐρεθισμοὶ ἐκ τοῦ σώματος δοκοῦσιν ἔχειν τὰς ἀφορμάς, καὶ τρόπον τινὰ ὡς ἔμφυτα, καὶ ἀπὸ γενέσεως ἔχοντα τὴν ἀρχήν· ὅθεν καὶ διὰ μακροῦ χρόνου νικῶνται. Ἡ δὲ τῆς φιλαργυρίας νόσος ἔξωθεν ἐπερχομένη εὐχερέστερον ἐκκόπτεσθαι δύναται, εἰ ἐπιμελείας τύχοι καὶ προσοχῆς· ἀμεληθεῖσα δὲ ὀλεθριωτέρα τῶν ἄλλων παθῶν καὶ συναπόβλητος γίνεται· ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστι κατὰ τὸν Ἀπόστολον.[1] Σκοπήσωμεν δὲ οὕτω. Τοῦ σώματος αἱ φυσικαὶ κινήσεις οὐ μόνον ἐν τοῖς παισὶ θεωροῦνται, ἐν οἷς οὔπω διάγνωσις ἀγαθοῦ τε καὶ κακοῦ τυγχάνει, ἀλλὰ καὶ ἐν τοῖς βραχυτάτοις καὶ γαλουχουμένοις νηπίοις, ἅτινα, μηδὲ ἴχνος ἔχοντα σαρκικῆς ἡδονῆς, ὅμως ἐν τῇ σαρκὶ σημαίνουσι κίνησιν. Ὁμοίως καὶ τοῦ θυμοῦ τὸ κέντρον ἐν τοῖς νηπίοις θεωρεῖται, ὅταν συγκινούμενα ταῦτα πρὸς τοὺς λελυπηκότας ὁρῶμεν. Καὶ ταῦτα λέγω, οὐ τὴν φύσιν κακίζων, ὡς ἁμαρτίας αἰτίαν, μὴ γένοιτο! ἀλλ' ἵνα δείξω, ὅτι θυμὸς μὲν καὶ ἐπιθυμία, εἰ καὶ ἐπ' ἀγαθῷ παρὰ τοῦ Θεοῦ τοῦ δημιουργοῦ συνεζεύχθησαν τῷ ἀνθρώπῳ, ἀλλ' οὖν γε δοκεῖ πως ἐκ τῶν φυσικῶν τοῦ σώματος εἰς τὰ παρὰ φύσιν διὰ ῥαθυμίας ἐκπίπτειν. Καὶ γὰρ ἡ τοῦ σώματος κίνησις πρὸς τεκνογονίαν καὶ διαδοχὴν τοῦ γένους διαμονῆς, οὐ πρὸς πορνείαν ὑπὸ τοῦ Δημιουργοῦ ἐδόθη· καὶ ἡ τοῦ θυμοῦ κίνησις σωτηριωδῶς ἡμῖν ἐγκατέσπαρται, ὥστε θυμοῦσθαι κατὰ τῆς ἁμαρτίας, οὐ μὴν πρὸς τὸ ὁμόφυλον ἐκθηριοῦσθαι. Οὐ τοίνυν, εἰ κακῶς ταύταις κεχρήμεθα, ἁμαρτωλὸς ἡ φύσις, ἢ τὸν πλάστην αἰτιασώμεθα, ὥσπερ οὐδὲ τὸν δεδωκότα σίδηρον πρὸς ἀναγκαίαν καὶ λυσιτελῆ χρείαν, εἰ ὁ δεξάμενος πρὸς φόνων ὑπηρεσίαν τούτῳ ἐχρήσατο. Ταῦτα δὲ εἰρήκαμεν, δεῖξαι βουλόμενοι, ὅτι τὸ τῆς φιλαργυρίας πάθος οὐκ ἐκ τῶν φυσικῶν κινήσεων τὴν ἀρχὴν ἔχει, ἀλλ' ἐκ μόνης κακίας καὶ διεφθαρμένης προαιρέσεως. Αὕτη γὰρ ἡ νόσος, ὅταν χλιαρὰν καὶ ἄπιστον ἐν ἀρχῇ τῆς ἀποταγῆς εὕρῃ ψυχήν,

1. Πρβλ. Α' Τιμ. 6, 10.

δικαίας τινὰς καὶ τὸ δοκεῖν εὐλόγους προφάσεις ὑποβάλλει πρὸς τὸ κατασχεῖν τί ποτε ὧν κέκτηται· ὑπογράφει γὰρ κατὰ διάνοιαν τῷ μοναχῷ γῆρας μακρόν, καὶ ἀσθένειαν σώματος, καὶ ὅτι αἱ διδόμεναι χρεῖαι ἐκ τοῦ κοινοβίου οὐκ εἰσὶν ἱκαναὶ πρὸς παραμυθίαν· οὐ λέγω ἀσθενοῦντι, ἀλλ' οὐδὲ ὑγιαίνοντι· καὶ ὅτι ἐνταῦθα οὐ γίνεται κατ' ἀξίαν φροντὶς τοῖς ἀσθενοῦσιν, ἀλλὰ καὶ πάνυ ἠμελημένη, καὶ ὡς, εἰ μὴ ἔχει ἀποκεκρυμμένον χρυσίον, ἀθλίως ἀπολεῖται. Τελευταῖον δὲ ὑποβάλλει μὴ δύνασθαι μένειν ἐπὶ πολὺ ἐν τῷ μοναστηρίῳ διὰ τὴν βαρύτητα τῶν ἔργων καὶ τὴν τοῦ πατρὸς ἀκρίβειαν. Καὶ ὅτε ταῖς τοιαύταις ἐνθυμήσεσιν ἀποπλανήσῃ τὴν διάνοιαν, πρὸς τὸ κἂν ἓν δηνάριον κατασχεῖν, τὸ τηνικαῦτα πείθει αὐτὸν καὶ ἐργόχειρον λάθρα τοῦ ἀββᾶ μαθεῖν, ἐξ οὗ δυνήσεται τὸ περισπούδαστον αὐτῷ ἀργύριον αὐξῆσαι· καὶ λοιπὸν ἐλπίσιν ἀδήλοις ἀπατᾷ τὸν ἄθλιον, ὑποβάλλων αὐτῷ τὸ ἐκ τοῦ ἐργοχείρου κέρδος καὶ τὴν ἐκ τούτου ἄνεσιν καὶ ἀμεριμνίαν. Καὶ ὅλως τῇ τοῦ κέρδους ἐνθυμήσει δεθείς, οὐδὲν τῶν ἐναντίων σκοπεῖ, οὐκ ὀργῆς μανίαν, εἴποτε συμβῇ αὐτῷ ζημίᾳ περιπεσεῖν· οὐ λύπην, οὐ σκότος, εἰ ἀποτύχοι τοῦ ἐκ τοῦ ἔργου κέρδους, ἀλλὰ γίνεται ὅπερ ἄλλοις ἡ γαστὴρ θεός, οὕτω τούτῳ ὁ χρυσός. Ὅθεν ὁ μακάριος Ἀπόστολος, τοῦτο γινώσκων, οὐ μόνον ῥίζαν πάντων τῶν κακῶν, ἀλλὰ καὶ εἰδωλολατρείαν ταύτην ἐκάλεσε. Θεωρήσωμεν τοίνυν πρὸς πόσην κακίαν ἡ νόσος αὕτη τὸν ἄνθρωπον κατασύρει, ὡς καὶ εἰς εἰδωλολατρείαν ἐμβάλλειν. Ἀποστήσας γὰρ ὁ φιλάργυρος τὸν νοῦν αὐτοῦ ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, εἴδωλα ἀνθρώπων ἐγγεγλυμμένα τῷ χρυσίῳ ἀγαπᾷ· τούτοις δὲ τοῖς λογισμοῖς ὁ μοναχὸς σκοτωθείς, καὶ ἐπὶ τὸ χεῖρον αὔξων, οὐδεμίαν ταπείνωσιν, οὐδεμίαν ὑπακοὴν ἔχειν λοιπὸν δύναται, ἀλλ' ἀγανακτεῖ, καὶ ἀναξιοπαθεῖ, καὶ πρὸς ἕκαστον ἔργον γογγύζει, καὶ ἀντιλέγει, καὶ μηδὲ μιᾶς λοιπὸν εὐλαβείας πεφυλαγμένης, ὥσπερ ἵππος σκληρότατος κατὰ κρημνῶν φέρεται, οὔτε τῇ καθημερινῇ τροφῇ ἀρκούμενος, καὶ διαμαρτύρεται εἰς τέλος μὴ δύνασθαι αὐτὸν ὑπομένειν, καὶ Θεὸν οὐκ ἐκεῖ μόνον εἶναι λέγει, οὐδὲ τὴν ἰδίαν σωτηρίαν ἐν ἐκείνῳ κατακεκλεῖσθαι τῷ τόπῳ, ἀλλὰ πανταχοῦ τοῖς ζητοῦσιν αὐτὸν εὑρίσκεσθαι· καὶ ὡς εἰ μὴ ἀποστῇ τοῦ μοναστηρίου ἐκείνου ἀπόλλυται· καὶ οὕτω τῆς διεφθαρμένης ταύτης συνεργὸν ἔχων τὰ πεφυλαγμένα ἀργύρια, ὥσπερ τισὶ πτεροῖς κουφισθείς, καὶ τὴν ἔξοδον τὴν ἀπὸ τοῦ μοναστηρίου μελετῶν, λοιπὸν ὑπερηφάνως καὶ τραχέως πρὸς πάντα τὰ παρηγγελμένα ἀποκρίνεται, καὶ ὡς ξένον καὶ ἐξωτικὸν ἑαυτὸν ἡγούμενος· εἴ τι ἂν ἴδῃ ἐν τῷ μοναστηρίῳ δεόμενον διορθώσεως, ἀμελεῖ καὶ περιφρονεῖ. Καὶ ἔπειτα προφάσεις ἀναζητεῖ, δι' ὧν ὀργισθήσεται, ἢ λυπηθήσεται, ἵνα μὴ δόξῃ ἐλαφρῶς ἄνευ αἰτίας ἐξιέναι ἐκ τῆς [ἐκτὸς] τοῦ κοινοβίου. Οὐδὲ τοῦτο παραιτεῖται ποιῆσαι, βουλόμενος ἔχειν τοῦ ἰδίου ἐλαττώματος συνεργόν. Οὕτω δὲ ἀπατώμενος τῷ πυρὶ τῶν ἰδίων χρημάτων ὁ φιλάργυρος οὐδέποτε δύναται ἡσυχάσαι ἐν μοναστηρίῳ, ἢ ὑπὸ κανόνα

ζῆσαι. Ὅταν δὲ τοῦτον ὁ δαίμων ὥσπερ λύκος ἐκ τῆς μάνδρας ἁρπάσῃ, καὶ ἀφορίσας τοῦ ποιμνίου ἕτοιμον εἰς κατάβρωσιν λάβῃ, τὸ τηνικαῦτα παρασκευάζει αὐτὸν τὰ ἔργα ἃ ἐν τῷ κοινοβίῳ τεταγμέναις ὥραις πάντως ὀλιγωρεῖ, ταῦτα ἐν τῇ κέλλῃ νυκτὸς καὶ ἡμέρας μετὰ πολλῆς προθυμίας ποιεῖν· καὶ οὔτε εὐχῶν τὰ ἔθη, οὔτε τῶν νηστειῶν τὸν τρόπον, οὔτε τῶν ἀγρυπνιῶν τὸν κανόνα ἐκτελεῖν ἐπιτρέπει· ἀλλὰ τῇ τῆς φιλαργυρίας μανίᾳ τοῦτον ἐνδήσας, τὴν πᾶσαν σπουδὴν εἰς τὸ ἐργόχειρον ἔχειν ἀναπείθει. Τῆς δὲ νόσου ταύτης τρεῖς εἰσι τρόποι, οὓς ἐπίσης ἀπαγορεύουσιν αἱ θεῖαι Γραφαὶ καὶ αἱ διδασκαλίαι τῶν Πατέρων· εἷς μέν, ὃν ἀνωτέρω διεγράψαμεν, ὃς παρασκευάζει τοὺς ἀθλίους ἅπερ οὐδὲ ἐν τῷ κόσμῳ ἔσχον, ταῦτα κτᾶσθαι καὶ συναθροίζειν· ἄλλος ὃς μεταμελεῖσθαι ποιεῖ τοὺς ἅπαξ τοῖς χρήμασιν ἀποταξαμένους, ὑποβάλλων αὐτοῖς ζητεῖν ἅπερ Θεῷ προσήνεγκαν· τρίτος δέ, ὅστις, κατὰ τὴν ἀρχὴν ἀπιστίας χλιαρότητι μοναχὸν ἐνδήσας, οὐ συγχωρεῖ τοῦτον τελείως ἀπαλλαγῆναι τῶν τοῦ κόσμου πραγμάτων, φόβον πενίας ὑποβάλλων, καὶ ἀπιστίαν τῆς Θεοῦ προνοίας, καὶ παραβάτην ὑποδεικνὺς τῶν οἰκείων ὑποσχέσεων, ὧν καθωμολόγησεν ἀποτασσόμενος τῷ κόσμῳ. Τούτων δὲ τῶν τριῶν τρόπων τὰ παραδείγματα ἐν τῇ θείᾳ Γραφῇ κατεκεκρυμμένα εὑρίσκομεν. Καὶ γὰρ ὁ Γιεζῆ χρήματα ἃ πρότερον οὐκ εἶχε βουληθεὶς κτήσασθαι, ἀπέτυχε τῆς προφητικῆς χάριτος, ἣν ὁ διδάσκαλος κληρονομίας τάξει καταλεῖψαι τούτῳ ἠβούλετο· καὶ ἀντὶ εὐλογίας αἰωνίαν λέπραν διὰ τῆς τοῦ προφήτου κατάρας ἐκληρονόμησε.[1] Καὶ Ἰούδας, βουληθεὶς χρήματα λαβεῖν, ἃ πρότερον τῷ Χριστῷ ἀκολουθῶν ἀπέβαλεν, οὐ μόνον εἰς προδοσίαν τοῦ Δεσπότου ὀλισθήσας, τοῦ χοροῦ τῶν ἀποστόλων ἐξέπεσεν, ἀλλὰ καὶ αὐτὴν τὴν ἐν σαρκὶ ζωὴν βιαίῳ θανάτῳ κατέλυσεν.[2] Ἀνανίας καὶ Σάπφειρα διαφυλάξαντές τινα ἐξ ὧν τῷ Θεῷ προσανέθεντο, ἀποστολικῷ στόματι θανάτῳ τιμωροῦνται.[3] Μωϋσῆς δὲ ὁ μέγας ἐν τῷ Δευτερονομίῳ μυστικῶς παραγγέλλει τοῖς μέλλουσιν ἀποτάσσεσθαι τῷ κόσμῳ, καὶ φόβῳ ἀπιστίας πάλιν ἀντεχομένοις τῶν γηΐνων πραγμάτων· Εἴ τίς ἐστιν ἄνθρωπος περίφοβος, καὶ τῇ καρδίᾳ δειλός, οὐκ ἐξελεύσεται εἰς πόλεμον· πορευέσθω καὶ ἀμαλυέτω [ἀναλυέτω] εἰς τὸν ἴδιον οἶκον, μήποτε πτοεῖσθαι ποιήσοι τὰς καρδίας τῶν ἀδελφῶν αὐτοῦ.[4] Ἔστι τῆς μαρτυρίας ταύτης ἀσφαλέστερόν τι ἢ σαφέστερον; Οὐκ ἄρα διὰ τούτων μανθάνομεν οἱ ἀποτασσόμενοι τῷ κόσμῳ τελείως ἀποτάσσεσθαι, καὶ οὕτως ἐπὶ τὸν πόλεμον ἐκβαίνειν, εἰ μὴ διὰ τοῦ βαλεῖν ἀρχὴν χαύνην καὶ διεφθαρμένην ἀνατρέπειν τοὺς ἄλλους ἀπὸ τῆς εὐαγγελικῆς τελειότητος. Ἐπειδὴ δέ τινες τὸ καλῶς εἰρημένον τῇ Γραφῇ· «Μακάριόν ἐστι διδόναι, ἢ λαμβάνειν[5]», κακῶς ἑρμηνεύουσι, βιαζόμενοι πρὸς τὴν ἰδίαν ἀπάτην

---

1. Πρβλ. Δ′ Βασ. 5, 27. 2. Πρβλ. Ματθ. 27, 5. 3. Πρβλ. Πράξ. 5, 5-10. 4. Πρβλ. Δευτ. 20, 8. 5. Πράξ. 20, 35.

καὶ τὴν τῆς φιλαργυρίας ἐπιθυμίαν τὴν ἔννοιαν τοῦ ῥητοῦ παραλογιζόμενοι, καὶ τὴν τοῦ Κυρίου διδασκαλίαν τὴν λέγουσαν· «Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο, ἀκολούθει μοι·[1]» καὶ κρίνουσι τῆς ἀκτημοσύνης μακαριώτερον τὸ ἐξουσιάζειν τοῦ ἰδίου πλούτου, καὶ ἐκ τῆς τούτου περιουσίας διδόναι τοῖς δεομένοις· γινωσκέτωσαν οἱ τοιοῦτοι μήπω ἀποτετάχθαι τῷ κόσμῳ, μηδὲ ἐπιβῆναι τῆς μοναχικῆς τελειότητος, ἐφ' ὅσον ἐπαισχύνονται τὴν ὑπὲρ Χριστοῦ ἔνδοξον μετὰ τοῦ Ἀποστόλου ἀναλαβεῖν πτωχείαν, καὶ τὴν τῶν χειρῶν ἐργασίαν ἑαυτοῖς τε καὶ τοῖς δεομένοις ὑπηρετεῖν. Εἰ δὲ ἐπιθυμοῦσιν ἔργῳ πληρῶσαι τὴν μοναδικὴν ἐπαγγελίαν, καὶ μετὰ τοῦ Ἀποστόλου δοξασθῆναι διασκορπίσαντες τὸν παλαιὸν πλοῦτον ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι, μετὰ τοῦ Παύλου ἀγωνιζέσθωσαν τὸν καλὸν ἀγῶνα.[2] Καὶ γὰρ εἰ τὸ ἔχειν παλαιὸν πλοῦτον ἀναγκαιότερον ἐγίνωσκεν πρὸς τελείωσιν ὁ αὐτὸς Ἀπόστολος, οὐκ ἂν κατεφρόνησε τῆς πρώτης αὐτοῦ ἀξίας· ἐπίσημον γὰρ λέγει ἑαυτὸν γεγονέναι, καὶ πολίτην Ῥωμαίων.[3] Καὶ οἱ ἐν Ἱεροσολύμοις δέ, οἵτινες ἐπώλουν τὰς οἰκίας αὐτῶν καὶ τοὺς ἀγρούς, καὶ ἐτίθεσαν παρὰ τοὺς πόδας τῶν ἀποστόλων[4], οὐκ ἂν τοῦτο ἔπραττον, εἰ κεκρυμμένον ἐγίνωσκον ὑπὸ τῶν ἀποστόλων μακαριώτερον εἶναι, τὸ τοῖς ἰδίοις χρήμασι τρέφεσθαι καὶ μὴ καμάτῳ ἰδίῳ καὶ τῇ τῶν χοιρῶν ἐργασίᾳ. Σαφέστερον δὲ διδάσκει περὶ τούτου ὁ εἰρημένος Ἀπόστολος, ἐν οἷς γράφει Ῥωμαίοις τάδε· «Νυνὶ δὲ πορεύομαι εἰς Ἱεροσόλυμα διακονῆσαι τοῖς ἁγίοις. Ηὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ.[5]» Οὗτος δὲ δέσμιος, καὶ φυλακαῖς πολλάκις, καὶ τῷ σκυλμῷ τῆς ὁδοιπορίας ὑποβληθείς, καὶ ἐμποδιζόμενος ἐκ τούτου, ὡς εἰώθει, ταῖς ἰδίαις χερσὶ προσπορίζειν ἑαυτῷ τὰς χρείας, ταύτας εἰληφέναι διδάσκει παρὰ τῶν ἀδελφῶν, τῶν ἀπὸ Μακεδονίας πρὸς αὐτὸν ἐλθόντων φάσκων· «Τὸ γὰρ ὑστέρημά μου ἀνεπλήρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ Μακεδονίας·[6]» καὶ Φιλιππησίοις· «Ὅτι ἐν ἀρχῇ τοῦ Εὐαγγελίου ἐξελθόντος μου ἀπὸ Μακεδονίας οὐδεμίαν Ἐκκλησίαν ἐκοινώνησεν εἰς λόγον δόσεως ἢ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι· ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς ἐπέμψατέ μοι τὴν χρείαν.[7]» Ἔστωσαν τοίνυν κατὰ τὴν γνώμην τῶν φιλαργύρων καὶ οὗτοι μακαριώτεροι τοῦ Ἀποστόλου, ἐπειδὴ ἐκ τῶν ἰδίων ὑποστάσεων ἐχορήγει αὐτοῖς ταῖς χρείαις. Ἀλλ' οὐκ ἄν τις εἰς ἐσχάτην ἄνοιαν ἐλθὼν εἰπεῖν τολμήσῃ τοῦτο. Εἰ τοίνυν βουλόμεθα τῷ εὐαγγελικῷ καὶ ἀποστολικῷ προστάγματι, καὶ πάσῃ ἐκείνῃ τῇ ἐξ ἀρχῆς ἐπὶ τῶν ἀποστόλων θεμελιωθείσῃ Ἐκκλησίᾳ

1. Ματθ. 19, 21. 2. Πρβλ. Β' Τιμ. 4, 7. 3. Πρβλ. Πράξ. 22, 25. 4. Πρβλ. Πράξ. 4, 35. 5. Ῥωμ. 15, 25. 6. Β' Κορ. 11, 9. 7. Φιλιπ. 4, 15-16.

ἀκολουθῆσαι· μὴ ταῖς ἡμετέραις ὑπονοίαις πειθώμεθα, μηδὲ τὰ καλῶς εἰρημένα κακῶς νοῶμεν· ἀλλ᾿ ἀπορρίψαντες τὴν χλιαρὰν καὶ ἄπιστον γνώμην, ἀναλάβωμεν τὴν ἀκρίβειαν τοῦ Εὐαγγελίου. Οὕτω γὰρ δυνησόμεθα καὶ τοῖς τῶν ἁγίων Πατέρων ἴχνεσιν ἀκολουθῆσαι, καὶ τῆς ἐπιστήμης τοῦ κοινοβίου μηδέποτε ἀποστῆναι, καὶ ἐν ἀληθείᾳ ἀποτάξασθαι τούτῳ τῷ κόσμῳ. Καλὸν δὲ ἐνταῦθα καὶ λόγου ἁγίων Πατέρων ἐπιμνησθῆναι. Φέρεται τοίνυν τοῦ ἁγίου Βασιλείου τοῦ ἐπισκόπου Καισαρείας Καππαδοκίας λόγος πρός τινα συγκλητικὸν χλιαρῶς ἀποταξάμενον, καὶ παρακατασχόντα τινὰ τῶν ἰδίων χρημάτων, ῥῆμα τοιοῦτον· «Καὶ τὸν συγκλητικὸν ἀπώλεσας, καὶ μοναχὸν οὐκ ἐποίησας. Χρὴ τοίνυν πάσῃ σπουδῇ ἐκκόπτειν ἐκ τῆς ἡμετέρας ψυχῆς τὴν ῥίζαν, καὶ ἀρχὴν πάντων τῶν κακῶν, ἥτις ἐστὶν ἡ φιλαργυρία· ἀσφαλῶς γινώσκοντας, ὅτι, μενούσης τῆς ῥίζης, οἱ κλάδοι φύονται, τὴν δὲ ἀρετὴν κατορθῶσαι δύσκολον, εἰ μὴ ἐν κοινοβίῳ διάγοντας. Ἐν αὐτῷ γὰρ καὶ περὶ αὐτῶν τῶν ἀναγκαίων χρειῶν περιφρονοῦμεν. Τὴν κατάκρισιν ᾿Ανανίου καὶ Σαπφείρης πρὸ ὀφθαλμῶν ἔχοντες [1], φρίξωμεν καταλιμπάνειν ἑαυτοῖς τί ποτε τῆς παλαιᾶς περιουσίας. Ὁμοίως τοῦ Γιεζῆ φοβηθέντες τὸ παράδειγμα τοῦ διὰ τὴν φιλαργυρίαν αἰωνίᾳ λέπρᾳ παραδοθέντος [2], φυλαξώμεθα συναθροίζειν ἑαυτοῖς τοῦ βίου τὰ χρήματα, ἅπερ οὐδὲ ἐν τῷ κόσμῳ εἴχομεν. Ἔτι γε μὴν τὴν τοῦ ᾿Ιούδα λογιζόμενοι δι᾿ ἀγχόνης τελευτήν, φοβηθῶμέν τί ποτε ἀπὸ πάντων ὧν ἀποτασσόμενοι κατεφρονήσαμεν. Ἐπὶ πᾶσι τούτοις πρὸ ὀφθαλμῶν ἔχοντες ἀεὶ τὸ τοῦ θανάτου ἄδηλον, μή ποτε ἐν ὥρᾳ ᾗ οὐ προσδοκῶμεν ἔλθῃ ὁ Κύριος, καὶ εὑρήσῃ τὸ ἡμέτερον συνειδὸς τῇ φιλαργυρίᾳ ἐσπιλωμένον, καὶ ἐρεῖ ἡμῖν ὅπερ ἐν τῷ Εὐαγγελίῳ ἐρρέθη τῷ πλουσίῳ ἐκείνῳ· «῎Αφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας τίνι ἔσται; [3]»

4. Τέταρτος ἡμῖν ἐστιν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς ὀργῆς, ὅπως σὺν Θεῷ τὸν τούτου θανατηφόρον ἰὸν ἐκ τοῦ βάθους τῆς ἡμετέρας ψυχῆς ἐκκόψωμεν. Τούτου γὰρ ἐν τῇ ἡμετέρᾳ καρδίᾳ ἐναποκειμένου, καὶ τὸν ὀφθαλμὸν τῆς διανοίας ἐκτυφλοῦντος ταῖς σκοτειναῖς ταραχαῖς, οὔτε διάκρισιν τῶν συμφερόντων κτήσασθαι δυνάμεθα, οὔτε πνευματικῆς γνώσεως εὑρεῖν κατάληψιν, οὔτε τῆς ὄντως ζωῆς γενέσθαι μέτοχοι, οὔτε τῆς θεωρίας τοῦ θείου καὶ ἀληθινοῦ φωτὸς δεκτικὸς ὁ ἡμέτερος νοῦς γενήσεται· «᾿Εταράχθη» γάρ, φησίν, «ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου [4]», οὔτε δὲ σοφίας μέτοχοι γενησόμεθα, κἂν μάλιστα σοφοὶ ταῖς ἐπινοίαις λογιζώμεθα· ἐπειδὴ γέγραπται, ὅτι «Θυμὸς ἐν κόλπῳ ἀφρόνων αὐλισθήσεται.» ᾿Αλλ᾿ οὐδὲ τὰς σωτηριώδεις ἀκτῖνας τῆς διακρίσεως κτήσασθαι δυνάμεθα, εἰ καὶ τὰ μάλιστα φρόνιμοι τοῖς ἀνθρώποις νομιζόμεθα· γέγραπται γάρ, ὅτι «᾿Οργὴ καὶ

1. Πρβλ. Πράξ. 5, 5-10. 2. Πρβλ. Δ' Βασ. 5, 27. 3. Λουκ. 12, 20.
4. Ψαλμ. 6, 8.

φρονίμους ἀπόλλυσιν·» οὔτε τὰς δικαιοσύνης κυβερνήσεις νηφαλίᾳ καρδίᾳ ἐπέχειν ἰσχύομεν· γέγραπται γάρ, ὅτι «Ἀνδρὸς ὀργὴ δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται·[1]» οὔτε δὲ τὴν ἐπαινουμένην παρὰ πάντων κοσμιότητα καὶ εὐσχημοσύνην κτήσασθαι δυνάμεθα· ἐπειδὴ γέγραπται· «Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων.[2]» Ὁ τοίνυν βουλόμενος πρὸς τελείωσιν ἐλθεῖν, καὶ ἐπιθυμῶν τὸν πνευματικὸν ἀγῶνα νομίμως ἀγωνίσασθαι, ἀπὸ παντὸς ἐλαττώματος ὀργῆς τε καὶ θυμοῦ ἀλλότριος ἔστω, καὶ ἀκουέτω τί αὐτὸ τὸ σκεῦος τῆς ἐκλογῆς παραγγέλλει λέγων· «Πᾶσα πικρία, καὶ ὀργή, καὶ θυμός, καὶ κραυγή, καὶ βλασφημία ἀρθήτω ἀφ' ἡμῶν σὺν πάσῃ κακίᾳ.[3]» Ὅταν δὲ εἴπῃ πᾶσαν, οὐδεμίαν πρόφασιν θυμοῦ ὡς ἀναγκαίαν ἢ ὡς εὔλογον ἡμῖν καταλέλοιπεν. Ὁ τοίνυν πλημμελοῦντα τὸν ἀδελφὸν βουλόμενος διορθώσασθαι ἢ ἐπιτιμίαν παρέχειν, σπουδαζέτω ἑαυτὸν ἀτάραχον φυλάττειν, μή ποτε ἄλλον θεραπεῦσαι βουλόμενος, ἑαυτῷ τὴν νόσον ἐπισπάσηται, καὶ ῥηθήσεται αὐτῷ τὸ εὐαγγελικὸν ἐκεῖνο· «Ἰατρέ, θεράπευσον σεαυτόν·[4]» καὶ πάλιν· «Τί βλέπεις τὸ κάρφος ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς; ἢ ποίῳ τρόπῳ ἐρεῖς τῷ ἀδελφῷ σου· Ἄφες ἐκβάλω τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ σου[5]», ὅστις τὴν δοκὸν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ ἔχεις, ἐπικαλύπτουσαν αὐτόν; Ἐξ οἵας γὰρ δήποτε αἰτίας ἡ τῆς ὀργῆς κίνησις, ὑπερζέσασα, τυφλοῖ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, καὶ οὐκ ἐᾷ αὐτὸν θεάσασθαι τὸν ἥλιον τῆς δικαιοσύνης. Ὥσπερ γὰρ ὁ ἐπιθεὶς τοῖς ὀφθαλμοῖς χρυσᾶ μέταλλα ἢ μολίβδινα ἐπίσης ἐκώλυσε τὴν ὁρατικὴν δύναμιν, καὶ οὐδαμῶς διαφορὰν ἐποίησε τῆς τυφλότητος, ἡ τοῦ χρυσοῦ μετάλλου τιμιότης· οὕτως ἐξ οἵας δήποτε αἰτίας ἡ τῆς ὀργῆς κίνησις ἐξαφθεῖσα τὴν ὁρατικὴν δύναμιν τῆς ψυχῆς σκοτίζει. Τότε μόνον κατὰ φύσιν κεχρήμεθα τῷ θυμῷ, ὅταν πρὸς τοὺς ἐμπαθεῖς καὶ φιληδόνους λογισμοὺς τοῦτον κινήσωμεν. Οὕτω γὰρ ἡμᾶς καὶ ὁ προφήτης Δαυῒδ ἐκδιδάσκει φάσκων· «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε·[6]» τουτέστι, κατὰ τῶν ἰδίων παθῶν τὴν ὀργὴν κινεῖτε, καὶ κατὰ τῶν πονηρῶν λογισμῶν καὶ μὴ διὰ τοῦ πράττειν τὰ ὑποβαλλόμενα ὑπ' αὐτῶν ἁμαρτάνετε· καὶ ταύτην σαφῶς τὴν ἔννοιαν δηλοῖ τὸ ἐπαγόμενον· «Ἃ λέγετε, φησίν, ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε·[7]» τουτέστιν, ὅταν ἀνέλθωσιν ἐπὶ τὴν καρδίαν οἱ πονηροὶ λογισμοί, ἐκβάλλοντες τούτους διὰ τῆς πρὸς αὐτοὺς ὀργῆς, μετὰ τὴν τούτων ἀποβολὴν ὡσανεὶ ἐν κοίτῃ τῇ ἡσυχίᾳ εὑρισκόμενοι, τὸ τηνικαῦτα κατανύγητε πρὸς μετάνοιαν. Συμφωνεῖ δὲ τούτοις καὶ ὁ μακάριος Παῦλος χρησάμενος τῇ μαρτυρίᾳ τοῦ ῥητοῦ τούτου, καὶ προσθείς· «Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· μὴ δίδοτε τόπον τῷ διαβόλῳ·[8]» τουτέστι μὴ παρασκευάσητε τὸν Ἥλιον τῆς δικαιο-

1. Ἰακ. 1, 20. 2. Παρμ. 11, 25. 3. Ἐφ. 4, 31. 4. Λουκ. 4, 23. 5. Ματθ. 7, 3-4. 6. Ψαλμ. 4, 5. 7. Ψαλμ. 4, 5. 8. Ἐφ. 4, 26.

σύνης Χριστόν, παροργίζοντες αὐτὸν ἐν τῇ τῶν φαύλων λογισμῶν συγκαταθέσει, ἐπιδῦναι τὰς καρδίας ὑμῶν· ἵνα μὴ τῇ ἀναχωρήσει αὐτοῦ εὕρῃ ἐν ὑμῖν τόπον ὁ διάβολος. Περὶ τούτου τοῦ ἡλίου καὶ ὁ Θεὸς διὰ τοῦ προφήτου λέγει· «Τοῖς δὲ φοβουμένοις τὸ ὄνομά μου ἀνατελεῖ Ἥλιος δικαιοσύνης, καὶ ἴασις ἔσται ἐν ταῖς πτέρυξιν αὐτοῦ.[1]» Εἰ δὲ καὶ κατὰ τὸ γράμμα ἐκλάβωμεν τὸ ῥητόν, οὐδὲ μέχρι δύσεως ἡλίου συγχωρεῖται ἡμῖν φυλάττειν τὴν ὀργήν. Τί οὖν ἐροῦμεν περὶ τούτων, οἵτινες τῇ ἀγριότητι καὶ μανίᾳ τῆς ἐμπαθοῦς διαθέσεως, οὐ μόνον μέχρι δύσεως τούτου τοῦ ἡλίου διατηροῦσι τὴν ὀργήν, ἀλλὰ καὶ ἐπὶ πλείστας ἡμέρας παρατείνουσιν αὐτὴν παρασιωπῶντες ἀπ' ἀλλήλων, οὐκέτι μὲν διὰ τῶν ῥημάτων ἐκφέροντες αὐτήν, τῇ δὲ πρὸς ἀλλήλους σιωπῇ τὸν τῆς μνησικακίας ἰὸν εἰς ὄλεθρον αὐτῶν ἐξάπτοντες, ἀγνοοῦντες, ὅτι μὴ μόνον ἐκ τῆς κατ' ἐνέργειαν ἁμαρτίας ἀπέχεσθαι δεῖ, ἀλλὰ καὶ ἀπὸ τῆς κατὰ διάνοιαν, ἵνα μή, τῷ σκότει τῆς μνησικακίας ὁ νοῦς ἀμαυρωθείς, ἐκπέσῃ τοῦ φωτὸς τῆς γνώσεως, καὶ τῆς διακρίσεως, καὶ στερηθῇ τῆς τοῦ ἁγίου Πνεύματος οἰκήσεως. Διὰ γὰρ τοῦτο καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις κελεύει ἀφεῖναι τὸ δῶρον ἐπὶ τὸ θυσιαστήριον, καὶ διαλλάττεσθαι τῷ ἀδελφῷ·[2] ἐπεὶ μὴ δυνατὸν εὐπρόσδεκτον γενέσθαι, θυμοῦ καὶ μνησικακίας ἐναποκειμένων ἡμῖν. Καὶ ὁ ᾿Απόστολος δὲ λέγων ἀδιαλείπτως προσεύχεσθαι[3], καὶ ἐν παντὶ τόπῳ ἐπαίρειν ὁσίας χεῖρας, χωρὶς ὀργῆς καὶ διὰ λογισμῶν[4] τοῦτο ἡμᾶς διδάσκει. Περιλείπεται τοίνυν ἢ μηδέποτε προσεύχεσθαι, καὶ κατὰ τοῦτο ὑποδίκους εἶναι τῷ ἀποστολικῷ παραγγέλματι, ἢ σπουδάζοντας φυλάττειν τὰ προστάγματα, χωρὶς ὀργῆς καὶ μνησικακίας τοῦτο ποιεῖν. Καὶ ἐπειδὴ πολλάκις λυπηθέντων ἀδελφῶν ἢ ταραχθέντων περιφρονοῦμεν λέγοντες, οὐκ ἐξ ἡμετέρας αἰτίας τούτους λελυπῆσθαι, ὁ τῶν ψυχῶν ἰατρὸς τὰς προφάσεις τῆς ὀργῆς ῥιζόθεν ἀπὸ καρδίας ἀνασπάσαι βουλόμενος, οὐ μόνον εἰ τύχοιμεν ἡμεῖς λελυπημένοι κατὰ τοῦ ἀδελφοῦ, προστάσσει ἀφιέναι τὸ δῶρον, καὶ διαλλάττεσθαι τούτῳ·[5] ἀλλὰ καὶ εἰ αὐτὸς λελύπηται καθ' ἡμῶν δικαίως ἢ ἀδίκως, τοῦτον διὰ τῆς ἀπολογίας θεραπεύειν, καὶ τότε προσφέρειν τὸ δῶρον. ᾿Αλλὰ τί ἐπὶ πολὺ τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς παραγγέλμασιν ἐνδιατρίβομεν, ἐξὸν καὶ ἀπὸ τοῦ παλαιοῦ νόμου μαθεῖν τοῦτο, ὅς, καὶ συγκατάβασιν τῆς ἀκριβείας ἔχειν δοκῶν, τάδε φησί· «Μὴ μισήσῃς τὸν ἀδελφόν σου ἐν τῇ καρδίᾳ σου·[6]» καὶ πάλιν· «῾Οδοὶ μνησικάκων εἰς θάνατον.[7]» Καὶ ἐνταῦθα γὰρ οὐ μόνον τὴν κατ' ἐνέργειαν, ἀλλὰ καὶ τὴν κατὰ διάνοιαν ὀργὴν κωλύει καὶ κολάζει. Διὸ προσήκει, τοῖς θείοις νόμοις ἀκολουθοῦντας, πάσῃ δυνάμει ἀγωνίζεσθαι κατὰ τοῦ πνεύματος τῆς ὀργῆς, καὶ κατὰ τῆς ἔνδον ἐν ἡμῖν

1. Μαλ. 4, 2. 2. Πρβλ. Ματθ. 5, 24. 3. Πρβλ. Α' Θεσσ. 5, 17. 4. Πρβλ. Α' Τιμ. 2, 8. 5. Πρβλ. Ματθ. 5, 24. 6. Λευϊτ. 19, 17. 7. Παρμ. 12, 28.

ἀποκειμένης νόσου· καὶ μή, κατὰ τῶν ἀνθρώπων τὸν θυμὸν κινοῦντας, ἐρημίαν καὶ μόνωσιν μεταδιώκειν· ὡς ἐκεῖ δῆθεν, καὶ μηδενὸς ὄντος τοῦ κινοῦντος ἡμᾶς εἰς ὀργήν, εὐκόλως ἐν τῇ μονώσει ἡ ἀρετὴ τῆς μακροθυμίας κατορθωθήσεται· ἀπὸ γὰρ τῆς ὑπερηφανίας καὶ τοῦ μὴ θέλειν μέμφεσθαι ἑαυτοὺς καὶ ἐπιγράφειν τῇ ἰδίᾳ ῥαθυμίᾳ τὰς αἰτίας τῆς ὀργῆς, τὴν ἐκ τῶν ἀδελφῶν ἀλλοτρίωσιν ἐπιποθοῦμεν. Ἕως ὅτε τοίνυν τῆς ἡμετέρας ἀσθενείας τὰς αἰτίας ἄλλοις ἐπιγράφομεν, ἀδύνατον ἡμᾶς πρὸς τὴν τελείωσιν τῆς μακροθυμίας φθάσαι. Τὸ γὰρ κεφάλαιον τῆς ἡμετέρας διορθώσεως, οὐκ ἐκ τῆς τῶν πλησίον μακροθυμίας τῆς πρὸς ἡμᾶς γινομένης κατορθοῦται, ἀλλ' ἐκ τῆς ἡμετέρας πρὸς τὸν πλησίον μακροθυμίας καὶ ἀνεξικακίας. Ὅταν δὲ τὸν τῆς μακροθυμίας ἀγῶνα φεύγοντες τὴν ἔρημον καταδιώκωμεν καὶ τὴν μόνωσιν, ὅσα δ' ἂν τῶν ἡμετέρων παθῶν ἀθεράπευτα ἐκεῖσε ἐπενέγκωμεν, ἐπικεκρυμμένα, οὐκ ἐξειλημμένα, τυγχάνουσι. Καὶ γὰρ ἡ ἔρημος καὶ ἡ ἀναχώρησις τοῖς μήπω παθῶν ἀπηλλαγμένοις οὐ μόνον φυλάττειν ἐπίσταται τὰ ἐλαττώματα, ἀλλὰ καὶ ἐπικαλύπτειν ταῦτα οἶδε. Καὶ οὐδὲ ἐπαισθάνεσθαι αὐτοὺς συγχωρεῖ ποίῳ πάθει ἡττῶνται· τοὐναντίον δὲ φαντασίαις αὐτοὺς ὑποβάλλει, κατωρθωκέναι αὐτοὺς πείθει τήν τε μακροθυμίαν καὶ τὴν ταπείνωσιν, ἕως μὴ πάρεστιν ὁ τούτους ἐρεθίζων καὶ δοκιμάζων· ὅταν δὲ συμβῇ πρόφασις τούτους κινοῦσα, καὶ γυμνάζουσα, εὐθέως τὰ ἐναποκείμενα πάθη, καὶ τὸ πρὶν λανθάνοντα, ὥσπερ ἵπποι ἀχαλίνωτοι, ἐκ τῶν ἰδίων ἀφετηρίων ἐκπηδήσαντες, καὶ τῇ μακρᾷ ἡσυχίᾳ καὶ σχολῇ τραφέντες, σφοδρότερον καὶ ἀγριώτερον πρὸς ὄλεθρον κατασύρουσι τὸν ἴδιον ἐπιβάτην. Πλέον γὰρ ἀγριοῦται ἐν ἡμῖν τὰ πάθη ἀργοῦντα τῆς ἐξ ἀνθρώπων γυμνασίας, καὶ αὐτὴν τὴν σκιὰν τῆς ὑπομονῆς καὶ μακροθυμίας, ἣν εἰκονικῶς δοκοῦμεν ἔχειν, ἀναμεμιγμένην τοῖς ἀδελφοῖς τῇ ἀμελείᾳ τῆς ἀγυμνασίας, καὶ τῆς μονώσεως ἀπόλλυμεν. Ὥσπερ γὰρ τὰ ἰοβόλα τῶν θηρίων ἐν ἐρημίᾳ, καὶ ἐν ταῖς ἰδίαις κοίταις ἡσυχάζοντα, τότε τὴν ἰδίαν μανίαν ἐπιδείκνυνται, ὅταν λάβωνταί τινος προσεγγίζοντος, οὕτω καὶ οἱ ἐμπαθεῖς ἄνθρωποι οὐκ ἀρετῆς διαθέσει, ἀλλὰ τῇ τῆς ἐρημίας ἀνάγκῃ ἡσυχάζοντες, τότε τὸν τῆς ψυχῆς ἰὸν ἐξεμοῦσιν, ὅταν δράξωνται τοῦ προσεγγίζοντος καὶ ἐρεθίζοντος. Καὶ τούτου χάριν τοῖς τελείωσιν πραότητος ἐπιζητοῦσι σπουδῇ πάσῃ ὀφείλει μὴ μόνον πρὸς ἀνθρώπους μὴ ὀργίζεσθαι, ἀλλὰ μηδὲ πρὸς τὰ ἄλογα, μηδὲ πρὸς τὰ ἄψυχα πράγματα. Μέμνημαι γὰρ ἐγὼ ἡνίκα ἐν ἐρήμῳ διέτριβον κατὰ καλάμου τὸν θυμὸν κινήσας, τῆς παχύτητος τούτου ἢ λεπτότητος ἀπαρεσάσης μοι· καὶ κατὰ ξύλου πάλιν, ὅταν κόψαι τοῦτο θελήσας, μὴ ταχέως ἐδυνήθην· καὶ πάλιν κατὰ λίθου πυρεκβόλου, ὅταν, σπουδάζοντός μου ἐκβάλλειν τὸ πῦρ, μὴ ταχέως ὁ σπινθὴρ ἐξεπήδησεν, οὕτω τῆς ὀργῆς ἐπιταθείσης, ὡς κατὰ τῶν ἀναισθήτων, καὶ ἀψύχων πραγμάτων ταύτην ἐκφέρειν. Εἰ τοίνυν ἐπιποθοῦμεν τυχεῖν τοῦ μακαρισμοῦ τοῦ Χριστοῦ, οὐ μόνον τὴν κατ' ἐνέργειαν ὀφείλομεν ὀργὴν κωλῦσαι, καθὰ εἴρηται, ἀλλὰ καὶ τὴν

κατὰ διάνοιαν. Οὐ γὰρ τοσοῦτον ὠφελεῖ τὸ κρατεῖν τοῦ στόματος καὶ μὴ ἐκφέρειν ῥῆμα μανιῶδες, ὅσον τὸ καθαρίζειν τὴν καρδίαν ἀπὸ μνησικακίας, καὶ μὴ ἀνατρέφειν πονηροὺς λογισμούς. Τὰς ῥίζας γὰρ τῶν ἁμαρτημάτων ἐκκόπτειν παραγγέλλει ἡ εὐαγγελικὴ διδασκαλία, ἤπερ τοὺς καρπούς· τῆς ῥίζης γὰρ τοῦ θυμοῦ ἐκκοπείσης ἀπὸ τῆς καρδίας, οὔτε μῖσος, οὔτε φθόνος εἰς ἔργον προαχθήσεται· καὶ γὰρ ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστί, φονεύων αὐτὸν ἐν τῇ διαθέσει τοῦ μίσους. Ἀναιρεθέντος Θεὸς ἀφορᾷ· οὔτινος τὸ αἷμα, οὐ διὰ ξίφους ἐκχυθέν, ἄνθρωποι βλέπουσιν, ἀλλὰ τῇ διαθέσει τοῦ μίσους ἀναιρεθέντος. Θεὸς ἄρα οὐ μόνον ὑπὲρ πράξεων, ἀλλὰ καὶ ὑπὲρ λογισμῶν καὶ ὑπὲρ προαιρέσεων ἑνὶ ἑκάστῳ στεφάνους ἢ τιμωρίας ἀποδιδούς, καθὼς αὐτὸς διὰ τοῦ προφήτου φησίν· «Ἐγὼ ἔρχομαι συναγαγεῖν τὰ ἔργα, καὶ τοὺς λογισμούς, καὶ τὰς ἐνθυμήσεις αὐτῶν.» Καὶ πάλιν ὁ Ἀπόστολος λέγει· «Μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγοροῦντες [κατηγορούντων], ἢ καὶ ἀπολογουμένων ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων.[1]» Αὐτὸς δὲ ὁ Δεσπότης, διδάσκων ἡμᾶς, ὅτι δεῖ πᾶσαν ὀργὴν ἀποτίθεσθαι, φησὶν ἐν τοῖς Εὐαγγελίοις· «Ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ ἔνοχος ἔσται τῇ κρίσει.[2]» Οὕτω γὰρ τῶν ἀντιγράφων τὰ ἀκριβῆ περιέχει· τὸ γὰρ εἰκῆ, ἐκ προσθήκης ἐτέθη· καὶ τοῦτο δῆλον ἐκ τοῦ προκειμένου λήμματος τῆς Γραφῆς. Ὁ γὰρ σκοπὸς τοῦ Κυρίου τὴν ῥίζαν, καὶ τὸν σπινθῆρα τῆς ὀργῆς ἀποκόπτειν πᾶσι τρόποις ἡμᾶς βούλεται, καὶ μήτε μίαν πρόφασιν ὀργῆς ἐν αὐτοῖς διαφυλάττειν· ἵνα μὴ εὐλόγως δῆθεν τὴν ὀργὴν κινούμενοι, ὕστερον τῇ μανίᾳ τοῦ ἀλόγου θυμοῦ περιπέσωμεν. Τῆς δὲ νόσου ταύτης τελεία ἰατρεία αὐτή ἐστι, ἵνα πιστεύσωμεν, ὅτι οὔτε ἐπὶ δικαίοις, οὔτε ἐπὶ ἀδίκοις, ἔξεστιν ἡμῖν κινεῖν τὸν θυμόν. Τοῦ γὰρ πνεύματος τῆς ὀργῆς σκοτίσαντος τὴν διάνοιαν, οὔτε διακρίσεως φῶς, οὔτε ὀρθοῦ βουλεύματος, οὔτε δικαιοσύνης κυβέρνησις ἐν ἡμῖν εὑρεθήσεται, οὔτε ναὸν τοῦ ἁγίου Πνεύματος τὴν ἡμετέραν ψυχὴν γενέσθαι δυνατόν, τοῦ πνεύματος ὀργῆς κυριεύοντος. Τέλος δὲ πάντων χρὴ τὸ ἄδηλον τοῦ θανάτου καθ' ἑκάστην ἡμέραν πρὸ ὀφθαλμῶν ἔχοντας, φυλάττειν ἑαυτοὺς ἀπὸ τῆς ὀργῆς, καὶ εἰδέναι, ὅτι οὔτε ἄσκησις, οὔτε σωφροσύνη, οὔτε ἀποταγὴ πάσης ὕλης, οὔτε τῶν νηστειῶν καὶ ἀγρυπνιῶν ὄφελος ἡμῖν ἔσται, ἐάν, ὑπὸ ὀργῆς καὶ μίσους κατεχόμενοι, ἔνοχοι εὑρεθῶμεν τῇ κρίσει. Ἧς ῥυσθείημεν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

5. Πέμπτος ἡμῖν ἐστιν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς λύπης, τοῦ ἐπισκοτοῦντος τῇ ψυχῇ ἀπὸ πάσης πνευματικῆς θεωρίας, καὶ κωλύοντος αὐτὴν ἀπὸ πάσης ἀγαθῆς ἐργασίας. Ὅταν γὰρ τὸ πονηρὸν τοῦτο πνεῦμα περιδράξηται τῆς ψυχῆς, καὶ ὅλην αὐτὴν σκοτώσῃ, οὐκ εὐχὰς ἐκτελεῖν μετὰ προθυμίας συγχωρεῖ, οὐ τῶν ἱερῶν ἀναγνω-

1. Ῥωμ. 2, 15-16. 2. Ματθ. 5. 22.

σμάτων τῇ ὠφελείᾳ ἐγκαρτερεῖν, πρᾶον καὶ εὐκατάμικτον πρὸς τοὺς ἀδελφοὺς εἶναι οὐ συγχωρεῖ, καὶ πρὸς πάντα τῶν ἔργων τὰ ἐπιτηδεύματα, καὶ πρὸς αὐτὴν τοῦ βίου τὴν ἐπαγγελίαν μῖσος ἐμποιεῖ. Καὶ πάντα ἁπλῶς τὰ σωτηριώδη βουλεύματα τῆς ψυχῆς ἡ λύπη συγχέασα καὶ τὴν εὐτονίαν αὐτῆς, καὶ καρτερίαν παραλύσασα, ὡς ἄφρονα αὐτήν, καὶ παραπλῆγα ἀπεργάζεται, τῷ τῆς ἀπογνώσεως λοιπὸν ἐνδήσασα λογισμῷ. Διὰ τοῦτο εἷς σκοπὸς ἡμῖν ἔστω ἀγωνίσασθαι τὸν πνευματικὸν ἀγῶνα, καὶ νικῆσαι σὺν Θεῷ τὰ πνεύματα τῆς πονηρίας, καὶ πάσῃ φυλακῇ τηρῆσαι τὴν ἑαυτῶν καρδίαν[1] ἀπὸ τοῦ πνεύματος τῆς λύπης. Ὥσπερ γὰρ σὴς ἱμάτιον, καὶ σκώληξ ξύλον, οὕτως ἡ λύπη τὴν τοῦ ἀνθρώπου ψυχὴν κατεσθίει, ἐκκλίνειν πείθουσα πᾶσαν ἀγαθὴν συντυχίαν, καὶ οὐδὲ παρὰ τῶν γνησίων φίλων λόγον συμβουλίας δέχεσθαι συγχωροῦσα, οὐδὲ χρηστὴν ἀπόκρισιν ἢ εἰρηνικὴν ἐπιτρέπουσα τούτοις μεταδοῦναι· ἀλλὰ πᾶσα τὴν ψυχὴν θλίβουσα, πικρίας αὐτὴν καὶ ἀκηδίας πληροῖ· καὶ λοιπὸν ὑποβάλλει αὐτὴν φεύγειν τοὺς ἀνθρώπους, ὡς αἰτίους αὐτῇ τῆς ταραχῆς γενομένους· καὶ οὐ συγχωρεῖ αὐτὴν ἐπιγνῶναι, ὅτι οὐκ ἔξωθεν, ἀλλ' ἔνδοθεν ἔχει τὴν νόσον ἀποκειμένην, ἥτις τότε φανεροῦται, ὅταν οἱ πειρασμοὶ ἐπιστάντες διὰ τῆς γυμνασίας εἰς τὸ ἐμφανὲς αὐτὴν προενέγκωσιν. Οὐδέποτε γὰρ ὑπὸ ἄλλου βλαβήσεται ἄνθρωπος, εἰ μὴ ἔνδοθεν ἀποκειμένην ἔχει τὴν νόσον, ἤτοι τὰς τῶν παθῶν αἰτίας, καὶ τούτου χάριν ὁ πάντων δημιουργὸς καὶ ἰατρὸς τῶν ψυχῶν Θεός, καὶ μόνος ἐπιστάμενος τὰ τραύματα τῆς ψυχῆς ἀκριβῶς, οὐ τὰς τῶν ἀνθρώπων διατριβὰς παραγγέλλει καταλιμπάνειν, ἀλλὰ τὰς ἐν ἡμῖν τῆς κακίας ἐκκόπτειν αἰτίας, γινώσκων τὴν αἰτίαν τῆς ψυχῆς ὑγείας οὐκ ἐν τῷ χωρισμῷ τῶν ἀνθρώπων κατορθοῦσθαι, ἀλλ' ἐν τῇ τῶν ἀνθρώπων συνδιαγωγῇ καὶ γυμνασίᾳ. Ὅταν τοίνυν διά τινας εὐλόγους δῆθεν προφάσεις τοὺς ἀδελφοὺς καταλιμπάνωμεν, οὐ τὰς τῆς λύπης ἀφορμὰς ἐξεκόψαμεν, ἀλλὰ μόνον ἐνηλλάξαμεν αὐτὰς τῆς ἐναποκειμένης ἔνδον νόσου, καὶ διετο... πραγμάτων ταύτας ἀνακινούσης. Διὰ τοῦτο κατὰ τῶν ἔνδοθεν παθῶν ἅπας ἡμῖν ἔστω ὁ πόλεμος. Τούτων γὰρ διὰ τῆς τοῦ Θεοῦ συνεργίας ἐκβληθέντων, οὐ λέγω μετὰ ἀνθρώπων, ἀλλὰ καὶ μετὰ θηρίων εὐκόλως συνδιατρίψομεν, κατὰ τὸ ὑπὸ τοῦ μακαρίου Ἰὼβ εἰρημένον· «Θῆρες ἄγριοι εἰρηνεύσουσί σοι.[2]» Προηγουμένως τοίνυν ἀγωνιστέον κατὰ τοῦ πνεύματος τῆς λύπης, τοῦ βάλλοντος τὴν ψυχὴν εἰς ἀπόγνωσιν, ὅπως ἀπελάσωμεν τοῦτο τῆς ἡμετέρας καρδίας. Τοῦτο γὰρ τὸν Κάϊν οὐ συνεχώρησε μετὰ τὴν ἀδελφοκτονίαν μετανοῆσαι, οὔτε τὸν Ἰούδαν μετὰ τὴν τοῦ Δεσπότου προδοσίαν. Ἐκείνην μόνην τὴν λύπην ἀσκήσωμεν, τὴν ἐπὶ τῇ μετανοίᾳ τῶν ἡμαρτημένων μετὰ ἐλπίδος ἀγαθῆς γινομένην, καὶ τῇ ἐπικτήσει τῶν ἐν οὐρανοῖς ἀγαθῶν ἐπιτηδευομένην. Περὶ ἧς καὶ ὁ Ἀπόστολος εἶπεν, ὅτι «Ἡ κατὰ Θεὸν λύπη...[3]» τῇ ἐλπίδι τῆς μετανοίας τρέφουσα

1. Πρβλ. Παρμ. 4, 23. 2. Ἰὼβ 5, 23. 3. Β' Κορ. 7, 10.

τὴν ψυχήν, χαρὰ σύμμικτος ὑπάρχει· ὅθεν καὶ πρόθυμον καὶ ὑπήκοον πρὸς πᾶσαν ἀγαθὴν ἐργασίαν παρασκευάζει τὸν ἄνθρωπον εὐπρόσιτον, ταπεινόν.

[Λείπει φύλλον ἕν, τουτέστι τὸ λεῖπον κατὰ τοῦ πνεύματος τῆς λύπης, καὶ ἡ ἀρχὴ τοῦ κατὰ τῆς ἀκηδίας πνεύματος.]

..6. Ἄρτον ἐσθίωσιν. Ἀκούσωμεν πῶς σοφῶς ἡμῖν ὑποδείκνυσι τὰς αἰτίας τῆς ἀκηδίας ὁ Ἀπόστολος «Ἀτάκτους[1]» γὰρ καλεῖ τοὺς μὴ ἐργαζομένους, ἑνὶ τούτῳ ῥήματι πολλὴν κακίαν ἐμφαίνων. Ὁ γὰρ ἀργὸς καὶ προπετὴς ἐν λόγοις τυγχάνει, καὶ πρὸς λοιδορίαν πρόχειρος, καὶ λοιπὸν εἰς ἡσυχίαν ἀνεπιτήδειος, καὶ τῆς ἀκηδίας δοῦλος. Παραγγέλλει οὖν στέλλεσθαι ἀπ' αὐτοῦ, τουτέστιν ἀφορίζεσθαι ὡς ἀπὸ λοιμικῆς νόσου. Εἶτα τί φησι· «Καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβον παρ' ἡμῶν[2]», διὰ τῆς λέξεως ταύτης ὑπερηφάνους αὐτοὺς εἶναι, καταφρονήσαντας ἐμφαίνων, καὶ τῶν ἀποστολικῶν παραδόσεων καταλυτάς· καὶ πάλιν· «Δωρεάν, φησίν, ἄρτων οὐκ ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν.[3]» Ὁ διδάσκαλος τῶν ἐθνῶν, ὁ κήρυξ Εὐαγγελίου, ὁ μετάρσιος ἕως τρίτου οὐρανοῦ[4], ὁ λέγων τὸν Κύριον προστεταχέναι «τοὺς τὸ Εὐαγγέλιον καταγγέλλοντας ἐκ τοῦ Εὐαγγελίου ζῆν[5]», ἐν κόπῳ καὶ νυκτὸς καὶ ἡμέρας εἰργάζετο πρὸς τὸ μὴ ἐπιβαρῆσαι. Τί οὖν ποιήσομεν ἡμεῖς ἀκηδιῶντες ἀπὸ τοῦ ἔργου, καὶ τὴν σωματικὴν ἀνάπαυσιν μεταδιώκοντες· οἷς οὔτε κήρυγμα Εὐαγγελίου ἐνεχειρίσθη, οὔτε τῶν Ἐκκλησιῶν ἡ μέριμνα, ἀλλὰ τῆς ἰδίας μόνης ψυχῆς ἡ φροντίς; Εἶτα, σαφέστερον δεικνύων τὴν τικτομένην βλάβην ἐκ τῆς ἀργίας, ἐπιφέρει· «Μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους·[6]» ἀπὸ ἀργίας ἀταξία, καὶ ἀπὸ ἀταξίας πᾶσα κακία. Κατασκευάζων δὲ πάλιν τὴν θεραπείαν αὐτῆς ἐπιφέρει· «Τοῖς δὲ τοιούτοις παραγγέλλομεν, καὶ παρακαλοῦμεν ἐν ἡσυχίᾳ ἐργαζομένους τὸν ἑαυτῶν ἄρτον ἐσθίειν·[7]» καὶ ἐπιπληκτικώτερον ἐπάγει λέγων· «Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω.[8]» Τούτοις τοῖς ἀποστολικοῖς παραγγέλμασιν οἱ κατὰ τὴν Αἴγυπτον ἅγιοι Πατέρες, παιδευόμενοι, οὐδένα καιρὸν ἀργοὺς εἶναι τοὺς μοναχοὺς ἐπιτρέπουσι, καὶ μάλιστα τοὺς νεωτέρους, εἰδότες, ὅτι διὰ τῆς ὑπομονῆς τοῦ ἔργου ἀκηδίαν ἀπελαύνουσι, καὶ τὴν ἑαυτῶν τροφὴν προσπορίζουσι, καὶ τοῖς δεομένοις βοηθοῦσιν· Οὐ μόνον γὰρ τῆς ἑαυτῶν χρείας ἕνεκεν ἐργάζονται, ἀλλὰ δὲ ξένοις καὶ πτωχοῖς, καὶ τοῖς ἐν φυλακαῖς, καὶ πᾶσι τοῖς δεομένοις, ἐκ τοῦ ἰδίου ἔργου ἐπιχορηγοῦσι, πιστεύοντες τὴν ἑαυτῶν εὐποιίαν, θυσίαν εὐάρεστον τῷ Θεῷ γίνεσθαι. Καὶ τοῦτο δὲ λέγουσιν οἱ Πατέρες, ὅτι ὁ ἐργαζόμενος ἑνὶ δαίμονι πολεμεῖ, καὶ πολλάκις ὑπ' αὐτοῦ θλίβεται·

1. Πρβλ. Β' Θεσσ. 3, 7. 2. Β' Θεσσ. 3, 6. 3. Β' Θεσσ. 3, 8. 4. Πρβλ. Β' Κορ. 12, 2. 5. Α' Κορ. 9, 14. 6. Β' Θεσσ. 3, 11. 7. Β' Θεσσ. 3, 12. 8. Β' Θεσσ. 3, 10.

ὁ δὲ ἀργὸς ὑπὸ κυρίων πνευμάτων αἰχμαλωτίζεται. Καλὸν δὲ πρὸς τούτοις καὶ λόγον ἐπιμνησθῆναι τοῦ ἀββᾶ Μωϋσέως τοῦ δοκιμωτάτου ἐν τοῖς Πατράσιν, ὃν πρὸς μὲ ἀπεφθέγξατο. Καθεσθέντος γάρ μου ὀλίγον χρόνον ἐν τῇ ἐρήμῳ, ὠχλήθην ὑπὸ ἀκηδίας, καὶ παραβαλὼν αὐτῷ, λέγω πρὸς αὐτόν, ὅτι «Δεινῶς ὀχληθεὶς ὑπὸ τῆς ἀκηδίας, καὶ ἐξασθενήσας σφόδρα, οὐ πρότερον ἀπηλλάγην αὐτῆς, εἰ μὴ ἀπῆλθον καὶ παρέβαλον τῷ ἀββᾷ Παύλῳ.» Ἀπεκρίνατο δέ μοι πρὸς ταῦτα ὁ ἀββᾶς Μωϋσῆς λέγων· «Θάρσει, οὐχ ἑαυτὸν ἀπὸ ταύτης ἠλευθέρωσας, ἀλλὰ μᾶλλον ἔκδοτον καὶ δοῦλον ταύτῃ παρέδωκας· Γίνωσκε τοίνυν, ὅτι βαρυτέρως σε ὡς λειποτάκτην καταπολεμήσει· εἰ μὴ τοῦ λοιποῦ δι' ὑπομονῆς καὶ προσευχῆς καὶ τοῦ ἔργου τῶν χειρῶν, ταύτην καταπαλαῖσαι σπουδάσῃς»

7. Ἕβδομος ἡμῖν ἐστιν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς κενοδοξίας, πολύμορφον τοῦτο καὶ λεπτότατον πάθος, καὶ οὐδὲ ὑπ' αὐτοῦ τοῦ πειραζομένου καταλαμβανόμενον. Καὶ γὰρ τῶν ἄλλων παθῶν αἱ προσβολαὶ φανερώτεραι τυγχάνουσι, καὶ εὐκολώτερόν πως τὴν πρὸς ταῦτα μάχην κέκτηνται, καὶ τῆς ψυχῆς τὸν πόλεμον ἐπιγινωσκομένης διὰ τῆς ἀντιρρήσεως καὶ προσευχῆς τοῦτον ἀνατρεπούσης. Ἡ δὲ τῆς κενοδοξίας κακία, πολύμορφος οὖσα, καθὼς εἴρηται, δυσκαταγώνιστος τυγχάνει. Καὶ γὰρ ἐν παντὶ ἐπιτηδεύματι παρυφίσταται ἔν τε σχήματι, καὶ μορφῇ, καὶ βαδίσματι, καὶ λόγῳ, καὶ ἐν ἀγρυπνίαις, καὶ ἐν νηστείαις, καὶ ἐν προσευχῇ, καὶ ἐν ἀναγνώσει, καὶ ἐν ἡσυχίᾳ, καὶ ἐν μακροθυμίᾳ. Διὰ πάντων γὰρ τούτων ἐπιχειρεῖ τὸν στρατιώτην τοῦ Χριστοῦ κατατοξεύειν. Καὶ γὰρ ὅντινα μὴ δυνηθῇ διὰ πολυτελείας ἐνδυμάτων πρὸς κενοδοξίαν ἀπατῆσαι, τοῦτον δι' εὐτελοῦς ἐσθῆτος ἐπιχειρεῖ πειράζειν. Καὶ ὃν οὐκ ἠδυνήθη διὰ τιμῆς ἐπᾶραι, τοῦτον διὰ τοῦ φέρειν δῆθεν ἀτιμίαν εἰς ἀπόνοιαν αἴρει· καὶ ὃν οὐκ ἠδυνήθη διὰ τῆς ἐπιστήμης τοῦ λόγου πεῖσαι κενοδοξεῖν, τοῦτον τῇ σιωπῇ ὡς ἥσυχον δελεάζει· καὶ ὃν οὐκ ἠδυνήθη πολυτελείᾳ βρωμάτων χαυνῶσαι, τοῦτον διὰ νηστείας εἰς ἔπαινον ἐκλύει. Καὶ ἁπλῶς πᾶν ἔργον, πᾶν ἐπιτήδευμα, πρόφασιν πολέμου παρέχει τούτῳ τῷ δαίμονι. Ἔτι δὲ πρὸς τούτοις καὶ κλῆρον φαντάζεται ὁ πολεμούμενος ὑπ' αὐτοῦ. Μέμνημαι γὰρ τινος γέροντος, ἡνίκα ἐν Σκήτῃ διέτριβον, ἀπελθόντος εἰς κελλίον τινὸς ἀδελφοῦ ἐπισκέψεως χάριν, καὶ ὡς ἐπλησίασε τῇ θύρᾳ τῆς κέλλης, ἀκούει αὐτοῦ λαλοῦντος ἔνδον· καὶ νομίσας ὁ γέρων ἀπὸ Γραφῆς αὐτὸν μελετᾶν, ἔστη ἀκροώμενος, καὶ αἰσθάνεται αὐτοῦ ὑπὸ κενοδοξίας παραφρονοῦντος, καὶ ἑαυτὸν χειροτονοῦντος διάκονον, καὶ τοῖς κατηχουμένοις ἀπόλυσιν παρέχοντα. Ὡς οὖν ἤκουσε τοῦτο ὁ γέρων, τέλος ὠθήσας τὴν θύραν εἰσῆλθε, καὶ ἀπαντήσας αὐτῷ ὁ ἀδελφὸς προσεκύνησε κατὰ τὸ ἔθος, καὶ ἠξίου μαθεῖν παρ' αὐτοῦ, εἰ πολλὴν ὥραν ἔχει πρὸς τῇ θύρᾳ. Ὁ δὲ γέρων χαριέντως ἀπεκρίθη πρὸς αὐτόν· Ἄρτι, φησίν, ἦλθον, ὅτε σὺ τὴν ἀπόλυσιν τοῖς κατηχουμένοις ἐπετέλεις. Τότε ὁ ἀδελφός, ἀκούσας ταῦτα, ἔπεσε παρὰ τοὺς πόδας τοῦ γέ-

ροντος, καὶ παρακαλεῖ αὐτὸν εὔχεσθαι ὑπὲρ αὐτοῦ, ἵνα ῥυσθῇ τῆς τοιαύτης πλάνης. Τούτου δὲ ἐμνήσθην δεῖξαι βουλόμενος εἰς ὅσην ἀναισθησίαν φέρει τὸν ἄνθρωπον οὗτος ὁ δαίμων. Ὁ τοίνυν βουλόμενος τελείως ἀθλῆσαι, καὶ τὸν τῆς δικαιοσύνης στέφανον ἀναδήσασθαι, πᾶσι τρόποις σπουδάσῃ τὸ πολύμορφον τοῦτο θηρίον νικῆσαι, πρὸ ὀφθαλμῶν ἔχων πάντοτε τὸ ὑπὸ τοῦ ἁγίου Δαυὶδ εἰρημένον· «Κύριος διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων·[1]» καὶ μηδὲν ποιείτω παριβλεπόμενος τὸν ἐξ ἀνθρώπων ἔπαινον, ἀλλὰ τὸν παρὰ Θεοῦ μισθὸν ἐπιζητείτω, καὶ ἀπορρίπτων ἀεὶ τοὺς ἐπερχομένους ἐν τῇ καρδίᾳ αὐτοῦ λογισμοὺς καὶ ἐπαινοῦντας αὐτόν, ἐξουθενείτω ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ. Οὕτως γὰρ δυνήσεται σὺν Θεῷ ἀπαλλαγῆναι τοῦ δαίμονος τῆς κενοδοξίας χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

8. Ὄγδοος ἡμῖν ἐστιν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς ὑπερηφανίας· χαλεπώτατος οὗτος καὶ πάντων τῶν προτέρων ἀγριώτερος, τοὺς τελείους μάλιστα πολεμῶν, καὶ σχεδὸν τοὺς τὸ ὕψος τῶν ἀρετῶν ἀναβεβηκότας ἐπιχειρεῖ καταστρέφειν· καὶ καθάπερ νόσος λοιμικὴ φθοροποιὸς οὐχὶ μέρος τοῦ σώματος, ἀλλ' ὅλον διαφθείρει. Καὶ τῶν μὲν ἄλλων παθῶν ἕκαστον, εἰ καὶ ταράσσει τὴν ψυχήν, ἀλλὰ πρὸς μίαν τὴν ἀντικειμένην αὐτῷ ἀρετὴν πολεμοῦν καὶ ταύτην νικῆσαι φιλονεικοῦν, ἐκ μέρους ἐπισκοπεῖ τὴν ψυχήν, καὶ ταράσσει αὐτὴν τὸ δὲ τῆς ὑπερηφανίας πᾶσαν αὐτὴν ἐπισκοτεῖ, καὶ εἰς πτῶσιν ἄγει ἐσχάτην. Καὶ ἵνα σαφέστερον νοήσωμεν τὸ εἰρημένον, σκοπήσωμεν οὕτως. Ἡ γαστριμαργία τὴν ἐγκράτειαν σπουδάζει διαφθεῖραι, ἡ πορνεία τὴν σωφροσύνην, ἡ φιλαργυρία τὴν ἀκτημοσύνην· ὁ θυμὸς τὴν πραότητα, καὶ τὰ λοιπὰ τῆς κακίας εἴδη τὰς ἐναντίας αὐτῶν ἀρετάς· ἡ δὲ τῆς ὑπερηφανίας κακία, ὅταν κυριεύσῃ τῆς ἀθλίας ψυχῆς, ὥσπερ τις χαλεπώτατος τύραννος μεγάλην πόλιν καὶ ὑψηλὴν παραλαβών, ὅλην αὐτὴν καταστρέφει, καὶ ἕως θεμελίων κατασκάπτει. Καὶ μάρτυς τούτου ὁ ἄγγελος ὁ ἐκ τοῦ οὐρανοῦ πεσὼν διὰ τὴν ὑπερηφανίαν· ὅς, ἐκ τοῦ Θεοῦ κτισθείς, καὶ πάσῃ ἀρετῇ καὶ σοφίᾳ κοσμηθείς, οὐ τῇ τοῦ Δεσπότου χάριτι ἐβουλήθη ταῦτα ἐπιγράφειν, ἀλλὰ τῇ ἰδίᾳ φύσει· ὅθεν καὶ ἴσον ἑαυτὸν ὑπέλαβεν εἶναι Θεοῦ. Καὶ ταύτην αὐτοῦ τὴν ἐνθύμησιν ἐλέγχων ὁ προφήτης φησίν· «Εἶπας ἐν τῇ καρδίᾳ σου· Καθιῶ ἐν ὄρει ὑψηλῷ, θήσω τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ.[2]» Σὺ δὲ ἄνθρωπος, καὶ οὐ Θεός. Καὶ ἄλλος προφήτης, λέγει· «Τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατός;[3]» καὶ μετ' ὀλίγα «Ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. Διὰ τοῦτο ὁ Θεὸςκα θελεῖ σε εἰς τέλος, ἐκτῖλαί σε, καὶ μεταναστεῦσαί σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. Ὄψονται δίκαιοι, καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται, καὶ ἐροῦσιν. Ἰδοὺ ἄνθρωπος ὃς οὐκ ἔθετο

1. Ψαλμ. 52, 6. 2. Ἠσ. 14, 13-14. 3. Ψαλμ. 51, 3.

τὸν Θεὸν βοηθὸν αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.[1]» Ταῦτα τοίνυν γινώσκοντες, φοβηθῶμεν, καὶ πάσῃ φυλακῇ τηρήσωμεν τὴν ἑαυτῶν καρδίαν[2] ἀπὸ τοῦ θανατηφόρου πνεύματος τῆς ὑπερηφανίας, ἐπιλέγοντες ἑαυτοῖς τὸ τοῦ Ἀποστόλου, ὅταν ἀρετήν τινα κατορθώσωμεν· «Οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί·[3]» καὶ ὁ ὑπὸ τοῦ Κυρίου εἰρημένον, ὅτι «Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν·[4]» καὶ τὸ ὑπὸ τοῦ Προφήτου· «Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες·[5]» καὶ πάλιν· «Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ.[6]» Καὶ γὰρ εἰ καὶ τὰ μάλιστα ἔσεταί τις ζέων τῇ προθυμίᾳ, καὶ σπουδαῖος τῇ προαιρέσει, ἀλλὰ σαρκὶ συνδεδεμένος καὶ αἵματι, οὐ δυνήσεται πρὸς τελειότητα φθάσαι, εἰ μὴ πρὸς τούτοις πᾶσιν ἐπὶ τῷ ἐλέει Χριστοῦ ἐλπίζει καὶ τῇ χάριτι αὐτοῦ. Κατὰ γὰρ τὸ θεῖον Ἰάκωβον, «πᾶσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ τοῦ Πατρὸς τῶν φώτων.[7]» Καὶ ὁ Παῦλός φησι· «Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;[8]» ἀλλ' ὡς ἐπ' ἰδίοις τοῖς ἀλλοτρίοις χαρίσμασιν ἐπαιρόμενος. Ὅτι δὲ χάριτι καὶ ἐλέει Θεοῦ ἡ σωτηρία ἡμῖν προσγίνεται, μάρτυς ὁ λῃστὴς ἐκεῖνος, ὃς οὐκ ἀρετῆς ἔπαθλον τὴν βασιλείαν τῶν οὐρανῶν ἐκομίσατο[9], ἀλλὰ χάριτι Θεοῦ καὶ ἐλέει. Ταῦτα καὶ οἱ Πατέρες ἡμῶν ἐπιστάμενοι, πάντες μιᾷ γνώμῃ παραδεδώκασι μὴ ἄλλως δύνασθαι ἡμᾶς θεμέλιον ἀσφαλῆ πρὸς τελείωσιν ἀρετῆς καταβάλλεσθαι, εἰ μὴ διὰ ταπεινώσεως, ἥτις ἀπὸ πίστεως καὶ πραότητος, καὶ τελείας ἀκτημοσύνης προσγίνεσθαι πέφυκε, δι' ὧν ἡ τελεία ἀγάπη κατορθοῦται χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' οὗ Πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

1. Ψαλμ. 51, 6-9. 2. Πρβλ. Παρμ. 4, 23. 3. Α' Κορ. 15, 10. 4. Ἰω. 15, 5. 5. Ψαλμ. 126, 1. 6. Ῥωμ. 9, 16. 7. Ἰακ. 1, 17. 8. Α' Κορ. 4, 7. 9. Πρβλ. Λουκ. 23, 43.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΠΡΟΣ ΤΙΝΑ ΠΟΛΙΤΙΚΟΝ, ΣΥΝΤΑΓΜΑ ΠΑΝΥ ΩΦΕΛΙΜΩΤΑΤΟΝ, ΚΑΙ ΠΟΛΥ ΩΦΕΛΕΣΤΑΤΟΝ.*

Ἐπειδή σοι τῷ περιδεξίῳ καὶ μεγαλεπιβόλῳ τῆς φύσεως μετὰ τῆς τῶν τακτικῶν ἐμπειρίας τε καὶ μαθήσεως, ἔτι δὲ καὶ τῆς τῶν πολιτικῶν πραγμάτων ἀκριβοῦς μεταλήψεως, οὐδὲ τὰ τῶν ἱερέων λόγια ἀμελετήτως παρεώρασαι, ἀλλ' ἔτι τοσοῦτόν σοι καὶ ταῦτα πεφιλοπόνηται, ὥστε τὸ σῶμα πολλάκις σιτίοις τρέφων, οὐδὲ τὴν ψυχὴν ἀποστερεῖς τῆς ἐκ τῶν λόγων σιτίσεως ἀλλ' ὡς ἀνά τινι θείῳ ἅλατι τοῖς τῶν Πατέρων ἀποφθέγμασι, καὶ ταῖς ἐπιτραπεζίοις παραρτύεις ὁμιλίαις, ἰδοὺ καὶ αὐτός, μικρά τινα συνοψίσας τῶν χρησίμων καὶ λυσιτελῶν, καὶ ἀναγινώσκων πάντα μὲν Χριστιανόν, πλέον δὲ τοὺς ὅσοι καὶ βίῳ, καὶ λόγῳ, καὶ εὐγενείᾳ, καὶ ἀξιώματι ὑπερανεστήκασιν ὕψει, οἷόν τι δῶρον αὐτοσχεδιάσας ἀνδρὶ φιλολόγῳ καὶ φιλοθέῳ μάλιστα πρέπον, ὦ φίλων ἄριστε, τὸ παρόν σοι προσενήνοχα σύνταγμα, ἐκ διαφόρων μὲν Πατέρων καὶ ἀκροατικῶν λόγων ἀπανθισθέν, οὐκ ἀκαταφρόνητον δὲ τὴν γνῶσιν τοῖς μετιοῦσιν ἐμποιοῦν· διάγνωσιν γὰρ ὁμοῦ καὶ διαίρεσιν τοῦ τριμεροῦς τῆς ἐν ἡμῖν ἔχει ψυχῆς, καθὼς πάντες κινούμεθα ἄνθρωποι, καὶ πῶς πρὸς σωτηρίαν ἢ ἀπώλειαν συνωθούμεθα. Ὁρίζει δὲ τοὺς λογισμούς, δι' ὧν πᾶσα ἁμαρτία τελεῖται. Διαιρεῖ δὲ καὶ τὰ ἐν ἡμῶν πάθη, τίνα μὲν ψυχικά, τίνα δὲ τοῦ σώματος. Ἐφεξῆς δὲ καὶ τοὺς τρόπους ὑποτίθεται τῆς τοῦ Θεοῦ προνοίας. Εἶτα καὶ περὶ τῆς τοῦ ἀνθρώπου αὐτεξουσιότητος διαλαμβάνει, καὶ τῆς ἡμῶν ἐν τοῖς πράγμασι παραχρήσεως. Συνοψίζει δὲ καὶ τὴν ἐν τῇ ἁγίᾳ καὶ μακαρίᾳ Τριάδι πίστιν. Ἔτι δὲ καὶ ὅπως δεῖ πιστεύειν περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, περὶ διαφορᾶς τε ἀρετῆς, καὶ δακρίσεως τῆς τῶν πραγμάτων διδάσκει φύσεως. Καὶ ὅλως ἐπίτομός τίς ἐστι γνῶσις ἡμῶν τε καὶ αὐτῶν, καὶ τῆς τῶν καθ' ἡμᾶς φύσεώς τε καὶ πίστεως. Ὃ δὴ καὶ περιφέρων εἰς χεῖρας, ἐπιμελέστερόν τε μετιών, καὶ τὴν ἐντεῦθεν καρπούμενος ὄνησιν, οὐκ ἀμνημονήσεις, εὖ οἶδ' ὅτι, τοῦ αὐτοχειρίᾳ καὶ γεγραφότος, καὶ δεδωκότος.

Διάγνωσις τοῦ τριμεροῦς τῆς ψυχῆς.

Ὅτι πᾶσα ψυχὴ λογικὴ τρία μέρη, κέκτηται· λογισμόν, θυμόν,

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ, 1396.

καὶ ἐπιθυμίαν. 'Εάν ἐστιν ἐν τῷ θυμῷ ἀγάπη καὶ φιλανθρωπία, καὶ ἐν τῇ ἐπιθυμίᾳ καθαρότης καὶ σωφροσύνη, ὁ λογισμός ἐστι πεφωτισμένος· ἐὰν δέ ἐστιν ἐν τῷ θυμῷ μισανθρωπία, καὶ ἐν τῇ ἐπιθυμίᾳ ἀκολασία, ὁ λογισμός ἐστιν ἐσκοτισμένος. 'Ο μὲν οὖν λογισμὸς τότε ὑγιαίνει καὶ σωφρονεῖ, ὅταν τὰ πάθη ἔχῃ ὑποτεταγμένα, καὶ τοὺς λόγους τῶν κτισμάτων τοῦ Θεοῦ πνευματικῶς θεωρῇ, καὶ πρὸς τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα διάγῃ. 'Ο δὲ πάλιν τότε κινεῖται κατὰ φύσιν, ὅταν πάντας ἀνθρώπους ἀγαπᾷ, καὶ πρὸς οὐδένα αὐτῶν λύπην, ἢ μνησικακίαν κέκτηται. 'Η δὲ ἐπιθυμία, ὅταν ὑπὸ ἐγκρατείας, καὶ ταπεινοφροσύνης, καὶ ἀκτημοσύνης νεκρώσῃ τὰ πάθη, τουτέστι μὴ ᾖ δούλη σαρκὸς ἐσχημάτισται, καὶ δόξης παρερχομένης ἔφεσιν, καὶ τραπῇ πρὸς τὸν θεῖον καὶ ἀθάνατον ἔρωτα. Καὶ γὰρ ἡ ἐπιθυμία πρὸς τρία τὴν κίνησιν ἔχει, ἢ πρὸς ἡδονὴν σαρκός, ἢ πρὸς δόξαν κενήν, ἢ πρὸς ἀπάτην χρημάτων· καὶ διὰ τὴν παράλογον ταύτην ἔφεσιν καταφρονεῖ τοῦ Θεοῦ, καὶ τῶν θείων, καὶ τῆς οἰκείας εὐγενείας ἐπιλανθάνεται, καὶ πρὸς τὸν πλησίον ἐκθηριοῦται, καὶ τὸν λογισμὸν σκοτίζει, καὶ οὐ συγχωρεῖ ἀναβλέψαι πρὸς τὴν ἀλήθειαν. Ὧν ὁ ἀνώτερον κτησάμενος φρόνημα ἀπ' ἐντεῦθεν ἀπολαύει τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ζῇ μακαρίαν ζωήν, προσδοκῶν τὴν ἀποκειμένην μακαριότητα τοῖς ἀγαπῶσι τὸν Κύριον.

Διαίρεσις καὶ ὑποδιαίρεσις λεπτομερὴς τῆς ψυχῆς.

'Η ψυχὴ διαιρεῖται εἰς τὸ λογιστικόν, τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν. Τοῦ λογιστικοῦ τὰ ἁμαρτήματά εἰσι ταῦτα· ἡ ἀπιστία, ἡ αἵρεσις, ἡ ἀφροσύνη, ἡ ἀδιακρισία, ἡ βλασφημία, αἱ συγκαταθέσεις τῶν ἁμαρτημάτων τῶν ἐκ τοῦ παθητικοῦ μέρους. Ἴασις δὲ τούτων καὶ θεραπεία ἡ ἀδίστακτος πίστις πρὸς τὸν Θεὸν καὶ τὰ ἀληθινὰ δόγματα, ἡ συνεχὴς μελέτη τῶν λογίων τοῦ Πνεύματος, ἡ καθαρὰ προσευχή, καὶ ἡ ἀδιάλειπτος πρὸς Θεὸν εὐχαριστία. Τοῦ θυμικοῦ τὰ ἁμαρτήματα ἡ ἀσπλαγχνία, τὸ μῖσος, τὸ ἀσυμπαθές, τὸ ἀμνησίκακον, ὁ φθόνος, ὁ φόνος, καὶ ἡ συνεχὴς περὶ τὰ τοιαῦτα μελέτη. Ἴασις τούτων καὶ θεραπεία ἡ φιλανθρωπία, ἡ ἀγάπη, ἡ φιλαδελφία, ἡ συμπάθεια, ἡ ἀνεξικακία, ἡ χρηστότης. Τοῦ ἐπιθυμητικοῦ τὰ ἁμαρτήματα ἡ γαστριμαργία, ἡ πορνεία, ἡ ἀκαθαρσία, ἡ ἀσέλγεια, ἡ φιλοχρηματία, ἡ τῆς δόξης ἐπιθυμία. Ἴασις τούτων καὶ θεραπεία, ἡ ἐγκράτεια, ἡ νηστεία, ἡ κακοπάθεια, ἡ ἀκτημοσύνη, ὁ τῶν χρημάτων πρὸς πένητας σκορπισμός, ἡ τῶν ἀθανάτων ἐκείνων ἔφεσις, ἡ τῆς βασιλείας τοῦ Θεοῦ ὄρεξις, καὶ ἡ τῆς υἱοθεσίας ἐπιθυμία.

Διάγνωσις τῶν λογισμῶν, δι' ὧν πᾶσα ἁμαρτία τελεῖται.

'Οκτώ εἰσι πάντες οἱ περιεκτικοὶ λογισμοί. Πρῶτος ὁ τῆς γαστριμαργίας· δεύτερος ὁ τῆς πορνείας· τρίτος ὁ τῆς φιλαργυρίας· τέταρτος ὁ τῆς ὀργῆς· πέμπτος ὁ τῆς λύπης· ἕκτος ὁ τῆς ἀκηδίας· ἕβδομος ὁ τῆς

κενοδοξίας· ὄγδοος ὁ τῆς ὑπερηφανίας. Τούτους πάντας τοὺς λογισμοὺς παρενοχλεῖν μὲν ἡμῖν ἢ μὴ παρενοχλεῖν τῶν οὐκ ἐφ' ἡμῖν ἐστιν· ἐμμένειν δέ, ἢ πάθη κινεῖν, ἢ μὴ κινεῖν, ὁμοίως τῶν ἐφ' ἡμῖν. Ἄλλο δέ ἐστι προσβολή, καὶ ἄλλο συνδυασμός, καὶ ἄλλο πάθος, καὶ ἄλλο πάλη, καὶ ἄλλο συγκατάθεσις, καὶ ἄλλο ἐνέργεια. Καὶ προσβολὴ μὲν ἔστιν ἡ ἁπλῶς γινομένη τοῦ ἐχθροῦ ὑπόμνησις· οἷον, Ποίησον τόδε, ὡς ἐπὶ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· «Εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.[1]» Τοῦτο, ὡς εἴρηται, οὐκ ἐφ' ἡμῖν. Συνδυασμὸς δέ ἐστιν ἡ παραδοχὴ τοῦ ὑποβαλλομένου λογισμοῦ παρὰ τοῦ ἐχθροῦ· οἷον μετ' αὐτοῦ μελέτη καὶ ὁμιλία ὑπὲρ τῇ προαιρέσει ἡμῶν. Πάθος δέ ἐστιν ἡ ἀπὸ τοῦ συνδυασμοῦ ἕξις γινομένη παρὰ τοῦ ἐχθροῦ ὑποβαλλομένου πάθους· καὶ οἷον ἡ συνοχή, μελέτη, καὶ φαντασία. Πάλη δέ ἐστιν ἡ ἀντίστασις, ἢ πρὸς ἀναίρεσιν τοῦ λογισμοῦ τοῦ πάθους, ἢ πρὸς συγκατάθεσιν, καθώς φησιν ὁ Ἀπόστολος. «Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. Ταῦτα δὲ ἀντίκεινται ἀλλήλοις.[2]» Συγκατάθεσις δὲ ἡ κατάνευσις πρὸς τὸ πάθος τοῦ λογισμοῦ. Ἐνέργεια δὲ ἡ αὐτὴ πρᾶξις. Ἀναιρεῖται δὲ ὑπὸ μὲν τῆς ἐγκρατείας ἡ γαστριμαργία, ὑπὸ δὲ τοῦ θείου πόθου καὶ τῆς τῶν μελλόντων ἐφέσεως ἡ πορνεία· ὑπὸ δὲ τῆς συμπαθείας τῆς πρὸς τοὺς πένητας ἡ φιλαργυρία· ὑπὸ δὲ τῆς ἀγαθότητος καὶ τῆς πρὸς πάντας ἀγάπης ἡ ὀργή· ὑπὸ δὲ τῆς πνευματικῆς χαρᾶς ἡ κοσμικὴ λύπη· ὑπὸ δὲ τῆς ὑπομονῆς, καὶ καρτερίας, καὶ τῆς πρὸς Θεὸν εὐχαριστίας, ἡ ἀκηδία· ὑπὸ δὲ τῆς κρυπτῆς τῶν ἀρετῶν ἐργασίας, καὶ τῆς συνεχοῦς προσευχῆς ἡ κενοδοξία· ὑπὸ δὲ τοῦ μὴ κρίνειν τινά, ἢ ἐξουθενεῖν, ὡς ὁ μεγάλαυχος Φαρισαῖος, ἀλλ' ἡγεῖσθαι ἑαυτὸν ἔσχατον πάντων, ἡ ὑπερηφανεία. Τούτων οὖν τῶν εἰρημένων παθῶν ὁ νοῦς ἐλευθερωθείς, καὶ πρὸς Θεὸν ἀνυψωθείς, ἀπεντεῦθεν ζῇ τὴν μακαρίαν ζωήν, τὸν ἀρραβῶνα δεχόμενος τοῦ Πνεύματος· καὶ τῶν ἐντεῦθεν ἀποδημήσας μετὰ ἀπαθείας καὶ γνώσεως ἀληθοῦς, παρίσταται τῷ φωτὶ τῆς ἁγίας καὶ μακαρίας Τριάδος εἰς αἰῶνας ἀπεράντους μετὰ τῶν ἀγγέλων καταλαμπόμενος.

Διάθεσις τῶν παθῶν.

Τῶν παθῶν τὰ μὲν ἔστι σωματικά, τὰ δὲ ψυχικά. Καὶ σωματικὰ μὲν λέγομεν γαστριμαργίαν, πορνείαν, μέθην, ἀσέλγειαν· ψυχικὰ δὲ μῖσος πρὸς τὸν πλησίον, φθόνος, ἔρις, κενοδοξία, ὑπερηφανία. Ταῦτα δὲ ἐνεργοῦσιν εἰς τὴν ἡμετέραν ψυχήν, ἀπούσης ἀγάπης καὶ ἐγκρατείας· παρούσης δὲ ἀνάγκης καὶ ἐγκρατείας, ταῦτα πάντα ἐξαφανίζονται, τὰ μὲν ὑπὸ ἀγάπης πνευματικῆς, τὰ δὲ ὑπὸ νηστείας καὶ ἐγκρατείας. Τότε γὰρ ὁ νοῦς καὶ τὸ οἰκεῖον φῶς ἀπολαμβάνει καὶ τὸν Θεὸν ἀπαρεμποδίστως ὁρᾷ.

1. Ματθ. 4, 3. 2 Γαλ. 5, 17.

Περὶ τῆς τοῦ Θεοῦ προνοίας.

Πάντα ἐκ τοῦ Θεοῦ, καὶ τὰ ἀγαθά, καὶ τὰ λυπηρὰ καὶ τὰ ἀνάξια· ἀλλὰ τὰ μὲν εὐδοκίᾳ, τὰ δὲ οἰκονομίᾳ, τὰ δὲ παραχωρήσει. Καὶ τὰ κατ' εὐδοκίαν, ὅτε κατ' ἀρετὴν πολιτευώμεθα· βούλεται γὰρ ἡμᾶς ὁ Θεός, ἀναμαρτήτους διάγειν, καὶ μετὰ τῆς εὐσεβείας καὶ ἀρετῆς πολιτεύεσθαι. Κατ' οἰκονομίαν δέ, ὅταν σφαλλόμενοι καὶ ἁμαρτάνοντες παιδευώμεθα. Κατὰ παραχώρησιν δέ, ὅταν παιδευόμενοι μὴ ἐπιστρέφωμεν· εὐδόκησε γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον σωθῆναι, καθὼς καὶ οἱ ἄγγελοι ἐβόων λέγοντες· «Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ εἰρήνη ἐπὶ γῆς ἐν ἀνθρώποις εὐδοκίας.[1]» Οἰκονομικῶς δὲ πάλιν παιδεύει ἡμᾶς ἁμαρτάνοντας, «ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν», ὥς φησιν ὁ Ἀπόστολος· «Κρινόμενοι δὲ ὑπὸ τοῦ Κυρίου παιδευόμεθα.[2]» «Οὐκ ἔστι κακία ἐν πόλει, ἣν ὁ Κύριος οὐκ ἐποίησε·[3]» τουτέστι λοιμούς, λιμούς, νόσους, καὶ σφαγὰς πολέμων. Ταῦτα γὰρ πάντα τῆς ἁμαρτίας ἐστὶν ἀναιρετικά· Παραχωρεῖ δὲ καὶ τελείως ἐγκαταλιμπάνει τοὺς μὴ θέλοντας ἢ ἀναμαρτήτως διάγειν, ἢ παιδευομένους μὴ ἐπιστρέφειν, ἀλλ' ἔτι τῇ κακίᾳ ἐμμένειν, καθὼς γέγραπται, ὅτι «Τετύφλωκεν ὁ Θεὸς αὐτῶν τοὺς ὀφθαλμούς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν·[4]» καί· «Παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα·[5]» τουτέστιν, εἴασε διὰ τὸ αὐτεξούσιον· καί· «Σκληρύνων σκληρυνῶ τὴν καρδίαν Φαραώ·[6]» τουτέστι, παραχωρήσω σκληρυνθῆναι διὰ τὴν ἀπάθειαν αὐτοῦ.

Περὶ τῆς αὐτεξουσιότητος ἡμῶν.

Ὁ Θεὸς τὸν ἄνθρωπον αὐτεξούσιον ἔπλασε, λόγῳ καὶ σοφίᾳ τιμηθέντα, πρὸ ὀφθαλμῶν αὐτοῦ θεὶς τὴν ζωὴν καὶ τὸν θάνατον· ἵνα, εἰ μὲν θελήσει τῇ αὐτεξουσιότητι τῆς ζωῆς παραθήσῃ, ζήσῃ εἰς τὸν αἰῶνα· εἰ δὲ ἀπὸ κακῆς προαιρέσεως παραθήσει τὴν ὁδὸν τοῦ θανάτου, αἰωνίως κολάζηται. Τὰ γὰρ τῆς φύσεως ἀμετάβλητα οὔτε τιμωριῶν οὔτε τιμῆς ἄξια. Οὐδεὶς γὰρ ἐνεκλήθη ποτὲ τὸ εἶναι λευκός, ἢ μέλας, ἢ τὸ εἶναι μακρός, ἢ μικρός· οὐ γὰρ τῆς ἡμετέρας εἰσὶ προαιρέσεως. Τῶν γὰρ τῆς προαιρέσεως καὶ αἱ κολάσεις εἰσὶ καὶ αἱ τιμαί. Ἀμφοτέρων οὖν χρεία, καὶ τῆς ἡμετέρας βουλῆς καὶ θελήσεως, καὶ τῆς τοῦ Θεοῦ συνεργείας καὶ ἀντιλήψεως· ἑτέρου γὰρ λείποντος ἀργεῖ καὶ τὸ ἕτερον. Προέγνω γὰρ ὁ Θεός, καὶ προώρισε καὶ ἐκάλεσεν, ἀλλὰ τοὺς κατὰ πρόθεσιν κλητοὺς ὄντας, καθώς φησιν ὁ Ἀπόστολος[7], τουτέστι κατὰ θέλησιν καὶ βούλησιν· τοὺς γὰρ μὴ βουληθέντας εἴασε τῷ αὐτῶν πορεύεσθαι θελήματι. Οὐ γὰρ βιάζεται, οὐδὲ λυμαίνεται τὸ αὐτεξούσιον ἡμῶν· τῆς γὰρ ἐπ' ἄμφω ῥοπῆς, πρὸς ἀρετήν φημι

---

1. Λουκ. 2, 14. 2. Α' Κορ. 11, 32. 3. Ἀμ. 3, 6. 4. Ἰω. 12, 40. 5. Ῥωμ. 1, 28. 6. Ἔξ. 4, 21. 7. Πρβλ. Ῥωμ. 8, 28.

καὶ κακίαν, τὸ αὐτεξούσιον ἐλάβομεν. Οὐδὲν τῶν παρὰ τοῦ Θεοῦ δοθέντων ἡμῖν εἰς χρῆσιν, κακόν· πάντα γὰρ ὅσα ἐκ τοῦ Θεοῦ καλά, καὶ λίαν καλά· ἡ παράχρησις μόνον κακόν· τοῦ γὰρ ἡμετέρου ἐστὶν αὐτεξουσίου. Διὸ οὐ τὰ βρώματα κακόν, ἀλλ' ἡ γαστριμαργία· οὐδὲ παιδοποιία, ἀλλ' ἡ πορνεία· οὐδὲ μετάληψις τοῦ οἴνου, ἀλλ' ἡ μέθη· οὐδὲ τὰ χρήματα, ἀλλ' ἡ φιλαργυρία· οὐδὲ ἡ δόξα, ἀλλὰ ἡ κενοδοξία. Χρὴ οὖν πάντα ποιεῖν, ὥστε τὴν παράχρησιν φεύγειν, καὶ χρήσασθαι τοῖς παρὰ Θεοῦ δοθεῖσι δικαίως· οὕτως γὰρ ποιοῦντες, καὶ τῆς κακίας ἀνώτεροι γενησόμεθα, καὶ τῆς ἀρετῆς ἐντὸς εὑρεθῶμεν.

Συνήθεια σαφὴς καὶ σύντομος, καὶ διάγνωσις τῆς πίστεως ἡμῶν τῆς ἐν τῇ Τριάδι ἁγίᾳ.

Ὀφείλομεν πιστεύειν ὡς ἐβαπτίσθημεν· ἐβαπτίσθημεν δὲ εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· εἰς μίαν οὐσίαν δηλονότι, καὶ θεότητα, καὶ μίαν βασιλείαν, καὶ ἀρχήν, καὶ ἰσχύν· καὶ τρεῖς ὑποστάσεις, εἴτουν πρόσωπα, καὶ χαρακτῆρας, εἰ δὲ βούλει καλεῖν, καὶ ἰδιότητας. Ἄλλο γὰρ ὑποστάσεις, καὶ ἄλλο οὐσία. Οὐσίαν γὰρ καλοῦμεν τὸ κοινὸν τῶν τριῶν ὑποστάσεων· μιᾶς γὰρ φύσεως καὶ οὐσίας τὰ τρία πρόσωπα. Ὑπόστασιν δὲ καλοῦμεν φύσιν μετὰ χαρακτηριστικῶν ἰδιωμάτων· ἄλλος γὰρ ὁ Πατήρ, καὶ ἄλλος ὁ Υἱός, καὶ ἄλλος τὸ Πνεῦμα τὸ ἅγιον· ὅπερ τέμνει τὰς ἰδιότητας μόνον, ἤγουν ὑποστάσεις, οὐ μὴν καὶ φύσιν. Οὐκ ἄλλο δὲ καὶ ἄλλο, ὅπερ τέμνει τὰς φύσεις· ἀλλὰ τῆς αὐτῆς φύσεως, καὶ τῆς αὐτῆς οὐσίας. Ἅμα γὰρ Πατὴρ καὶ Υἱός, καὶ ἅγιον Πνεῦμα· ἀλλ' ὁ μὲν Πατὴρ καὶ ἀγέννητος, ὁ δὲ Υἱὸς καὶ γέννημα τοῦ Πατρός, ὡς ἐξ ἡλίου φῶς, καὶ ἐκ νοῦ λόγος· τὸ δὲ Πνεῦμα ἅγιον καὶ ἐκπόρευμα τοῦ Πατρός. Ἴδιον οὖν τοῦ Πατρός, ἡ ἀγεννησία, καὶ τὸ καλεῖσθαι Πατήρ· ἴδιον τοῦ Υἱοῦ, τὸ καλεῖσθαι Υἱόν, καὶ γεννᾶσθαι ἐκ τοῦ Πατρός· ἴδιον οὖν τοῦ Πνεύματος τὸ καλεῖσθαι Πνεῦμα ἅγιον, καὶ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι. Τῶν δὲ τριῶν προσώπων, εἴτουν ὑποστάσεων, μία φύσις, μία θέλησις, μία ἐνέργεια, μία ἀγαθότης, μία δύναμις, μία βούλησις. Διὰ τοῦτο καὶ ἕνα Θεὸν ὁμολογοῦμεν. Οὐ γὰρ κεχωρισμένοι εἰσὶν ἀπ' ἀλλήλων, ὥσπερ καὶ οἱ ἄνθρωποι, οὐδὲ τὰς γνώμας διάφοροι· ἀλλ' ἅμα Πατήρ, Υἱός, καὶ Πνεῦμα ἅγιον ἐν ἀλλήλοις ἀσυγχύτως καὶ ἀδιαιρέτως περιχωροῦσιν. Ἕκαστον δὲ πρόσωπον, ὡς εἴρηται, φυλάττει τὸ ἴδιον· τὸ μὲν τὴν πατρότητα, τὸ δὲ τὴν υἱότητα, τὸ δὲ τὴν ἐκπόρευσιν. Εἰ οὖν ἔροιτό σέ τις. Τί ἐστι Πατήρ; ἀποκρίθητι αὐτῷ· Ὅπερ ἐστὶν Υἱός, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, μένων Πατήρ· Εἰ δὲ λέγοι· Τί ἐστιν Υἱός; ἀποκρίθητι· Ὅπερ ἐστὶν ὁ Πατὴρ καὶ τὸ Πνεῦμα, μένων Υἱός. Ὡσαύτως καὶ ἐπὶ τοῦ Πνεύματος τοῦ ἁγίου· τοῦτο γάρ ἐστιν ὃ ὁ Πατὴρ καὶ ὁ Υἱός, μένων Πνεῦμα. Ἡ ἰδιότης ἀκοινώνητος, καθὼς φησιν ὁ μέγας ἐν θεολόγοις καὶ θεῖος Γρηγόριος. Πῶς γάρ, φησίν, ἰδιότης μείνη, κινουμένη, καὶ μεταπίπτουσα; Ἔστιν

οὖν ἡ θεότης, εἰ δεῖ συντόμως εἰπεῖν, ἀμέριστος ἐν μεμερισμένοις, τὸ μὲν τῇ φύσει, τὸ δὲ ταῖς ὑποστάσεσιν· οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων, μία τοῦ φωτὸς σύγκρασις. Ὅταν τοιγαροῦν πρὸς τὴν θεότητα τὴν ἐν μιᾷ φύσει βλέψωμεν, καὶ τὴν πρώτην αἰτίαν, καὶ τὴν μοναρχίαν, ἓν ἡμῖν τὸ φανταζόμενον· ὅταν δὲ πρὸς τὰς ἰδιότητας καὶ τὰ πρόσωπα ἐν οἷς ἡ θεότης, τρία τὰ προσκυνούμενα. Παραδείγματα δὲ προσκείσθω ἀμυδράν τινα εἰκόνα δηλοῦντα τοῦ τοσούτου πράγματος, τῆς θείας φημὶ φύσεως, κατὰ τὸν Θεολόγον Γρηγόριον· ὀφθαλμὸν νόει μοι βλέψιν, καὶ ἀρχὴν ὕδατος, καὶ πηγήν, καὶ ποταμόν· ταῦτα γὰρ οὔτε χρόνῳ διέστηκεν, οὔτε ἀλλήλων ἀπέρρηκται τῇ πρὸς ἄλληλα συναφείᾳ, κἂν δοκῇ ταῖς ἰδιότησι τέμνεσθαι· ἐνθυμοῦ καὶ ἥλιον, καὶ φῶς, καὶ ἀκτῖνα· νοῦν, καὶ λόγον, καὶ πνεῦμα τῷ λόγῳ συνεξιόν. Πλὴν κατὰ τὸν εἰπόντα. Πίστις ἡγείσθω, καὶ μὴ ἀπόδειξις, καὶ χρὴ πάντα ἄνθρωπον διὰ καθαρᾶς καὶ θεολαμποῦς πράξεως, ὁδηγῷ τῷ Πνεύματι χρώμενον, ἵνα φωτὶ καταλαμβάνηται φῶς, πιστεύειν τε εἰς Πατέρα, καὶ Υἱόν, καὶ ἅγιον Πνεῦμα, τὴν μίαν θεότητά τε καὶ δύναμιν ἐν τρισὶν γνωριζομένην καὶ προσκυνουμένην ταῖς ὑποστάσεσιν.

Ὅπως δεῖ πιστεύειν περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως.

Ὅτι αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ὁ ἀπερίγραπτος, ὁ ἀσώματος, ὁ μονογενὴς τοῦ Πατρὸς Υἱός, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς, καὶ τῆς ἀθανασίας, «τὸ ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς ὑποστάσεως[1]», τῇ βουλήσει τοῦ προανάρχου καὶ συναϊδίου αὐτοῦ Πατρός, καὶ τῇ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος, ἐκ τῶν παρθενικῶν αἱμάτων τῆς Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, ἐν τῇ οἰκίᾳ αὐτοῦ ὑποστάσει ἔπηξεν ἑαυτῷ σάρκα ἐμψυχωμένην, καὶ λογικήν, καὶ ταύτην τῷ ἐννεαμηνιαίῳ χρόνῳ διεπλασμένην ἐξ αὐτῆς· ἐγεννήθη Θεὸς ἀνθρωπόμορφος, τουτέστι Θεὸς καὶ ἄνθρωπος, ἐν μιᾷ ὑποστάσει δύο φύσεις ἐπιφερόμενος, ἀδιαιρέτως, καὶ ἀσυγχύτως, καὶ δύο θελήσεις, καὶ ἐνεργείας, θεϊκὰς ὁμοῦ καὶ ἀνθρωπικάς· ἤθελε γὰρ ὡς Θεὸς καὶ ἐνήργει, καὶ ἤθελεν ὡς ἄνθρωπος καὶ ἐνήργει· ἀλλὰ φυσικὴν θέλησιν, καὶ ἐνέργειαν, οὐ μὴ ἁμαρτητικήν. Ἀναμαρτήτως γὰρ προσελήφθη ἡ φύσις ἡ ἀνθρωπική· καὶ ἐξ αὐτῆς τῆς ἑνώσεως τῷ θελήματι ἡνώθησαν. Ὅπερ ἐβούλετο τὸ θεῖον θέλημα, τοῦτο καὶ τὸ τῆς προσλήψεως. Ἀλλὰ θέλημα λέγομεν καὶ ἐνέργειαν τὰ φυσικά· οἷον, ἤθελε φαγεῖν, ἤθελε πιεῖν, ἤθελε περιπατῆσαι· καὶ ταῦτα ἐνήργει, καὶ ἤθελεν. Ἀλλὰ ταῦτα ἐποίει τῆς θείας φύσεως παραχωρούσης, οὐ μὴν κατηναγκασμένως, ὥσπερ ἡμεῖς· ἀλλὰ καὶ τὸ κοπιᾶν, καὶ τὸ ἀγωνιᾶν, καὶ τὸ αἰτεῖν τὸν Πατέρα παρελθεῖν τὸ ποτήριον, καὶ τοῦτο τοῦ φυσικοῦ θελήματος. Ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν καὶ τὴν ἐκ δεξιῶν τοῦ

1. Ἑβρ. 1, 3.

Πατρὸς καθέδραν δύο φύσεις ὁμολογοῦμεν ἐπὶ Χριστοῦ, θελητικάς, καὶ ἐνεργητικάς. Ὅπου γὰρ φύσις, λογική, ἐκεῖ καὶ θέλησις καὶ ἐνέργεια. Φυσικὰς δὲ δύο θελήσεις, γνώμην δὲ μίαν· οἰκονομούσης γὰρ τῆς θεότητος, ἑπομένης δὲ τῆς ἀνθρωπότητος, καὶ παραχωρούσης αὐτῇ ἐνεργεῖν τὰ ἀμφότερα.

Περὶ διαφορᾶς ἀρετῶν.

Ἐλάβομεν ἐντολὰς παρὰ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, τὰς ἀπεντεῦθεν θεουργούσας, καὶ ποιούσας ἡμᾶς ἀναμαρτήτους διάγειν, καὶ ὡς ἀγγέλους ἀναστρέφεσθαι μετὰ τῶν ἀνθρώπων· οἷον τὴν μετάνοιαν, τὴν ταπεινοφροσύνην καὶ τὸ διηνεκὲς πένθος, τὴν πρὸς αὐτὸν ἀγάπην τὴν ἐξ ὅλης καρδίας ἐγγινομένην, καὶ τὴν πρὸς τὸν πλησίον διάθεσιν, τὴν καθαρὰν προσευχήν, καὶ τὴν ἑαυτῶν ἀπάρνησιν, καὶ τὸ δι' ὅλου πρὸ ὀφθαλμῶν ἔχειν τὸν ὑπὲρ αὐτοῦ θάνατον, καὶ ἐν τῷ φωτὶ αὐτοῦ ἀδαλείπτως πορεύεσθαι, καὶ τὸ ἔχειν ἑαυτὸν ὑπὸ πάσης κτίσεως, καὶ δέεσθαι αὐτοῦ διηνεκῶς. Ταύτας γὰρ τὰς θείας ἐντολὰς ὁ μετὰ πίστεως ἐργαζόμενος, Θεοῦ υἱὸς γίνεται, καὶ υἱὸς φωτὸς καὶ κληρονόμος Θεοῦ, καὶ συγκληρονόμος Χριστοῦ, καὶ σύμμορφος τῆς εἰκόνος αὐτοῦ καὶ σύμφυτος, καὶ συντόμως καὶ ἁπλῶς εἰπεῖν, θέσει κατὰ χάριν Θεός. Εἰσὶ δὲ ἕτεραι ἐντολαὶ τοῦ Χριστοῦ, αἱ ἄφεσιν μὲν προξενοῦσαι, οὐ μὴν δὲ καὶ τελειότητος ἀξιοῦσαι· οἷον τὸ ὁμολογεῖν καὶ ἐξαγορεύειν τὰ οἰκεῖα ἁμαρτήματα, τὸ μὴ κρίνειν, τὸ μὴ πολυπραγμονεῖν τὰ ἀλλότρια, τὸ ἐλεεῖν ἐκ τῶν ὑπαρχόντων, τὸ φέρειν γενναίως καὶ μετ' εὐχαριστίας τὰ ἐπερχόμενα λυπηρά, τὸ ὁμολογεῖν δωρεὰν καὶ χάριτι σῴζεσθαι. Εἰ μὲν οὖν τὰς πρώτας καὶ θεουργούσας ἐντολάς τις ἐργάζεται, ἀπεντεῦθεν λαμβάνει τὸν ἀρραβῶνα τοῦ ἁγίου Πνεύματος· εἰ δὲ μή, κἂν τὰς δευτέρας μετ' ἐπιμελείας ἐργαζέσθω, ὅπως τύχῃ τῆς τῶν πλημμεληθέντων αὐτῷ συγχωρήσεως. Εἰ δ' ἀμφοτέρων ἐκπέσῃ, ἀχρεῖος οὗτος ἀνήρ, καὶ ἄθλιος, καὶ ταλαίπωρος· καὶ προσδοκάτω τὴν ἀποκειμένην κόλασιν τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

Διάκρισις τῆς τῶν πραγμάτων φύσεως.

Τῶν πραγμάτων τὰ μέν εἰσι κυρίως καλά, τὰ δὲ κυρίως κακά, τὰ δὲ μέσα· καὶ κυρίως μὲν καλά, φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη· κυρίως δὲ κακά, ἀφροσύνη, δειλία, ἀκολασία, ἀδικία· μέσα δέ, πλοῦτος, πενία, δόξα, ἀδοξία, ὑγίεια, νόσος, πολυμαθία, ἀμαθία. Μέσα δὲ λέγονται διὰ τὸ καθ' ἑαυτὰ μήτε κυρίως καλὰ εἶναι, μήτε κυρίως κακά· ἀλλὰ παρὰ τῇ χρήσει τῶν χρωμένων ἢ τοῦτο ἢ ἐκεῖνο γινόμεθα· οἷον ὁ πλοῦτος καλὸς μὲν εἰς ἐλεημοσύνην διδόμενος, κακὸς δὲ πρὸς ἡδονὰς δαπανώμενος. Ὡσαύτως καὶ ἡ πενία καλὴ μὲν καρτερίαν, καὶ εὐχαριστίαν, καὶ ἐλευθερίαν ἡμᾶς διδάσκουσα· κακὴ δὲ βλασφημίαν, καὶ ἀνελευθερίαν ἐκ τοῦ μὴ καρτερεῖν ἡμᾶς ἀποτίκτουσα. Καλὴ δὲ καὶ ἡ δόξα, ὅταν ταπεινοφροσύνη ἡμᾶς ἐκδιδάσκῃ,

καὶ τῆς μελλούσης δόξης ἔφεσιν· κακὴ δέ, ὅταν δουλοπρέπειαν, καὶ διὰ φόβον ἀνθρώπινον πάντα ποιεῖν ἀναπείθῃ. Ὡσαύτως καλὴ μὲν καὶ ὑγίεια, ὅταν εἰς εὐαρέστησιν τοῦ Θεοῦ καὶ ἐργασίαν τῶν αὐτοῦ ἐντολῶν χρώμεθα· κακὴ δέ, ὅταν πρὸς ἀκολασίαν καὶ ἀδικίαν. Ὁμοίως καὶ ἡ νόσος, ὅταν εὐχαριστῶμεν καὶ συνεργῷ ταύτῃ χρώμεθα, καλή· κακὴ δέ, ὅταν πρὸς ἀχαριστίαν, καὶ βλασφημίαν καὶ ὀργὴν ἡμᾶς συνελαύνῃ. Καλὴ καὶ ἡ πολυμαθία, ὅταν πρὸς διδασκαλίαν καὶ βοήθειαν τοῖς ἀδικουμένοις ταύτῃ χρώμεθα· κακὴ δέ, ὅταν πρὸς κενοδοξίαν, καὶ συνηγορίαν τῆς ἀδικίας. Καλὴ καὶ ἀμαθία, ὅταν παρασκευάζῃ ἡμᾶς ὑποτάσσεσθαι τοῖς εἰδόσι, καὶ παρ' αὐτῶν πορίζεσθαι τὴν ὠφέλειαν· κακὴ δέ, ὅταν πείθῃ ἡμᾶς τῇ οἰκείᾳ στοιχεῖν ἀμαθίᾳ, καὶ μὴ τοῖς κρείττοσιν ἕπεσθαι. Ὡσαύτως καὶ τὰ λοιπὰ πάντα, οἷον εὐγένεια καὶ δυσγένεια, εὐμορφία καὶ ἀμορφία, καλλιφωνία καὶ κακοφωνία, ἰσχὺς καὶ ἀδυναμία, ταχύτης καὶ βραδύτης, τέχνη καὶ ἀτεχνία, καὶ πρὸς διακονίας ἐπιτηδειότης καὶ ἀνεπιτηδειότης. Ταῦτα πάντα, ὡς εἴρηται, τῶν μέσων εἰσί· καὶ ὁ καλῶς τούτοις χρώμενος οὐδὲν παρὰ τούτων βλαβήσεται, ὡς ὁ μακάριος Ἰώβ. Εἰς ἀμφότερα γὰρ ἐξετασθείς, εὐδόκιμος ἀνεφάνη καὶ ἀκαταγώνιστος, καὶ διὰ πάντα εὐηρέστησε τῷ Θεῷ. Ὥστε οὐ δεῖ τὰ πράγματα αἰτιᾶσθαι· οὐδὲν γὰρ τῶν παρὰ Θεοῦ δοθέντων κακόν, ἀλλὰ παρὰ τὴν ἐσφαλμένην ἡμῶν καὶ ἐθελόδουλον προαίρεσιν, καὶ τὴν ἐθελοβλέπουσαν περὶ ταῦτα τῆς ψυχῆς ἡμῶν διάκρισιν, ἥτις αὐτεξουσίως πρὸς τὴν παράχρησιν τούτων ἐξολισθαίνει ἐξ οἰκείας φιληδονίας, καὶ τῆς τοῦ Θεοῦ καὶ τῆς αὐτοῦ βασιλείας καταφρονῶν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

ΔΙΔΑΣΚΑΛΙΑ ΠΡΟΣ ΜΟΝΑΧΟΥΣ ΠΡΑΟΤΕΡΑ, ΠΝΕΥΜΑΤΙΚΗ.*

Τὸν πιστεύοντα τῷ Κυρίῳ, καὶ προσιόντα ἑαυτῷ, καὶ ἐπὶ τέλειον εἰς μαθητείαν, μανθάνειν δεῖ πρότερον ἀφίστασθαι παντὸς ἁμαρτήματος· ἔπειτα δὲ καὶ ἀφέλκοντας τοῖς ὀφειλομένοις κατὰ πολλοὺς λόγους εὐπαθεῖν τῷ Κυρίῳ ἡμῶν, κἂν ἀλογοφάνειρος εἶναι δοκῶ σοι. Ἀδύνατον γὰρ τὸν ἁμαρτίαν ποιοῦντα, ἢ ἐμπλεκόμενον ταῖς τοῦ βίου πραγματείαις ἢ φροντίσι, δοῦναι αὐτὸν τῇ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων δουλούσει, οὐχ ὅτι μαθητευθῆναι τῷ Κυρίῳ· οὐ πρότερον εἰπόντι τῷ νεανίσκῳ, «Δεῦρο ἀκολούθει μοι [1]», ἕως ἂν ἐντείλασθαι πωλῆσαι τὰ ὑπάρχοντα καὶ δοῦναι πτωχῷ· ἀλλὰ οὐδὲ τὸ τοῦτο προσέταξε, πρὶν ὁμολογῆσαι αὐτόν, ὅτι «Πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου.[2]» Ὁ γὰρ μήποτε λαβὼν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ καταλυθεὶς ἀπὸ τούτων ἐν τῷ αἵματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δουλεύων δὲ τῷ διαβόλῳ καὶ κρατούμενος ὑπὸ τῆς ἐν αὐτῷ ἁμαρτίας, ἀδυνάτως ἔχει δουλεῦσαι τῷ Κυρίῳ τῷ ἀπαράβατον ἀπόφασιν δεδωκότι τὸ εἰπεῖν· «Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα.[3]» Μαρτυρεῖ καὶ ὁ ἐν Χριστῷ λαλῶν Παῦλος, ὅτι «ὁ δοῦλος τῆς ἁμαρτίας, ἐλεύθερός ἐστιν ἀπὸ τῆς δικαιοσύνης.[4]» Καὶ πάλιν ὁ Κύριος· «Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν [5]», καὶ τὰ ἑξῆς· δι' ὧν ἐδίδαξε, καὶ ἔδειξεν ὁριστίζων, καὶ εἰπών, ὅτι οὔτε οἱ περὶ τὴν ὄντως ἀναγκαίαν τοῦ ζῆν μέριμναν ἐνεχόμενοι, δουλεύειν δύνανται, οὐχὶ τόδε μαθητεύειν, ὅ τι ἔμαθεν Ἀπόστολος πλατύτερον θεωρήσας· εἶπε γάρ· «Τίς μετοχὴ δικαιοσύνης καὶ ἀνομίας, καὶ τίς κοινωνία φωτὶ πρὸς σκότος, τίς δὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου, τίς δὲ συγκατάθεσις ναῷ μετὰ εἰδώλου; [6]» Καὶ πάλιν ὁριστίζει· «Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός, ταῦτα δὲ ἀντείκεινται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε ταῦτα ποιῆτε.[7]» Ῥυσθῆναι δεῖ πρότερον τοῦ καταδυνάστου τοῦ διαβόλου ἐνάγοντος ἐπὶ τὴν ἁμαρτίαν τὸν ὑπ' αὐτῆς κρατούμενον. Ἔφαμεν βούλεσθαι δὲ ἄρα καὶ πότε ἀπαρνησάμενον πάντα τὰ παρόντα καὶ ἑαυτόν,

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 1421.

1. Μάρκ. 10, 21. 2. Λουκ. 18, 21. 3. Ἰω. 8, 34-35. 4. Ῥωμ. 6, 20. 5. Ματθ. 6, 24. 6. Β' Κορ. 6, 14-16. 7. Γαλ. 5, 17.

τῆς δὲ προσπαθείας τοῦ ζῆν ἀναχωρήσαντα μαθητευθῆναι τῷ Κυρίῳ, καθὸ αὐτὸς εἴρηκεν· «Εἴ τις ἐλεύσεται πρός μέ, ἀπαρνησάσθω αὐτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι [1]», ὅπερ ἐστὶ μαθητής μου ἐνταῦθα. Οὐ μόνον δὲ τῶν ὑπαρχόντων, καὶ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων καταφρονεῖν προστασσόμεθα, ἀλλὰ καὶ τῶν πρὸς ἀλλήλους νενομισμένων καὶ κατὰ φύσιν καὶ νόμον δι' ἰδίων καθηκόντων ὑπερφρονεῖν παιδευόμεθα, τοῦ Κυρίου λέγοντος· «Ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος.[2]» Ὁμοίως καὶ τὸ λοιπὸν ἐγγυτάτω οἰκεῖ, δῆλον δὲ ὅτι πολὺ πορρωτέρω καὶ ξένων τῆς πίστεως. Διὸ παρακαλῶν μεγάλως ἀοργετουμένοις ἐν καρτερίᾳ τοὺς τῆς ἀσκήσεως πόνους, ἐν μηδενὶ δεδιότας τὰς καθ' ἡμῶν τοῦ ἐχθροῦ μεθόδους. Παράγει τοῦτο σχῆμα τοῦ κόσμου τούτου. Καὶ ταῦτα ἡ ἀπάτη καὶ θλίψις τοῦ βίου τούτου πρόσκαιρός ἐστι καὶ ὀλιγχρόνιος, ἡ δὲ τῷ Θεῷ δουλεύειν, ζωὴ αἰώνιος, ἀίδιος καὶ ἀθάνατος, ὅπου ἀναμένομεν οἱ τῷ Χριστῷ δουλεύοντες· δι' ἣν καὶ ἀπεταξάμεθα τῷ κόσμῳ, καὶ πάσαις ταῖς ἐπιθυμίαις αὐτοῦ. Καὶ οὐκ ὀφείλομεν μνημονεύειν ἐκεῖνα, ἅπερ διὰ τὴν ἐντολὴν ταύτην κατελείψαμεν, ἵνα μὴ πάλιν τὰ πρόσκαιρα ποθήσαντες, τὴν αἰώνιον ζωὴν ἀποβαλώμεθα. Ἀψευδὴς γὰρ ὁ εἰπὼν ὅτι «πᾶς ὃς ἀφῆκεν οἰκίαν», καὶ τὰ λοιπά, «ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει.[3]» Οὐ γάρ, ὥς τινες ταῦτα ἑρμηνεύειν δοκοῦσιν, ὅτι περὶ τῶν ἐν τῷ καιρῷ τῶν διωγμῶν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ μαρτυρησάντων εἶπεν ὁ Κύριος, Οὐ γὰρ ἔφη, ὅτι, Μόνον οἱ ἐν τῷ καιρῷ τῶν διωγμῶν ὑπὲρ τοῦ ὀνόματός μου τὰ ἑαυτῶν σώματα παραδώσοντες, ζωὴν αἰώνιον κληρονομήσονται· ἀλλὰ πάντες οἱ διὰ τὸ ὄνομά μου καὶ κόσμῳ, καὶ πάσαις ταῖς ἐπιθυμίαις αὐτοῦ ἀποταξώμεθα, καὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ ἀποταξώμεθα, ζωὴν αἰώνιον, μετὰ πάντων δηλαδὴ τῶν ὑπὲρ τοῦ ὀνόματος μου μαρτυρησάντων, κληρονομήσουσι. Πάντας τοὺς πτωχοὺς τῷ πνεύματι, καὶ τοὺς καθαροὺς τῇ καρδίᾳ, καὶ τοὺς πραεῖς καὶ τοὺς φοβουμένους τὸ ὄνομα αὐτοῦ μακαρίζεσθαι Σωτὴρ ἔλεγεν, «Ὅτι ὑμῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.[4]» Οἱ μὲν γὰρ μάρτυρες πολλάκις, καὶ ἐπὶ μιᾷ καιροῦ ῥοπῇ ἀγωνισάμενοι ἐτελειώθησαν· ἡ δὲ τῶν μοναχῶν πολιτεία ἄθλοις καθ' ἑκάστην δι' αὐτὸν μαρτυρεῖ, οὐκ ἀπὸ αἵματος, καὶ σαρκὸς παρατασσόμεθα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς ἐξουσίας πρωτοκοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἕως ἐσχάτης ἀναπνοῆς τὴν πάλην ἔχουσα, καὶ ἀθλεῖ, καὶ εἰσφανοῦται τῇ πανοπλίᾳ...

...τοῦ Θεοῦ περιφραττομένη, καὶ πάντα ἰσχύει διὰ τὸν ἐνδυναμοῦντα, καὶ ἐλεοῦντα Χριστόν. Ἡμῖν γὰρ ἐν παραβολῇ τὸν ἑαυτοῦ πλοῦτον θέλων χαρίσασθαι ὁ Κύριος ἔλεγεν· «Ὁμοία ἐστὶν ἡ βασιλεία

---

1. Ματθ. 16, 24. 2. Ματθ. 10, 37. 3. Ματθ. 19, 29. 4. Λουκ. 6, 20.

τῶν οὐρανῶν ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας[1]», καὶ τὰ ἑξῆς. Ταύτην τὴν ἐντολὴν βεβαιῶν οὕτως εὐαγγελιστὴς ἔφη· «Μὴ ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν κόσμῳ.[2] Ὁ γὰρ τὸν κόσμον ἀγαπῶν οὐκ ἀγαπᾷ τὸν ἀγαπήσαντα αὐτὸν Κύριον.» Ὁ δὲ τοῦτον τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ σκάνδαλα μισήσας, καὶ τὸ θέλημα τοῦ Θεοῦ ἀγαπήσας ἐμμένει εἰς τὸν αἰῶνα. Χωρίσαι γὰρ βουλόμενος ἡμᾶς ὁ Δεσπότης τῆς ἐν κόσμῳ διατριβῆς ἔλεγεν· «Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ᾿ ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.[3]» Ὁ δὲ ᾿Απόστολός φησι· «Στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις.[4]» Καὶ πάλιν ὁ Κύριος· «Ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστραφῇ εἰς τὰ ὀπίσω[5]», τουτέστι μὴ πάλιν μνημονεύειν ἢ ποθεῖν ἑορκεῖν [εὑρεῖν] ἀναστροφήν, ἣν διὰ τὸν Θεὸν καὶ τὴν ἐντολὴν αὐτοῦ μισήσας, κατέλιπε. Μὴ οὖν φοβεῖσθε τοὺς ἐκ τοῦ διαβόλου ἡμῖν ἐπαγομένους πειρασμούς, κἂν ποικίλοι ὦσι, γέγραπται γάρ· «Υἱέ μου, εἰ προσέχῃς δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμούς.[6]» Καὶ περὶ τῆς καρδίας τῆς ὑπομονῆς τὴν τοῦ Θεοῦ βοήθειαν ἀναμένων· μείζων γάρ ἐστι τοῦ πολεμοῦντός σε διαβόλου, καθὼς πολλάκις λέγεται· Μείζων ἐστὶν ὁ ἐν ἡμῖν, ἢ ὁ ἐν τῷ κόσμῳ· καὶ ὁ Ψαλμῳδός· «Οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετὰ ἐμοῦ εἶ.[7]» Καί· «Κύριος φωτισμός μου, καὶ Σωτήρ μου, τίνα φοβηθήσομαι;[8]» Καί, «᾿Εὰν παρατάξηται ἐπ᾿ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου.[9]» Καί, «Κύριος ἐμοὶ βοηθός[10]», «κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.[11]» Μὴ δεῖ τοίνυν τὸν δουλεύοντα τῷ Κυρίῳ ἀπιστεῖν, ὡς οὐχ ὑπερασπίζεται τοῦτον ὁ Κύριος πάντοτε· αὐτὸς γὰρ εἴρηκεν· «Οὐ μή σε ἀνῶ οὐδὲ μή σε ἐγκαταλίπω·[12]» Καὶ γοῦν αὐτὸν ἔθου καταφυγήν σου, «οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγίσει τῷ σκηνώματί σου·[13]» καὶ τὰ ἑξῆς· Διὸ παρακαλῶ ὑμᾶς, ὦ ἀδελφοί, μὴ ἐνδῶμεν ὅλως τῷ πονηρῷ, μηδὲ θανατώσωμεν ἑαυτούς, διὰ οἱασδηποτοῦν ἡδονῆς, ἀλλὰ μεμνημένοι τὰ ἀποκείμενα ἡμῖν ἐν οὐρανοῖς ἀγαθά, πάντων τούτων ὑπερίδωμεν. Μὴ οὖν φανῶμεν τῶν πρὸ ἡμῶν αὐχήσαντες παίγνιον. Ἕκαστον γὰρ ἐν τῇ κλήσει, ᾗ ἐκλήθη μένειν ἐν Χριστῷ παραγγέλλει ὁ ᾿Απόστολος, ἵνα τὸν τῆς ὑπομονῆς στέφανον παρὰ τοῦ μισθαποδότου Χριστοῦ ἀπολάβωμεν, ὃν ἐπηγγείλατο τῷ ἀγαπῶντι αὐτόν. Γέγραπται γάρ· «Τὴν ἐπιθυμίαν σου διὰ τῆς ὑπομονῆς νίκησον, καὶ ἔσῃ τέλειος ἐν Χριστῷ·» καί· «Τῷ νικῶντι δώσω φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς τοῦ ἐν μέσῳ τοῦ παραδείσου.[14]» Λέγει Κύριος καὶ πάλιν· Ὅστις διὰ τοῦ ξύλου τοῦ σταυροῦ πάντα τὰ τῆς σαρκὸς νικήσει πάθη, τούτῳ δώσω στολὴν λευκήν. Εἰ γὰρ

---

1. Ματθ. 13, 45. 2. Α' ᾿Ιω. 2, 15. 3. Λουκ. 9, 62. 4. Β' Τιμ. 2,4. 5. Μάρκ. 13, 16. 6. Σοφ. Σειρ. 2, 1. 7. Ψαλμ. 22, 4. 8. Ψαλμ. 26, 1. 9. Ψαλμ. 26, 3. 10. Ψαλμ. 117, 6. 11. Ψαλμ. 117, 7. 12. ῾Εβρ. 13, 5. 13. Ψαλμ. 90, 10. 14. ᾿Αποκ. 2, 7.

φοβοῦμεν τὸν Κύριον, τὰ ἀνεκδιήγητα ἀγαθά, καὶ οἱ τῆς δόξης στέφανοι ἡτοιμάσθησαν. Οὐ γὰρ ἐπιτάγματι τῶν ἁγίων ὁ πρὸς τὰς μεθοδείας τοῦ ἐχθροῦ πόλεμος, καὶ ἡ κατ' αὐτοῦ νίκη, διὰ τῆς τοῦ Κυρίου βοηθείας δέδοται, ἀλλὰ τρισὶν ὡς ἐν τῇ τοῦ σπέρματος παραβολῇ, αὐτὸς Κύριος ἔφη· Ἐδίδου γάρ, φησίν, ὁ μὲν τριάκοντα ὁ δὲ ἑξήκοντα ὁ δὲ ἑκατόν. Τούτων δὲ τῶν ταγμάτων τὰς ὑποθέσεις, εἰ τὰς Γραφὰς ἐρευνήσεις, πολύτροπον ἂν εὑρήσεις· μάρτυρες μὲν οὖν εἰσιν, ὡς ὁ ἐμὸς λόγος, οἳ τὸν ἑκατὸν ποιοῦνται καρπόν, παρθένοι αἳ τὸν ἑξήκοντα· καὶ οἱ λοιποὶ οἳ κατὰ τὰς ἐντολὰς τοῦ Κυρίου, σπουδάζοντες ἀμέμπτους ἐν πάσῃ ἀναστροφῇ ἑαυτοὺς φυλάσσειν, τῷ Κυρίῳ ἀρεσκούσῃ, τριάκοντα. Τῶν σῶν μαθητῶν γένοιτο ἡμᾶς ἐνταγῆναι, Χριστὲ Ἰησοῦ, καὶ τῶν ἁγίων σου ἀγαθῶν ἀπολαύειν, νῦν καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

ΕΞΗΓΗΤΙΚΟΝ ΠΕΡΙ ΤΟΥ ΕΝ ΑΘΗΝΑΙΣ ΝΑΟΥ.

*Περὶ τοῦ ναοῦ, καὶ περὶ τῶν διδασκαλείων, καὶ τῶν θεάτρων τῶν ἐν Ἀθήναις.**

Τοὺς τὰς θείας Γραφὰς μὴ ἐπισταμένους, ἐξ αὐτῆς λοιπὸν τῆς τῶν πραγμάτων φύσεως, πεῖσαι ὀφείλομεν περὶ θεογνωσίας λέγειν. Ὁρῶμεν γάρ τινας οὐσίας ἐν τῇ κτίσει οὐ κατὰ φύσιν, ἀλλὰ ὑπὲρ φύσιν μετ' ἀλλήλων ὑπηρετούσας· οἷόν τι λέγω, φύσις ἡ τῶν ὑδάτων, οὐσία ῥευστὴ καὶ κατωφερὴς ὑπάρχει, πῶς ὁρῶμεν τοὺς λεγομένους σίφωνας ἐκ τῆς θαλάσσης ὕδωρ πρὸς τὰς νεφέλας ἀνάγοντας· τὸ δὲ θαυμαστὸν ῥητὸν τὸ ἁλμυρὸν ἀνερχόμενον, γλυκὺ ἐπὶ γῆς διὰ τὸν ὄμβρον κατέρχεται; Πῶς δὲ πάλιν ἡ τῶν σωμάτων φύσις βολιστικὴ κατὰ φύσιν ὑπάρχουσα, ὁρᾶται ἀβόλιστος, καὶ ἄδυτος ἐν τοῖς ὕδασι τῆς Μαρμαρικῆς Πενταπόλεως; οὐ μόνον δέ, ἀλλὰ γὰρ καὶ ὕδατος καὶ πυρὸς ἐναντία ἡ φύσις ὑπάρχουσα, ἐν τῷ ἅμα ἦν, ὅτε ἐν Λυκίᾳ τῷ ὄρει τῷ λεγομένῳ Ὀλύμπῳ, καθὼς μυριάδες ἀνδρῶν ἑωράκασι, καὶ μέχρι τοῦ νῦν ἐκείνων βλέπουσι· καὶ ἄλλα παράδοξα ἐν τῇ κτίσει θεωρούμενα, καὶ θαυμαζόμενα, ἅτινα οὐκ ἂν οὕτως ὑπὲρ φύσιν γενέσθαι ἔμελλον, εἰ μὴ οὐσία τις Θεοῦ ἦν τούτων δεσπόζουσα, καὶ τούτοις ἐπιτρέπουσα, ἀλλήλοις μὴ ἀντιτάττεσθαι. Ὦ Ἑλλήνων παῖδες! βροντῆς στερρᾶς γινομένης, πῶς ἅπασα ἡ τῶν ἀνθρώπων φύσις τρέμει, φρίττει τε καὶ ἐξίσταται, μηνύουσα διὰ τοῦ σχήματος, ὅτι ὑπὸ δεσπότου ἐστί, τοῦ τὰς βροντὰς ἐργαζομένου. Καὶ ταῦτα μὲν πρὸς τοὺς ἀφελεστέρους τῶν Ἑλλήνων, ἤγουν ἀγραμμάτους, εἰς θεογνωσίαν φέροντα ὑποδείγματα. Πρὸς δὲ τοὺς παρ' αὐτοῖς σοφούς, ἐκ φιλοσόφων ἀρχαίων δυνατῶν, μαρτυρίας πολλὰς περὶ θεοσεβείας τινὲς Ἑλλήνων σοφοὶ ἔφασαν, ἀλλὰ καὶ τὴν τοῦ Χριστοῦ οἰκονομίαν ἀμυδρῶς προεμήνυσαν. Καὶ γὰρ πρὸ πολλῶν χρόνων τῆς Χριστοῦ ἐπιδημίας, σοφός τις ὀνόματι Ἀπόλλων, θεόθεν, ὡς οἶμαι, ἐπικινηθείς, ἔκτισε τὸν ἐν Ἀθήναις ναόν, γράψας ἐν αὐτῷ βωμῷ, Ἀγνώστῳ Θεῷ Ἐν αὐτῷ τοίνυν συνήχθησαν οἱ πρῶτοι τῶν Ἑλλήνων φιλόσοφοι, ἵνα περὶ τοῦ ναοῦ ἐρωτήσωσιν αὐτόν, καὶ περὶ προφητείας, καὶ θεοσεβείας, ὧν τὰ ὀνόματα ἐροῦμεν ταῦτα. Πρῶτος Τίτων, δεύτερος Βίας, τρίτος Σόλων, τέταρτος Χείλων, πέμπτος Θουκήδης, ἕκτος Μένανδρος

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 1428.

ἕβδομος Πλάτων. Οὗτοι οἱ ἑπτὰ φιλόσοφοι ἔφησαν τῷ Ἀπόλλωνι· Προφήτευσον ἡμῖν, προφῆτα, ὦ Ἄπολλον, τίς ἐστιν ὅδε, εἶπον, τίνος ἔτι ὁ μετὰ σὲ βωμὸς οὗτος; Πρὸς οὓς ὁ Ἀπόλλων ἔφη, Ὅσα μὲν πρὸς ἀρετήν, καὶ κόσμον ὀρρωδεῖτε ποιεῖν, ποιεῖτε. Ἐγὼ γὰρ ἐφετμεύω τρισένη ὑψιμέδοντα, οὗ λόγος ἄφθεγκτος ἐν ἀδείῳ [ἀδέτῳ] κόρη ἔγκυμος ἔσται, ὥσπερ πυροφόρον τόξον ἅπαντα κόσμον ζωγρήσας. Πατρί, προσάξει δῶρον. Μαρία δὲ τὸ ὄνομα αὐτῆς· ἔστι δὲ ἡ λύσις προφητείας οὕτως... περὶ μὲν τοῦ ναοῦ ἐστιν ὁ πρῶτος λόγος. Ὅσα, φησί, πρὸς κόσμον τοῦ ναοῦ, καὶ κάλλος δυνατὸν ὑμῖν ποιῆσαι, τὰ ἀρέσκοντα τῷ Θεῷ καὶ ἀνθρώποις. Ἐγὼ γὰρ ὑπολαμβάνω εἶναι ἐν τῷ οὐρανῷ τρισυπόστατον μέγαν ὕψιστον βασιλέα. Τούτου ἄναρχος Θεός, καὶ Λόγος ἐν ἀγάμῳ κόρῃ σαρκοῦται, καὶ ὥσπερ πυροφόρον τόξον, ἢ ὡς δυναμώτερον ἅπαντα κόσμον φανήσεται, ἁλιεύων τοὺς ἀνθρώπους, ὥσπερ ἰχθύα ἐκ τοῦ βυθοῦ τῆς ἀπιστίας, καὶ ἀγνωσίας, οὕστινας προσάξει τῷ ἑαυτοῦ Πατρὶ δῶρον. Μαρία δὲ τὸ ὄνομα αὐτῆς. Καὶ τοῦτο μὲν προφητεύων ὁ Ἀπόλλων εἶπε. Τίτων ἔφη· Ἧξα ἡ ἀνίσχουσα ἡμῖν μέλλων τὸν οὐράνιον τοῦ Θεοῦ καὶ Πατρὸς παῖδα ἡ ἄνανδρος κόρη, κύει. Βίας εἶπεν· Οὗτός ἐστιν ἀπὸ οὐρανῶν βεβηκώς, φλογὸς ὑποβαλὼν ἀθάνατον πῦρ· ὃν τρέμει οὐρανός, γῆ τε, θάλασσα, τάρταροι, καὶ βύθιοι δαίμονες, αὐτοπάτωρ τρισόλβιος Σόλων εἶπεν· Ὀψέ ποτε ἐπὶ τὴν σχεδὴν ταύτην ἐλάσει Θεὸς γαῖα, καὶ δίχα σφάλματος σὰρξ γενήσεται ἀκαμάτου θεότητος, ἀνιάτων παθῶν λύσεις φοροῦσα, καὶ τούτου μικρὸν γενήσεται φθόνου λαοῦ, καὶ πρὸς ὕψος κρεμασθείς, ὡς θανάτου κατάδικος, εἰς πάντα πρᾶος πεσεῖται. Χείλων εἶπεν· Ἀκάματος φύσις Θεοῦ γενήσεται, ἐξ αὐτοῦ δὲ ὁ αὐτὸς οὐσία, καὶ Λόγος. Θουκήδης εἶπε· Θεὸν σέβου καὶ μάνθανε· μὴ ζήτει δὲ τίς ἐστι, καὶ πῶς; Οὐ γάρ ἐστιν ὅτε οὐκ ἔστιν, ὡς ὄντα τοῦτον σέβου καὶ μάνθανε· ἀσεβὴς γὰρ τὸν νοῦν ὁ θέλων μανθάνειν θεόν. Μένανδρος εἶπεν· Ὁ παλαιὸς νέος, καὶ ὁ νέος ἀρχαῖος· ὁ Πατὴρ μόνος, καὶ ὁ μόνος Πατήρ· τὸ ἓν τρία, καὶ τὰ τρία ἕν· ἄσαρκον σαρκικόν. Γῆ τέτοκε τὸν οὐράνιον βασιλέα. Πλάτων εἶπεν· Ἐπειδὴ ὁ Θεὸς ἀγαθός, οὐ πάντων εἶναι αἴτιος, ὡς οἱ πολλοὶ λέγουσι. Πολλῶν δὲ ἀναίτιος· καὶ τῶν μὲν ἀγαθῶν οὐδὲν ἄλλο φαμὲν αἴτιον εἶναι μόνον τῶν καλῶν, κακῶν δὲ οὐκέτι. Αὖ πάλιν ἔφησαν οὗτοι οἱ ἑπτὰ καὶ εἶπον· Εἰ μὲν περὶ τῆς τοῦ Χριστοῦ οἰκονομίας, καὶ περὶ τῆς ἁγίας Τριάδος. Ἄλλος δέ τις τῶν Ἑλλήνων σοφὸς μεθ' ἑτέρων τινῶν, Ἀσκληπιὸς λεγόμενος, αἰτησάντων ἑρμηνείαν τῶν πάντων φιλοσόφων φιλοσοφώτερον δοῦναι αὐταῖς λόγον περὶ Θεοῦ φύσεως· ὁ δὲ Ἑρμῆς λαβὼν σιφέριον ἔγραψεν οὕτως· Εἰ μὴ πρόνοιά τις τοῦ τῶν πάντων Κυρίου, οὐ μὴν τὸν λόγον τοῦτον ἀποκαλύψαι ἠβούλοντο· οὐδὲ ἡμᾶς τοιούτοις ἔργοις κατεῖχεν, ἵνα περὶ τούτων ἐρωτήσηται. Οὐ γὰρ ἐφικτόν ἐστιν εἰς ἀμυήτους τοιαῦτα παρασχέσθαι μυστήρια· ἀλλὰ τῷ νοΐ ἀκουσάντων ἀκούσατε. Ἓν μόνον ἦν· φῶς νοερὸν πρὸ φωτὸς νοεροῦ, καὶ ἦν

αὐτὰ ἕνωσις ἐκ τοῦ νοῦ φωτί, καὶ πνεύματι. Τὰ πάντα ἐξ αὐτοῦ, καὶ εἰς αὐτόν, εἰς γόνιμον ἐκ γονίμου, κατελθὼν ἐπὶ γονίμῳ ὕδατι ἔγκυον τὸ ὕδωρ ἐποίησεν. Οἶδας πῶς οἱ τῶν Ἑλλήνων παῖδες προεφήτευσαν, καὶ τὸν προάναρχον Θεόν, καὶ τὸν συνάναρχον αὐτοῦ Υἱόν, καὶ Λόγον, καὶ τὸ σύνθρονον αὐτοῦ καὶ ὁμοούσιον Πνεῦμα προεκήρυξαν καὶ τὰ τίμια τοῦ σταυροῦ πάθη προεκήρυξαν· αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ Πατρί, καὶ τῷ παναγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΠΕΡΙ ΣΩΜΑΤΟΣ ΚΑΙ ΨΥΧΗΣ.*

Σῶμα τῷ ἔχοντι τὴν σύνθεσιν ἐκ τῶν στοιχείων δέχεται, καὶ διάλυσιν, καὶ ἀφανίζεται, Διὰ τοῦτο τὰ σώματα, καὶ ἀνθρώπων καὶ ζῴων, εὔφθαρτά τε καὶ εὔθνητα τυγχάνουσιν, ἐκ τεσσάρων στοιχείων συνιστάμενα, λέγω δή, γῆς, ἡλίου, ὕδατος, καὶ ἀέρος, καὶ αὐτὰ οὐκ ἀγήρατα, οὐκ ἀμάραντα ὡς τὰ σώματα μένει, ἀλλὰ θνήσκει καθὰ καὶ τὰ σώματα, ποιηθέντων πάντων σωμάτων ἐκ γῆς. Τὰ δὲ ἁπλᾶ καὶ ἀσύνθετα τῶν πραγμάτων εὐδιάμονα, καὶ ἕως τῆς συντελείας ἀκατάλυτα μένει· οἷον ὁ ἥλιος, ψυχὴ ἀνθρώπου, φῶς, φωστῆρες, ἀήρ, ὕδατα, πῦρ, πνεῦμα, καὶ πάντα τὰ ἁπλᾶ, καὶ ἐν ἰδίᾳ. Περὶ δὲ ψυχῆς λέγομεν οὕτως· ὅτι εἰσὶ πέντε πάθη ἐν αὐτῇ, ἅτινα ψυχικὰ πάθη καλοῦνται. Εἰσὶ δὲ ταῦτα· ὀργή, λύπη, φόβος, φροντίς, καὶ φθόνος. Ὁ οὖν φρόνιμον ἔχων τὸν λογισμόν, δύναται πάντα κρατεῖν. Ἡ δὲ ψυχὴ ὑπάρχει καθ' ἑαυτῆς, ὡς πῦρ καιόμενον. Ὥσπερ τὸ πῦρ τὰ βαλλόμενα εἰς τὸν λέβητα ἕψει, οὕτω καὶ ἡ πυρώδης ψυχὴ τὰ παραπεμπόμενα σῖτα τῇ κοιλίᾳ λεπτύνει, καὶ δαπανᾷ. Κἂν δὲ ψυχὴ λέγεται, οὐ λέγεται διὰ τὸ οὕτως εἶναι ψυχρὰν τὴν οὐσίαν, ὥς τινες τῶν ἁπλουστέρων διενόησαν· ἀλλὰ διὰ τὸ ἐκ πολλῆς θερμότητος ἀναξηραίνειν αὐτὴν τὰ ὑγρά, ὡς ἔστι πληροφορηθῆναι, καὶ ἐκ τῆς ἐνεργείας τοῦ ἡλίου· ὢν γὰρ πυρώδης καὶ θερμώδης πηλὸν ξηραίνει, καὶ πάνυγραν ἀνιμᾶται Ὅτι δὲ ἡ ψυχὴ θερμή ἐστι κατὰ φύσιν, πείθου τοιγαροῦν ἐκ τῶν ἀποθνησκόντων· ᾗ γὰρ ὥρᾳ ἡ ψυχὴ χωρισθῇ ἀπὸ τοῦ σώματος, πάντα τὰ μέλη εὑρίσκονται κρυσταλλώδη, καὶ οὐδὲν ἧττον πάθους χειμερίου. Ἕως γὰρ ἔχει ἡ ψυχὴ τὴν τροφὴν εἰς ἀφθονίαν, τὸ σῶμα θάλλει, καὶ ἀνδαίνεται· ὁπόταν δὲ ἀπορήσῃ σιτίων, αὐτὸ τὸ σῶμα ἀντὶ τροφῆς ἀντέχει πρὸς τὴν θερμότητα τῆς ψυχῆς. Ὥσπερ οὔτε ἀγγεῖον χαλκοῦν, ἤτοι λέβης ἐπὶ κλιβάνου, οὐ δύναται ἄνευ ὕδατος φέρειν τὴν σφοδρότητα τοῦ πυρός, ἐκφρύγεται γὰρ καὶ διαλύεται τέλειον, οὕτω καὶ ὁ λέβης τοῦ σώματος, μὴ ἔχων τὴν τροφήν, παρὰ τῆς πυρώδους ψυχῆς ὑπολικμούμενος ἀπολείπεται παντάπασιν. Ἂν θέλῃς δοκιμάσαι μαθεῖν παρά τινος πῶς διάκειται ἡ ψυχὴ ἐν τῷ σώματι, ἐρώτησον αὐτόν· Εἰπέ μοι, ἐν ὅλῳ τῷ σώματι κατοικεῖ ἡ ψυχὴ τοῦ ἀνθρώπου ἢ ἐν ἑνὶ τόπῳ; Καὶ ἐὰν εἴπῃ σοι ὅτι ἐν ὅλῳ τῷ σώματι, εἰπὲ αὐτῷ· Καὶ πῶς τέμνουσι τὴν

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 1432.

χεῖρα, ἢ τὸν πόδα τοῦ ἀνθρώπου, καὶ οὐ κόπτεται ἡ ψυχή, ἀλλὰ πάλιν ζῇ ὁ ἄνθρωπος καὶ οὐκ ἀποθνήσκει; Εἰ δὲ εἴπῃ σοι, ὅτι ἐν ἑνὶ τόπῳ, εἰπὲ αὐτῷ ὅτι, Καὶ πῶς εἰσι τὰ ἄλλα μέλη τοῦ ἀνθρώπου χωρὶς ψυχῆς; Πᾶν γὰρ τὸ μὴ ἔχον ψυχὴν νεκρόν ἐστι, καὶ οὐκ οἶδα τί λέγεις. Ἐγὼ δὲ εἴπω σοι ἐν ποίῳ τόπῳ, καὶ ποίῳ τρόπῳ καὶ ποῦ ἀναπαύεται ἡ ψυχή· ἐν τρισὶ τόποις ἀναγκαίοις τοῦ σώματός ἐστιν ἐνιδρυμένη· καὶ ὥσπερ ἡ ἀκτὶς τοῦ ἡλίου ἀεὶ ἕνα τόπον χωρεῖ, καὶ εἰσέρχεται τὸν οἶκον, φωτίζει δὲ πάντα τὸν οἶκον, οὕτω καὶ ἡ ψυχὴ ἐν τρισὶ τόποις τοῦ σώματος κατοικοῦσα φωτίζει τὸν οἶκον ὅλον τοῦ σώματος. Κατοικεῖ δὲ ἐν τῇ καρδίᾳ, τῷ ὄπισθεν μέρει τῆς κεφαλῆς, ὅπερ κότυλον ὀνομάζουσι, καὶ ἐν ταῖς βασιλικαῖς φλέβαις. Ἐν τούτοις τοῖς τρισὶ μέρεσι κατοικεῖ ἡ ψυχή. Διὰ τοῦτο ᾗ ὥρᾳ κρουσθῇ ἡ κεφαλή, ἢ ἡ καρδία, ἢ ἡ βασιλικὴ φλὲψ ἐκρεύσῃ αἷμα πολύ, καὶ εὐθὺς χωρίζεται τοῦ σώματος ἡ ψυχή, καὶ νεκρὸν τὸ σῶμα εὑρίσκεται. Κατοικοῦσα δὲ ἡ ψυχή, ἐν τοῖς τρισὶ μέρεσι, μεταδίδωσιν ὅλῳ τῷ σώματι τῆς οἰκείας φωτισμοὺς δυνάμεως.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΑΚΑΡΙΑΣ ΚΑΙ ΔΙΔΑΣΚΑΛΟΥ ΣΥΓΚΛΗΤΙΚΗΣ.*

1. Ἔδει πάντας ἀνθρώπους τῶν καλῶν μὴ ἀμυήτους ὑπάρχειν. Οὕτω γὰρ ἐγγεγυμνασμένοι τοῖς πράγμασιν εἰ εἶεν, τὸ ἀζήμιον εἶχον ἐν βίῳ· καὶ γοῦν τοὺς ἀκεραιοτέρους τὰ πολλὰ τῶν χρηστῶν διέλαθεν. Τοῦτο δὲ πεπόνθασιν ἐκ τοῦ τὴν διάνοιαν αὐτοῖς ἀμβλυωτέραν καθεστάναι ὑπὸ τῆς ἀμελείας. Πολλάκις γὰρ καὶ μαργαρῖται πολύτιμοι εἰς πένητας παρῆλθον ἄνδρας. Οἱ δὲ ἀδοκίμαστον τὴν περὶ τούτων τέχνην ἔχοντες, ὡς μικρῶν τινων καὶ οὐδαμινῶν κατεφρόνησαν. Ἡμεῖς γοῦν, νηπίαν καὶ ἀνάσκητον ψυχὴν ἔχοντες, τῷ παρόντι ἐντυγχάνοντες μαργαρίτῃ, οὐδὲν μέγα τοῦτον θεωροῦμεν, τῷ σχήματι μόνῳ ἐνατενίζοντες, τῆς δὲ φύσεως αὐτοῦ, ὅσον πρὸς γνῶσιν, μακρὰν τυγχάνοντες. Ὡς δὲ κατ' ὀλίγον ἐκ τῶν πέλας ἐδιδασκόμεθα τὸ κάλλος αὐτοῦ, θεῖος ἔρως καὶ ἡμῖν ἐνεγεννᾶτο πρὸς τὸ ὀφθέν· καὶ γὰρ αὐτὰ τὰ πράγματα ἐζωπύρει ἡμῶν πρὸς τὸν πόθον τὴν διάνοιαν.

2. Τί δὲ λέγω τοὺς παρόντας, ἢ καὶ ἑαυτὸν συγκαταριθμῷ τούτοις, ὥς τι εἰδότων ἡμῶν καὶ λεγόντων περὶ τῆς ἀοιδίμου καὶ μακαρίας Συγκλητικῆς; Οἶμαι γὰρ πᾶσαν ἀνθρώπων φύσιν λείπεσθαι πρὸς διήγησιν τῶν ἀγαθῶν αὐτῆς πράξεων. Εἰ δὲ καί τις ἐπιχειρήσειε λέγειν τι περὶ αὐτῆς, πολὺ μὲν καὶ ἄπειρον ἀπολειφθήσεται τῶν ζητουμένων, κἂν σοφός, κἂν ἐπιστήμων τυγχάνῃ. Ὥσπερ γὰρ οἱ τῷ ἡλίῳ ἀτενίσαι βουλόμενοι τὰς ὄψεις βλάπτονται, οὕτω καὶ οἱ κατοπτρίζεσθαι τῷ βίῳ ταύτης πειρώμενοι, ὑπὸ τοῦ μεγέθους τῶν κατορθωμάτων ἰλιγγιάσαντες, ὑπενδόντες ἢ καὶ ἀτονήσαντες σύγχυσιν ὑφίστανται τῇ διανοίᾳ.

3. Ἡμεῖς δὲ κατὰ τὴν ἰδίαν δύναμιν ἰχνηλατοῦντες τὰ κατ' αὐτήν, καὶ ἐκ τῶν συνηλίκων δὲ αὐτῆς τὰ κατὰ τὸν πρῶτον βίον ἀκροθιγῶς ἀκούσαντες, καὶ ἐξ αὐτῶν δὲ τῶν πραγμάτων ἀμυδρῶς καταυγασθέντες, ἐπὶ τὸ γράφειν ἥκομεν, ἑαυτοῖς τροφὰς σωτηριώδεις ἀποθησαυρίζοντες. Τὸ μὲν γὰρ κατ' ἀξίαν αὐτῆς λέγειν οὐ μόνον ἡμῖν ἀδύνατον, ἀλλὰ καὶ τοῖς πολλοῖς δυσχερές.

4. Ἡ τῆς οὐρανίου συγκλήτου ἐπώνυμος, χώρας τῆς Μακεδονίας τυγχάνει. Ἀκηκοότων γὰρ τῶν προγόνων αὐτῆς τὸ φιλόθεον καὶ φιλόχριστον τῶν Ἀλεξανδρέων, κατελάμβανον ἐκ Μακεδονίας τὴν τοῦ Μακεδόνος πόλιν. Ἐπιβάντων δὲ αὐτῶν τῇ χώρᾳ, καὶ μείζω εὑρόντες

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 1488.

τῆς φήμης τὰ πράγματα, φιλοφρόνως ᾤκουν αὐτήν. Οὐ πλήθει δὲ δήμων συνέχαιρον, οὔτε μὴν οἰκημάτων ἐθαύμαζον μέγεθος· πίστιν δὲ μονότροπον εὑρόντες σὺν εἰλικρινεῖ ἀγάπῃ, δευτέραν ἔθεντο τὴν οἰκείαν τῆς μετοικίας.

5. Ἦν δὲ καὶ τῷ γένει περίβλεπτος ἡ μακαρία Συγκλητική, καὶ τοῖς ἄλλοις δὲ τοῖς κατὰ τὸν κόσμον τερπνοῖς νομιζομένοις ἐκεκόσμητο. Παρῆν δὲ αὐτῇ καὶ ἀδελφὴ ὁμόφρων ἅμα, καὶ ἀδελφοὶ δύο, σεμνοτάτῳ καὶ αὐτοὶ ἀναχθέντες βίῳ· ὧν ὁ μὲν εἷς, ἐν τῇ παιδικῇ ἡλικίᾳ τυγχάνων, ἀπεγένετο· ὁ δὲ ἕτερος, ἐπιβὰς πέμπτῳ καὶ εἰκοστῷ ἔτει, παρὰ τῶν γονέων εἰς γάμον παρεκαλεῖτο· καὶ πάντων πρὸς τὸ ζητούμενον εὐτρεπισθέντων, καὶ τῶν ἐξ ἔθνους συμβολικῶν ἐκτελουμένων, ἀπέπτη ὁ νέος ὥσπερ ὄρνεον ἐκ βρόχων, ἀνταλλαγὴν ποιησάμενος τῆς ἐπιγείου νύμφης, τὴν ἄμωμον καὶ ἐλευθέραν τῶν ἁγίων σύνοδον.

6. Αὕτη δὲ ἔτι ἐν ταῖς πατρῴαις ἀγκάλαις τυγχάνουσα, φιλοθεΐᾳ μὲν τὸ πρῶτον τὴν ψυχὴν ἠσκεῖτο· καὶ οὐχ οὕτω τὰς τοῦ σώματος ἐπιμελείας ἐποιεῖτο, ὡς τὰς τῆς φύσεως ὁρμὰς ἐπετήρει.

7. Ἦν γὰρ καὶ κατὰ τὸ σῶμα περικαλλεστάτη, ὡς καὶ πολλοὺς αὐτῇ μνηστῆρας προσιέναι κατὰ τὴν πρώτην ἡλικίαν· τοῦτο μὲν ὑπὸ τῆς περιουσίας δελεαζομένους, τοῦτο δὲ καὶ ὑπὸ τῆς τῶν γονέων κοσμιότητος, καὶ πρὸς ἐπὶ τούτοις ὑπ' αὐτῆς τῆς κόρης τοῦ κάλλους ἐξαπτομένους. Καὶ γοῦν οἱ γονεῖς ἀσμένως προετρέποντο τὴν νέαν εἰς γάμον, αὐτὸ τοῦτο ἐπείγοντες, ὡς ἐξ αὐτῆς τὴν τοῦ γένους διαδοχὴν αὐτοῖς φυλαχθῆναι. Ἡ δὲ σώφρων καὶ γενναία τῷ φρονήματι, οὐδόλως συνετίθετο ταῖς τοιαύταις τῶν γονέων συμβουλίαις· ἀλλὰ γάμον ἀκούουσα κοσμικόν, γάμον θεῖον ἐφαντάζετο· καὶ πολλοὺς μνηστῆρας παρορῶσα, εἰς μόνον τὸν οὐράνιον νυμφίον εἶχε τὸ νεῦμα.

8. Καὶ ἦν ἰδεῖν τῆς μακαρίας Θέκλης γνησίαν μαθήτριαν, τοῖς αὐτοῖς αὐτὴν ἑπομένην διδάγμασι. Καὶ γὰρ τῶν δύο εἷς μνηστὴρ ἦν ὁ Χριστός, καὶ αὐτὸς ἦν τῶν ἀμφοτέρων νυμφαγωγὸς Παῦλος· οἶμαι δὲ καὶ τὸν θάλαμον αὐταῖς μὴ ἐναλλάττειν· εἷς γὰρ αὐταῖς παστὸς ἡ Ἐκκλησία, καὶ ὁ αὐτὸς Δαυὶδ μελῳδεῖ ἐπ' ἀμφοτέρων τὰ σεμνὰ καὶ θεῖα ᾄσματα. Καὶ γὰρ ἐν κυμβάλοις εὐήχοις τέρπει τὰς Θεῷ ἀνατεθείσας ψυχάς, καὶ ἐν τυμπάνοις καὶ ἐν δεκαχόρδοις ψαλτηρίοις τὴν τελειοτάτην ᾠδὴν ἀναπέμπει. Μαριὰμ δὲ τοῖς ἱεροῖς τούτοις γάμοις τὰς χορευτρίας εἰσάγει, λέγουσα· «Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.[1]» Καὶ τὰ ὄψα δὲ τοῦ θείου δείπνου κοινὰ τοῖς ἑστιωμένοις· «Γεύσασθε γάρ, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος.[2]» Καὶ ἡ τῶν νυμφικῶν δὲ αὐταῖς περιβλημάτων μία τις ὑφή. «Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο.[3]» Ὁμότροπος οὖν αὐταῖς ἦν ἡ πρὸς Κύριον ἀγάπη· τῶν γὰρ αὐτῶν ἠξιοῦντο δωρεῶν· ἀλλὰ καὶ τοῖς

1. Ἔξ. 15, 1. 2. Ψαλμ. 33, 9. 3. Γαλ. 3, 27.

αὐτοῖς ἀγῶσιν ἡμιλλῶντο. Τὰ μὲν γὰρ τῆς μακαρίας Θέκλης οὐδενὶ ἠγνόηται μαρτύρια, ὡς διὰ πυρὸς καὶ θηρίων ἀτιθάσσων αὐτὴν ἐνηθληκέναι· καὶ ταύτης τοὺς ἐναρέτους πόνους τε καὶ ἱδρῶτας οἶμαι τοὺς πολλοὺς μὴ λανθάνειν. Εἰ γὰρ εἷς Σωτὴρ ἦν αὐταῖς ὁ ποθούμενος, ἀναγκαίως καὶ εἷς αὐταῖς ὁ ἀντιτασσόμενος. Καὶ τῇ μὲν Θέκλῃ πραϋτέρους ὑπολαμβάνω τοὺς πόνους· καθήρητο γὰρ ἡ τοῦ ἐχθροῦ κακία, διὰ τῶν ἐκτὸς αὐτῇ προσομιλοῦντος· ἐνταῦθα δὲ δριμυτέραν ἑαυτοῦ τὴν κακίαν ἐπιδείκνυται, ἐκ τῶν ἔνδον διὰ τῶν ἐναντίων καὶ ὀλεθρίων ἑαυτοῦ λογισμῶν κινούμενος.

9. Οὐκ ἐγοήτευσεν αὐτῆς τὸ ὄμμα ποικίλης ἐσθῆτος ὑφή, οὐδὲ λίθων πολυτελῶν διάφορα χρώματα· οὐκ ἠπάτησεν αὐτῆς τὴν ἀκοὴν κύμβαλον, οὐδ' αὐλὸς διαλῦσαι δεδύνηται τὸν τῆς ψυχῆς αὐτῆς τόνον. Οὐκ ἐμάλαξεν αὐτὴν γονέων δάκρυα, οὐδὲ ἑτέρα τις συγγενῶν παραίνεσις· ἀλλ' ὥσπερ ἀδάμαντα τὸν λογισμὸν ἔχουσα, οὐ παρετράπη τὸν νοῦν· καὶ ὥσπερ θυρίδας τὰς πάσας αἰσθήσεις αὐτῆς ἀποκλείουσα, τῷ ἑαυτῆς νυμφίῳ καταμόνας προσωμίλει, τὸ γραφικὸν ἐκεῖνο λέγουσα· «Ὡς ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ὁ ἀδελφιδός μου ἐμοί.[1]» Καὶ εἰ μὲν καπνώδεις καὶ σκοτειναὶ ὁμιλίαι παρῆσαν, ταύτας ἀπέφευγε, τοῖς ἔνδον ταμείοις τῆς ψυχῆς ἑαυτὴν συνάγουσα· ὅπου δὲ φωτειναὶ καὶ ἐπωφελεῖς παραινέσεις ἐτύγχανον, πᾶσαν ἑαυτῆς τὴν διάνοιαν ἔτεινε πρὸς ὑποδοχὴν τῶν λεγομένων.

10. Οὐκ ἠμέλει δὲ καὶ τοῦ κατὰ τὸ σῶμα σωτηρίου φαρμάκου· τήν τε γὰρ νηστείαν οὕτως εἶχε φίλην, ὡς μηδένα αὐτῇ τῶν παρόντων ἴσον τυγχάνειν. Φυλακὴν γὰρ καὶ θεμέλιον ταύτην ἡγεῖτο τῶν ἄλλων. Καὶ εἴ ποτε ἀνάγκης γενομένης παρὰ τὸν συνήθη καιρὸν ἐτράφη, τὸ ἐναντίον ὑφίστατο τοῖς ἐσθίουσιν· ὠχρία γὰρ αὐτῆς τὸ πρόσωπον, καὶ συνέπιπτεν ὁ τοῦ σώματος ὄγκος· τοῦ γὰρ κινοῦντος ἀηδισθέντος, συναλλιοῦται καὶ τὸ κινούμενον. Ὅπως γὰρ ἂν ἡ ἀρχὴ διατεθῇ, ὡς ἐπίπαν ἀκολουθεῖ ταύτῃ καὶ τὰ ἐκ ταύτης ἠρτημένα. Οἷς μὲν γὰρ ἡ τροφὴ καὶ ἡδονὴ γίνεται καὶ προσφέρεται, εὐθαλὴς ὁ τοῦ σώματος ὄγκος ἐστίν· οἷς δὲ τὸ ἐναντίον συμβαίνει, ἄτροφος καὶ λεπτὴ ἡ σὰρξ τυγχάνει. Μαρτυροῦσι δέ μου τῷ λόγῳ οἱ ἄρρωστοι. Ἡ γοῦν μακαρία αὕτη, νοσηλεύειν πειρωμένη τὸ σῶμα, τῇ ψυχῇ τὸ εὐανθὲς ἔφερε· κατὰ γὰρ τὸν Ἀπόστολον λέγοντα ἔπραττεν· «Ὅσῳ γὰρ ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος φθείρεται, φησίν, τοσοῦτον ὁ ἔνδον ἀνακαιοῦται.[2]» Οὕτω δὲν οὖν ἐνήθλει λανθάνουσα τοὺς πολλούς.

11. Ὅτε δὲ οἱ γονεῖς αὐτῆς τέλος ἔσχον τοῦ βίου, ἐπὶ πλεῖον θεοφορηθεῖσα τῷ θείῳ φρονήματι, λαμβάνει καὶ τὴν ἀδελφὴν μεθ' ἑαυτῆς· ἦν γὰρ στερηθεῖσα τῶν ὄψεων· καὶ τῶν μὲν πατρῴων οἴκων χωρίζεται, εἰς δέ τινος συγγενοῦς αὐτῆς ἡρωεῖον ἀπῳκισμένον τῆς πόλεως κατάγεται· καὶ διαπωλήσασα πᾶσαν τὴν καταλειφθεῖσαν αὐτῇ

---

1. Ἆσμ. 2, 16. 2. Β' Κορ. 4, 16.

οὐσίαν, καὶ διανείμασα τοῖς πένησι, προσκαλεσαμένη τινὰ τῶν πρεσβυτέρων, ἀπέτεμεν ἑαυτῆς τοὺς πλοκάμους. Τότε τὴν πᾶσαν κόσμησιν ἀπέθετο· ἔθος γὰρ ταῖς γυναιξὶ κόσμον καλεῖν τὴν τρίχα. Σύμβολον δὲ ἦν τὸ γινόμενον τοῦ ἀπέριττον καὶ καθαρὰν τὴν ψυχὴν αὐτῆς γεγενῆσθαι. Τότε μὲν οὖν πρῶτον ἠξιώθη τῆς παρθενικῆς προσηγορίας.

12. Πᾶσαν δὲ τὴν οὐσίαν αὐτῆς τοῖς πτωχοῖς διανείμασα, ἔλεγε· Μεγάλου μὲν ἠξίωμαι ὀνόματος· Τί δὲ ἀνταποδώσω ἐπάξιον τῷ δωρησαμένῳ οὐκ ἔχω. Εἰ γὰρ ἐπὶ τῶν ἐκτὸς πραγμάτων, ἕνεκεν ἀξιώματος φθαρτοῦ, πᾶσαν ἑαυτῶν τὴν οὐσίαν ἀποβάλλουσι, πόσῳ μᾶλλον ἐμέ, τοσαύτης ἀξιωθεῖσαν χάριτος, οὐκ ἄρα ἔδει μετὰ τῶν νομιζομένων ὑπαρχόντων προδοῦναι καὶ τὸ σῶμα; Τί δὲ λέγω κτήματα ἢ σῶμα δοῦναι, πάντων αὐτοῦ ὑπαρχόντων; «Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.[1]» Διὰ τούτων μὲν τῶν λόγων τὴν ταπεινοφροσύνην ἐγκιβωσαμένη, ἡσύχαζεν.

13. Ἦν μὲν οὖν καὶ ἐν ταῖς πατρικαῖς αὐλαῖς ἱκανῶς προγυμνασθεῖσα τοῖς πόνοις· καὶ ἐν αὐτῇ δὲ τῇ ἀκμῇ τοῦ σταδίου ἀχθεῖσα, προέκοπτε ταῖς ἀρεταῖς. Ὅσοι μὲν οὖν ἀγυμνάστως καὶ ἀσκέπτως προσῆλθον τῷ θείῳ τούτῳ μυστηρίῳ, ἀπέτυχον τοῦ ζητουμένου, μὴ προθεωρήσαντες τὰ καθ' ἕκαστον· ὥσπερ δὲ οἱ ὁδοιπορεῖν μέλλοντες τῶν ἐφοδίων πρῶτον φροντίζουσιν, οὕτως καὶ αὕτη, ὥσπερ ἐφοδίοις ἑαυτήν, τοῖς πάλαι πόνοις εὐτρεπίσασα, ἀδεῶς τὴν ἐπὶ τὰ ἄνω πορείαν ἐποιήσατο· τὰ γὰρ εἰς τὸν ἀπαρτισμὸν τῆς οἰκίας προαποθεμένη, ὀχυρώτατον τὸν ἑαυτῆς ἐξετέλει πύργον. Καὶ τὸ μὲν καθ' ἱστορίαν τῶν οἰκημάτων ποίημα ἐκ τῶν ἔξωθεν ὑλῶν κατασκευάζεται· αὕτη δὲ τὸ ἐναντίον πεποίηκεν· οὐ γὰρ τὰς ἔξωθεν ὕλας συνήγαγεν, ἀλλὰ μᾶλλον τὰς ἔσωθεν ἐκένωσε. Τὰ γὰρ χρήματα ἑαυτῆς διαδοῦσα τοῖς πένησι, καὶ καταλιποῦσα ὀργὴν καὶ μνησικακίαν, ἀπωσαμένη δὲ καὶ φθόνον καὶ φιλοδοξίαν, ᾠκοδόμησε τὴν οἰκίαν ἑαυτῆς ἐπὶ τὴν πέτραν, ἧς περιφανὴς ὁ πύργος καὶ ἀχείμαστος ἡ οἰκία.

14. Καὶ τί πολλὰ λέγω; ὑπερέβαινε γὰρ διὰ τῶν ἀρχῶν καὶ τὰς ἐν ἕξει τοῦ μονήρους βίου τυγχανούσας. Ὥσπερ γὰρ τὰ εὐφυέστατα τῶν παιδίων, ἔτι ἐν ταῖς συλλαβαῖς ὄντα, ἁμιλλῶνται τοῖς ἐν ἡλικίᾳ καὶ πλείω χρόνον ἔχουσι παρὰ τοῖς διδασκάλοις· οὕτω καὶ αὕτη, ζέουσα τῷ πνεύματι, παρέτρεχε τὰς λοιπάς.

15. Τὸν μὲν οὖν ἔμπρακτον αὐτῆς καὶ ἀσκητικὸν βίον λέγειν ἀδυνατοῦμεν, ἐπείπερ οὐδὲ συνεχώρει τινὰ τούτου θεατὴν γενέσθαι. Οὐδὲ γὰρ κήρυκας τῶν αὐτῆς ἀνδραγαθημάτων ἤθελεν εἶναι τοὺς παρόντας. Οὐχ οὕτως γὰρ τὸ εὖ πράττειν ἐφρόντιζεν, ὅσον τῆς τούτου φυλακῆς τε καὶ κρυβῆς. Τοῦτο δὲ ἐποίει οὐ φθόνῳ συνεχομένη, ἀλλὰ θείᾳ χάριτι συγκροτουμένη. Τὸ γὰρ Κυριακὸν ἐκεῖνο κατὰ νοῦν

1. Ψαλμ. 23, 1.

ἔφερε ῥῆμα, τὸ λέγον, ὡς «Εἴ τι ἐὰν ποιῇ ἡ δεξιά σου, μὴ γνώτω ἡ ἀριστερά σου.[1]» Οὕτως μὲν λανθάνουσα ἐξετέλει τὰ πρέποντα τῷ ἐπαγγέλματι.

16. Ἀπὸ δὲ τῆς πρώτης ἡλικίας, καὶ ἕως τῆς ἀκμαστικῆς, οὐ μόνον παντὸς ἀνδρὸς συντυχίαν ἀπέφευγεν, ἀλλὰ καὶ τὰς ὁμοφύλους τὰ πολλὰ παρῃτεῖτο, δύο τούτων ἕνεκα, ἢ τοῦ μὴ δοξασθῆναι τῇ ὑπερβολῇ τῆς ἀσκήσεως, ἢ τοῦ μὴ ἀποσυρῆναι τῆς ἀρετῆς διὰ τὴν σωματικὴν χρείαν.

17. Οὕτως μὲν οὖν τὰς πρώτας τῆς ψυχῆς ἐπιβολὰς παρετήρει, μὴ συγχωροῦσα αὐταῖς συγκαθέλκεσθαι ταῖς σωματικαῖς ἐπιθυμίαις· ὥσπερ δὲ δένδρον καθυλομανοῦν περιετέμνετο τῶν ἀκάρπων κλάδων τὰ βλαστήματα· τὰς μὲν γὰρ ἀκανθώδεις τῆς διανοίας ἐκφύσεις ἀφῃρεῖτο διά τε τῆς νηστείας καὶ τῆς προσευχῆς. Καὶ εἰ βραχύ τι ἕκαστον τούτων προέκοπτε, ποικίλας αὐτοῖς τὰς τιμωρίας προσέφερε, διὰ παντοδαπῶν πόνων τὸ σῶμα κακουχοῦσα. Οὐ μόνον γὰρ τῇ τοῦ ἄρτου λιμαγχονίᾳ ἠρκεῖτο, ἀλλά γε καὶ τῇ τοῦ ὕδατος ὀλιγοδείᾳ.

18. Ὁπηνίκα μὲν πόλεμος τοῦ ἐχθροῦ πρὸς αὐτὴν συνεκροτεῖτο, προηγουμένως μὲν τὸν ἑαυτῆς Δεσπότην δι' εὐχῆς ἐκάλει πρὸς συμμαχίαν· οὐ γὰρ ἠρκεῖτο τὴν ὁρμὴν τοῦ λέοντος σβέσαι ψιλῇ ἀσκήσει. Καὶ παρὰ μὲν τῆς ἱκεσίας παρῆν ὁ Κύριος, καὶ ἀπεδίδρασκεν ὁ πολέμιος· πολλάκις δὲ καὶ ἐχρόνιζε πρὸς τὴν μάχην ὁ ἐχθρός, καὶ ὁ Κύριος οὐκ ἠμύνετο τὸν παλαμναῖον, αὐτῷ τούτῳ τῆς ἐναρέτου ψυχῆς, εἰσαύξων τὴν γυμνασίαν. Αὕτη δὲ ὥσπερ προσθήκῃ τῶν δώρων, ἐπὶ πλεῖον ἐκρατύνετο εἰς τὴν κατὰ τοῦ ἐχθροῦ νίκην. Οὐ μόνον γὰρ ἠρκεῖτο ταῖς ὀλιγοδείαις τῶν τροφῶν ἑαυτὴν νεκροῦσα, ἀλλά γε καὶ τῶν καθ' ἡδονὴν διαιτημάτων ἐπειρᾶτο εἴργειν ἑαυτήν. Ἄρτον μὲν γὰρ πιτυρίαν ἤσθιεν· ὕδωρ δὲ πολλάκις οὐδόλως ἐλάμβανε· καὶ ἐχαμεύνει δὲ ἕως τινός. Ἕως μὲν οὖν συνεκροτεῖτο ὁ πόλεμος, τοιούτοις ὅπλοις ἐκέχρητο, εὐχὴν μὲν ἐνδυομένη ἀντὶ ὅπλου καὶ θυρεοῦ, ἡ δὲ περικεφαλαία αὐτῆς ἦν ἐκ πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης συγκραθεῖσα. Ἡ γὰρ πίστις προηγεῖτο πάντων, ὅλους αὐτῆς τοὺς ἁρμοὺς συσφίγγουσα. Παρῆν δὲ καὶ ἡ ἐλεημοσύνη, εἰ καὶ μὴ ἡ κατ' ἐνέργειαν ἀλλ' οὖν γε ἡ κατὰ πρόθεσιν.

19. Διὰ τούτων οὖν ἧτταν ὑπομένοντος τοῦ ἐχθροῦ, καὶ αὐτὴ ἐπεκούφιζε τῆς δριμυτάτης ἀσκήσεως. Τοῦτο δὲ ἐποίει πρὸς τὸ μὴ ἀθρόως διαλυθῆναι τὰ τοῦ σώματος μέλη· ἥττης γὰρ ἦν τοῦτο τεκμήριον. Τῶν γὰρ ὅπλων συμπεσόντων, ποία ἐλπίς ἐστι τῷ στρατιώτῃ εἰς πόλεμον; Τινὲς γοῦν, ἀμέτρως καὶ ἀνεξετάστως τῇ ἀσιτίᾳ ἑαυτοὺς καταδαπανήσαντες, καιρίαν ἑαυτοῖς τὴν πληγὴν ἐπήγαγον· ὥσπερ δὲ ἐν παραιτήσει τοῦ ἀντιπάλου γενόμενοι, ἑαυτοὺς κατέφθειραν. Αὕτη δὲ οὐχ οὕτως ἔπραττεν, ἀλλὰ πάντα μετὰ διακρίσεως ἐποίει· καὶ τῷ

1. Ματθ. 6, 3.

μὲν ἐχθρῷ σφοδρῶς διά τε τῶν εὐχῶν καὶ τῆς ἀσκήσεως ἀπεμάχετο· πρὸς δὲ τὴν γαλήνην τῆς οἰκείας νηὸς ἐπεμελεῖτο τοῦ σώματος. Καὶ γὰρ οἱ ναυτιλλόμενοι, χειμῶνος καὶ κλύδωνος καταλαβόντος, ἄσιτοι διαμένουσι, πᾶσαν τὴν παρ' αὐτῶν τέχνην τῷ πρὸ ὀφθαλμῶν κινδύνῳ ἀντιτιθέντες· ὁπηνίκα δὲ τύχωσι τοῦ ζῆν, τότε τῆς δευτέρας σωτηρίας ποιοῦνται τὴν φροντίδα· καὶ οὐχ ἅπας αὐτῶν ὁ χρόνος πρὸς τὸν σάλον τῆς θαλάσσης καταναλίσκεται· ὥσπερ δὲ ἀνάπαυλαν δέχονται τῶν πόνων τὴν βραχυτάτην γαλήνην· καὶ οὐδ' οὕτως ἀμερίμνως διάγουσιν, οὔτε μὴν ὕπνῳ βαθεῖ καθέλκονται, πεῖραν ἐσχηκότες τῶν ἀπελθόντων, καὶ ἔννοιαν λαμβάνοντες τῶν μελλόντων. Εἰ γὰρ καὶ ὁ χειμὼν ἐκόπασεν, ἀλλ' ἡ θάλασσα οὐ μεμείωται· καὶ εἰ παρῆλθε τὸ δεύτερον, ἀλλ' ὅμως τὸ πρῶτον [τρίτον] μένει· εἰ καὶ τὸ γενόμενον κεχώρισται, ἀλλὰ τὸ ποιοῦν πάρεστιν. Οὕτως οὖν καὶ ἐπὶ τοῦ παρόντος, εἰ καὶ τὸ πνεῦμα τῆς ἐπιθυμίας ἀπήλασται, ἀλλ' ὅμως ὁ ἐξουσιάζων τούτου οὐ μακρὰν τυγχάνει. Ὅθεν δεῖ ἀδιαλείπτως προσεύχεσθαι διὰ τὸ ἀβέβαιον τῆς θαλάσσης καὶ τὴν ἁλμυρὰν τοῦ ἐχθροῦ κακίαν. Ἡ οὖν μακαρία, ἀκριβῶς εἰδυῖα τὸ παρὸν ἐν τῷ βίῳ κλυδώνιον, καὶ προβλέπουσα τὰς τῶν πνευμάτων ζάλας, ἐπιμελῶς ἦν οἰακίζουσα τὸ ἴδιον σκάφος τῇ εἰς Θεὸν εὐσεβείᾳ· καὶ γὰρ ἀχείμαστον αὐτὸ τῷ σωτηρίῳ λιμένι προσώρμισεν, ἄγκυραν ἀσφαλεστάτην τὴν εἰς Θεὸν πίστιν θεμένη.

20. Ἀποστολικὸς μὲν οὖν αὐτῆς ὁ βίος, διὰ πίστεως καὶ ἀκτημοσύνης συσφιγγόμενος, ἔτι γε μὴν ἀγάπῃ καὶ ταπεινοφροσύνῃ διαλάμπων. Αὕτη τοῦ σωτηρίου λόγου τὴν πρᾶξιν ἐξετέλεσεν. «Ἐπιβήσῃ γὰρ ἐπὶ ἀσπίδα καὶ βασιλίσκον [1]», «καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.[2]» Οἰκείως αὕτη ἤκουσε τό· «Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγων ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω.[3]» Τὸ δὲ ῥητόν, εἰ καὶ τῶν δωρεῶν ἀνάγεται, ἀλλ' ὅμως ἐνταῦθα νοείσθω, ὡς Ὅτι ἐνίκησας τὸν ἔνυλον πόλεμον, καὶ κατὰ τοῦ ἀΰλου δὲ τρόπαιον πήξεις, ἐμοῦ ὑπερασπίζοντός σου. Γνώτωσαν τὸ μέγεθος τῆς πίστεως αἱ ὑπὸ τοῦ θεράποντός μου Παύλου ῥηθεῖσαι ἀρχαὶ καὶ ἐξουσίαι· νικήσας γὰρ τὰς ἐναντίας δυνάμεις, προσομιλήσεις καὶ ταῖς κρείττοσιν.

21. Οὕτως μὲν οὖν καθ' ἑαυτὴν ἀναχωροῦσα τῶν ἀγαθῶν ἔργων τελεσιουργὸς ἐγίνετο. Τοῦ δὲ χρόνου προϊόντος, καὶ τῶν ἀρετῶν αὐτῆς ἀνθουσῶν, ἡ εὐωδία τῶν εὐκλεεστάτων αὐτῆς πόνων εἰς πολλοὺς διέβαινεν. «Οὐδὲν γάρ, φησί, κρυπτὸν ὃ οὐ φανερωθήσεται.[4]» Οἶδε γὰρ ὁ Θεὸς τοὺς αὐτὸν ἀγαπῶντας καὶ δι' ἑαυτοῦ κηρύττειν πρὸς διόρθωσιν τῶν ἀκουόντων. Τότε μὲν οὖν τῇ βουλήσει τοῦ κρείττονος ἤρξαντό τινες παραβάλλειν, καὶ πρὸς οἰκοδομὴν οἰκείαν τὰς ἐντεύξεις ποιεῖσθαι· καὶ γὰρ διὰ τῶν λόγων τὰ τοῦ βίου αὐτῆς ἐμπορευόμεναι ἐπὶ πλέον προσήγγιζον, ὠφελεῖσθαι βουλόμεναι. Κατὰ γὰρ τὴν συνήθη

1. Ψαλμ. 90, 13. 2. Λουκ. 10, 19. 3. Ματθ. 25, 21. 4. Ματθ. 10, 26.

ἀκολουθίαν ἐπυνθάνοντο αὐτῆς λέγουσαι· Πῶς δεῖ σωθῆναι; ἡ δέ, στενάξασα βαρύ, καὶ δακρύων πλῆθος ἀφεῖσα, εἰς ἑαυτὴν ἐχώρει, καὶ ὥσπερ διὰ τῶν δακρύων τὴν ἀπόκρισιν ποιησαμένη, δευτέραν σιωπὴν ἤσκει. Αἱ δέ, συνελθοῦσαι, ἐβιάζοντο λαλεῖν αὐτὴν τὰ μεγαλεῖα τοῦ Θεοῦ· καὶ γὰρ ἐθαύμαζον ὑπὸ μόνης τῆς θέας καταπληττόμεναι· καὶ αὖθις παρεκάλουν αὐτὴν φθέγξασθαι. Ἐπὶ πολὺ δὲ τῆς μακαρίας ἐκβιαζομένης, μετὰ χρόνον ἱκανόν, πολλῆς ἡσυχίας γενομένης, ταπεινῇ τῇ φωνῇ τὸ γραφικὸν ἐκεῖνο ἔφη ῥῆμα τό· «Μὴ ἐκβιάζου πένητα· πτωχὸς γάρ ἐστιν.[1]» Αἱ δὲ παροῦσαι ἀσμένως τὸ ῥῆμα δεξάμεναι, ὥσπερ μέλιτος καὶ κηρίου ἀπογευσάμεναι, ἐπὶ πλεῖον τῆς ἐρωτήσεως εἴχοντο· καὶ λοιπὸν διὰ τῶν γραφικῶν αὐτὴν ῥημάτων ἐπεφόρτιζον· ἔλεγον γὰρ πρὸς αὐτήν, ὡς «Δωρεὰν ἔλαβες, δωρεὰν δός.[2]» Καί φησιν· Ὅρα μὴ τὴν κρυψοτάλαντον ἀντὶ τοῦ δούλου ἀποτίσῃς δίκην. Ἡ δὲ πρὸς αὐτάς, εἶπεν· Τί οὕτως περὶ ἐμοῦ τῆς ἁμαρτωλοῦ φαντάζεσθε, ὡς πραττούσης τι ἢ λεγούσης; Κοινὸν ἔχομεν διδάσκαλον τὸν Κύριον· ἐκ τῆς αὐτῆς πηγῆς ἀρυόμεθα τὰ πνευματικὰ νάματα· ἐκ τῶν αὐτῶν δὲ μαζῶν γαλακτοτροφούμεθα, τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης. Αἱ δὲ πρὸς αὐτήν φασιν· Οἴδαμεν καὶ ἡμεῖς, ὅτι μία ἐστὶν ἡμῶν παιδαγωγός, ἡ Γραφή, καὶ ὁ αὐτὸς διδάσκαλος· ἀλλ᾽ αὐτῇ ἐπαγρύπνῳ σπουδῇ προέκοψας ταῖς ἀρεταῖς· καὶ δέον τὰς ἐν ἕξει τῶν καλῶν γενομένας, ὡς δυνατωτέρας, ἐπιπράττειν τοῖς μειρακίοις· καὶ γὰρ ὁ κοινὸς ἡμῶν διδάσκαλος τοῦτο παρακελεύεται. Ἡ δὲ μακαρία, ταῦτα ἀκούσασα, ὥσπερ τὰ ὑποτίτθια βρέφη, ἐκλαυθμήριζεν. Αἱ δὲ συνελθοῦσαι, ἐν δευτέρῳ θέμεναι τὴν ἐρώτησιν, παρεκάλουν αὐτὴν τοῦ κλαυθμοῦ παύσασθαι. Καὶ ὡς ἡσύχασεν, ἐπιπολὺ πάλιν ἡσυχία ἐγένετο. Ἤρξαντο δὲ αὖθις παρακαλεῖν αὐτήν. Ἡ δὲ σπλαγχνισθεῖσα, καὶ γνοῦσα ὅτι τὰ λεγόμενα οὐ νέμει αὐτῇ ἔπαινον, ταῖς δὲ παρούσαις κατασπείρει ὠφέλειαν, ἤρξατο λέγειν πρὸς αὐτὰς οὕτως·

22. Τεκνία, πάντες καὶ πᾶσαι τὸ σωθῆναι οἴδαμεν, ἀλλὰ διὰ τῆς οἰκείας ἀμελείας τῆς σωτηρίας ἀπολειπόμεθα. Δεῖ γὰρ πρῶτον τὰ διὰ τῆς χάριτος τοῦ Κυρίου γνωρισθέντα φυλάττειν. Εἰσὶ δὲ ταῦτα «Ἀγαπήσεις τὸν Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς ψυχῆς σου [3]», «καὶ τὸν πλησίον σου ὡς ἑαυτόν.[4]» Ἐκ τούτων ἡ ἀρχὴ τοῦ νόμου φυλάττεται, καὶ ἐν τούτῳ τὸ πλήρωμα τῆς χάριτος ἐπαναπαύεται. Βραχεῖα μὲν τοῦ λόγου ἡ ἐκφώνησις, ἀλλὰ πολλὴ καὶ ἄπειρος ἡ ἐν τούτῳ τούτου δύναμις. Πάντα γὰρ τὰ ψυχωφελῆ ἐκ τούτων ἤρτηνται· καὶ μαρτυρεῖ Παῦλος, λέγων ὡς τέλος νόμου εἶναι τὴν ἀγάπην.[5] Ὅσα μὲν οὖν οἱ ἄνθρωποι χρήσιμα κατὰ χάριν τοῦ Πνεύματος εἴπωσιν, ἐκ τῆς ἀγάπης ἐστί, καὶ εἰς αὐτὴν τελευτᾷ. Ἡ οὖν σωτηρία αὕτη ἐστίν, ἡ διπλῆ ἀγάπη.

---

1. Παρμ. 22, 22. 2. Ματθ. 10, 8. 3. Ματθ. 22,37. 4. Ματθ. 22,39. 5. Πρβλ. Α´ Τιμ. 1, 5.

23. Δεῖ δὲ καὶ τοῦτο προσθεῖναι, ἐξ αὐτῆς πάλιν τυγχάνον, τὸ ἑκάστην ἡμῶν ἐπιγινώσκουσαν ὅ ἐστιν τῶν μειζόνων ἐφίεσθαι. Αἱ δὲ ἠπόρουν πρὸς τὸ λεχθὲν καὶ αὖθις ἀντηρώτων. Ἡ δὲ πρὸς αὐτὰς ἔφη· Οὐκ ἀγνοεῖτε τὴν ἐν τῷ Εὐαγγελίῳ παραβολὴν περὶ τῶν ρ', καὶ ξ', καὶ λ'· ἡ μὲν οὖν ἑκατοντάς ἐστι τὸ ἡμέτερον ἐπάγγελμα· ἡ δὲ ἑξακοντάς ἐστι τὸ τῶν ἐγκρατῶν τάγμα· ἡ δὲ τριακοντὰς τῶν σωφρόνως βιούντων. Καὶ ἀπὸ μὲν τῶν τριάκοντα ἐπὶ τὰ ἑξήκοντα καλὸν μεταβῆναι· ἀπὸ γὰρ τῶν μικρῶν ἐπὶ τὰ μείζονα καλὸν προκόπτειν· ἀπὸ δὲ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττονα κατατρέχειν, ἐπικίνδυνον. Ὁ γὰρ ἅπαξ νεύσας ἐπὶ τὰ χείρω, οὐδὲ ἐν τοῖς ὀλίγοις στῆναι δύναται, ἀλλ' ὥσπερ ἐν βυθῷ τῆς ἀπωλείας φέρεται. Τινὲς γοῦν, παρθενίαν ἐπαγγελλόμεναι, καὶ ἀσθενοῦς γνώμης τὸν λογισμὸν ὑποσυρόμεναι, προφάσεις ἐν ἁμαρτίαις προφασίζονται. Πρὸς γὰρ ἑαυτὰς λέγουσι, μᾶλλον δὲ πρὸς τὸν διάβολον, ὅτι ἐὰν μὲν σωφρόνως (μᾶλλον δὲ ἀφρόνως) βιώσωμεν, κἂν τοῦ τριακοστοῦ ἀξιούμεθα· καὶ γάρ φησιν, ὡς πᾶσα ἡ Παλαιὰ τῆς παιδοποιίας εἴχετο. Γνωστὸν οὖν ἔστω τὴν γνώμην ταύτην τοῦ ἐχθροῦ εἶναι. Ὁ γὰρ ἐκ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττω ἀγόμενος ὑπὸ τοῦ ἐναντίου βάλλεται· ὥσπερ γὰρ στρατιώτης φυγάς, ὁ τοῦτο δρᾶς κρίνεται· καὶ οὐχ ὅτι πρὸς τὴν ἐλάττω στρατείαν κεχώρηκε, συγγνώμης ἀξιοῦται· ἀλλ' ὅτι ἀπέδρα, τὴν τιμωρίαν λαμβάνει. Δεῖ οὖν, καθὼς προεῖπον, ἐκ τῶν ἐλαττόνων ἐπὶ τὰ [μείζω] προσβαίνειν. Καὶ τοῦτο ὁ Ἀπόστολος διδάσκει, ὡς «Τῶν ὄπισθεν ἐπιλανθανομένους, τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι[1]» χρή. Δεῖ οὖν τοὺς τὴν ἑκατοντάδα κρατοῦντας, ταύτην εἰς ἑαυτοὺς ἀνακυκλοῦν, καὶ πέρας μὴ διδόναι τῷ ἀριθμῷ. Φησὶ γάρ, ὅτι «Ἂν ποιήσητε τὰ προστεταγμένα, εἴπατε, ὅτι Δοῦλοι ἀχρεῖοί ἐσμεν.[2]»

24. Δεῖ οὖν ἡμᾶς τὰς τὸ ἐπάγγελμα τοῦτο ἐπανῃρημένας, σωφροσύνην τὴν εἰς ἄκρον κατέχειν. Καὶ γὰρ καὶ παρὰ ταῖς κοσμικαῖς δοκεῖ σωφροσύνη πολιτεύεσθαι, ἀλλὰ συμπάρεστιν αὐταῖς καὶ ἀφροσύνη, διὰ τὸ ταῖς ἄλλαις πάσαις αἰσθήσεσιν ἁμαρτάνειν. Καὶ γὰρ ὁρῶσιν ἀπρεπῶς, καὶ γελῶσιν ἀτάκτως. Ἡμεῖς δέ, μάλιστα καὶ ταῦτα ἀφέμεναι, ἐπαναβῶμεν ταῖς ἀρεταῖς, καὶ ἀπὸ τῶν ὀφθαλμῶν ἀφέλωμεν τὴν ματαίαν φαντασίαν. Καὶ γάρ φησιν ἡ Γραφή· «Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν·[3]» καὶ τὴν γλῶτταν κωλύειν τῶν τοιούτων ἁμαρτημάτων. Ἀθέμιτον γὰρ τὸ τῶν ὕμνων ὄργανον αἰσχρὰ προφέρειν ῥήματα. Οὐ μόνον δὲ λέγειν αὐτὰ παραιτητέον, ἀλλὰ καὶ ἀκούειν.

25. Ταῦτα δὲ ἀδύνατον φυλάττειν, ἐὰν ταῖς προόδοις συνεχῶς χρώμεθα. Διὰ γὰρ τῶν αἰσθήσεων ἡμῶν, κἂν μὴ βουλώμεθα, οἱ κλέπται εἰσίασι. Πῶς γὰρ δύναται οἶκος, καπνοῦ ἐκ τῶν ἔξωθεν κινηθέντος, καὶ τῶν θυρίδων ἀνοιγεισῶν, μὴ μελαίνεσθαι; Ἀναγκαίως οὖν παραιτεῖσθαι προσήκει τὰς εἰς τὴν ἀγορὰν προελεύσεις. Εἰ γὰρ ἐπα-

1. Φιλιπ. 3, 13. 2. Λουκ. 17, 10. 3. Παρμ. 4, 25.

χθὲς καὶ βαρὺ ἡγούμεθα ἀδελφοὺς καὶ γονεῖς γυμνοὺς θεάσασθαι, πόσῳ μᾶλλον ἐπιβλαβὲς ἡμῖν ἔσται θεωρῆσαι ἐπὶ τῶν πλατειῶν τοὺς ἀπρεπῶς γεγυμνωμένους, ἔτι γε μὴν καὶ ἀκόλαστα ῥήματα λέγοντας; Ἐκ τούτων γὰρ συμβαίνει ἀηδεῖς καὶ λοιμώδεις φαντασίας προσέρχεσθαι.

26. Ὁπηνίκα δὲ καὶ εἰς τοὺς οἴκους ἑαυτὰς καθείρξωμεν, οὐδὲ ἐκεῖ ὀφείλομεν ἔχειν τὸ ἀμέριμνον, ἀλλ' ἀγρυπνεῖν· γέγραπται γάρ· «Γρηγορεῖτε.[1]» Ὅσον δὲ ἑαυτὰς ἀσφαλιζόμεθα πρὸς σωφροσύνην, τοσοῦτον δριμυτέροις συναπτόμεθα λογισμοῖς. «Ὁ γὰρ προσθείς, φησί, γνῶσιν, προστίθησιν ἄλγημα.[2]» Ὅσον γὰρ προκόπτουσιν οἱ ἀθληταί, τοσοῦτον μείζοσι συνάπτονται ἀνταγωνισταῖς. Ὅρα πόσον ἀνέπτης, καὶ οὐκ ὀλιγωρήσῃς πρὸς τὰ παρόντα. Τὴν ἔνυλον καὶ ἔμπρακτον πορνείαν ἐνίκησας; τὴν διὰ τῶν αἰσθήσεων ἐχθρός σοι προθήσει. Ὅταν δὲ καὶ ταύτης σεαυτὴν κωλύσῃς ἐν τοῖς κατὰ διάνοιαν χωρίοις ἐμφωλεύει, τὸν ἄϋλόν σοι κινῶν πόλεμον. Πρόσωπα γὰρ εὐπρεπῆ καὶ ὁμιλίας ἀρχαίας, καὶ ἡσυχαζούσαις παρεισφέρει. Δεῖ οὖν μὴ συγκατατίθεσθαι τοῖς φαντάσμασι· γέγραπται γάρ, ὡς «Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς.[3]» Ἡ γὰρ πρὸς ταῦτα συγκατάθεσις, ἐφάμιλλός ἐστι τῇ κοσμικῇ πορνείᾳ· «Δυνατοί, γάρ, φησί, «δυνατῶς ἐτασθήσονται.[4]» Μέγας οὖν ὁ πρὸς τὸ πνεῦμα τῆς πορνείας ἀγών. Τὸ γὰρ ἐν κακοῖς κεφάλαιον τοῦ ἐχθροῦ πρὸς ἀπώλειαν ψυχῆς, τοῦτό ἐστι. Καὶ τοῦτο αἰνιττόμενος ὁ μακάριος Ἰώβ, ἔλεγε πρὸς τὸν διάβολον· «Ὁ ἔχων τὴν δύναμιν ἐπ' ὀμφαλοῦ γαστρός.[5]»

27. Πολλαῖς μὲν οὖν καὶ διαφόροις μηχαναῖς τὸ τῆς πορνείας κέντρον κινεῖ ὁ διάβολος κατὰ τῶν φιλοχρίστων ἀνθρώπων. Πολλάκις γοῦν καὶ ἀγάπην ἀδελφικὴν μεθώρμισεν ὁ κακόφρων εἰς τὴν οἰκείαν κακίαν. Καὶ γὰρ παρθένους φυγούσας γάμον καὶ φαντασίαν πᾶσαν βίου, διὰ σχέσεως ἀδελφικῆς ὑπεσκέλισε· καὶ μοναχοὺς δὲ ἔτρωσε, πᾶν ὁτιοῦν ἀποφυγόντας καὶ αὐτοὺς πορνικὸν σχῆμα· ἀλλὰ καὶ αὐτοὺς ἠπάτησε δι' εὐλαβοῦς ὁμιλίας. Τοῦτο γὰρ τοῦ ἐχθροῦ ἔργον, τό, ἀμφιεννύμενον τὰ ἀλλότρια, τὰ οἰκεῖα λανθανόντως προβάλλεσθαι. Δείκνυσι σίτου κόκκον, καὶ ὑποτίθησιν αὐτῷ παγίδα. Οἶμαι δὲ καὶ τὸν Κύριον περὶ τούτου λέγειν, ὡς «Ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.[6]»

28. Τί οὖν πρὸς τοῦτο ποιήσωμεν; «Γενώμεθα φρόνιμοι ὡσεὶ ὄφεις, καὶ ἀκέραιοι ὡς περιστεραί[7]», πανοῦργον κατὰ τῆς παγίδος αὐτοῦ κινοῦντες λογισμόν· τὸ μὲν γάρ, Γίνεσθε φρόνιμοι ὡσεὶ ὄφεις, εἴρηται πρὸς τὸ μὴ λανθάνειν ἡμᾶς τὰς ὁρμὰς τοῦ διαβόλου. Τὸ γὰρ ὅμοιον ἐκ τοῦ ὁμοίου ταχίστην ποιεῖται τὴν διάγνωσιν. Τὸ δὲ ἀκέραιον

1. Ματθ. 24, 42. 2. Ἐκκλησ. 1, 18. 3. Ἐκκλησ. 10, 4. 4. Σοφ. Σολ. 6, 6. 5. Πρβλ. Ἰὼβ 40, 16. 6. Ματθ. 7, 15. 7. Ματθ. 10, 16.

τῆς περιστερᾶς δείκνυσι τὸ καθαρὸν τῆς πράξεως. Πᾶν μὲν οὖν ἀγαθὸν ἔργον ἐν ἀποφυγῇ ἔσται τοῦ χείρονος. Πῶς δὲ φύγωμεν ὃ μὴ οἴδαμεν; Δεῖ οὖν ἡμᾶς, κατ' ἔννοιαν λαβούσας τοῦ ἐχθροῦ τὴν δεινότητα, φυλάττεσθαι ἀπὸ τῆς τούτου κακομηχανίας· φησὶ γάρ· «Ὃς περιάγει ζητῶν τίνα καταπίῃ.[1] «Καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά.[2]» Δέον οὖν πάντοτε γρηγορεῖν. Καὶ γὰρ διὰ τῶν ἔξωθεν πραγμάτων πολεμεῖ, καὶ διὰ τῶν ἔνδον λογισμῶν δαμάζει. Καὶ πλέον διὰ τῶν ἔνδον· καὶ γὰρ νύκτωρ καὶ μεθ' ἡμέραν ἀΰλως προσέρχεται.

29. Τίνος οὖν χρεία πρὸς τὸν παρόντα πόλεμον; Δῆλον, ὡς ἀσκήσεως ἐπιπόνου καὶ καθαρᾶς προσευχῆς. Ἀλλὰ ταῦτα μὲν γενικῶς ἐπὶ παντὸς λογισμοῦ ὀλεθρίου ἀλεξητήρια πέφυκε· δεῖ δὲ καὶ ἰδικαῖς τισιν ἐννοίαις χρήσασθαι πρὸς τὸν παρόντα τῆς ψυχῆς λοιμὸν ἀπώσασθαι· καὶ ἐπελθόντος τοῦ αἰσχίστου λογισμοῦ, ἀνθυποφέρειν αὐτῷ τὰ ἐναντία. Εἰ γὰρ γένοιτο ἐν τοῖς κατὰ διάνοιαν χωρίοις ὄψεως εὐπρεποῦς φαντασία, τῷ λόγῳ τὸ παρὸν τιμωρητέον, καὶ τοῦ εἰδώλου τοὺς ὀφθαλμοὺς ἐκκολαπτέτω,τῶν δὲ παρειῶν τὰς σάρκας ἐξαιρείτω· ὑποτεμνέτω δὲ καὶ τὰ χείλη, καὶ λοιπὸν ὁράτω πῆγμα ὀστέων ψιλῶν δυσειδές· κατανοείτω λοιπὸν τί ἦν τὸ ποθούμενον· οὕτω γὰρ ὁ λογισμὸς ἀναχαιτίσαι δυνηθείη τῆς ματαίας πλάνης. Τὸ γὰρ φιλούμενον οὐδὲν ἦν ἢ αἷμα σὺν φλέγματι μεμιγμένον, ὅπερ καὶ ὑφάσματος χρείαν παρέχει τοῖς ζῴοις. Οὕτω μὲν οὖν καὶ διὰ τῶν τοιούτων λογισμῶν εἰκὸς ἀποσοβεῖσθαι τὴν μιαρὰν κακίαν· καὶ καθάπερ ἥλῳ ἧλον ἐκκρούειν προσήκει τὸν δαίμονα. Ἔτι γε μὴν δέον καὶ καθ' ὅλον τοῦ ἐρωμένου τὸ σῶμα ἕλκη βαρύοσμα καὶ σηπεδονώδη ὑπογράφειν· καὶ συντόμως φάναι, νεκρῷ παραπλήσιον, ἢ καὶ ἑαυτὸν νεκρὸν τοῖς ἔνδον ὀφθαλμοῖς ὑποτιθέναι. Μεῖζον δὲ πάντων ἐστὶ τὸ γαστρὸς ἄρχειν· οὕτω γὰρ καὶ τῶν ὑπογαστρίων ἡδονῶν κρατῆσαι δυνατόν.

30. Ἦν μὲν οὖν θεῖον συμπόσιον τῶν παρουσῶν· ἐκ γὰρ τῶν τῆς σοφίας κρατήρων ηὐφραίνοντο. Ἦν δὲ αὐταῖς οἰνοχοοῦσα τὸ θεῖον πόμα καὶ νᾶμα ἡ μακαρία Συγκλητική. Ἑκάστη δὲ αὐτῶν ἐδέχετο ὅπερ ἐβούλετο, καὶ μία τῶν συνελθουσῶν ἐπύθετο αὐτῆς λέγουσα· Εἰ τέλειον ἀγαθὸν ἡ ἀκτημοσύνη; Ἡ δὲ εἶπε· Καὶ πάνυ ἀγαθὸν ταῖς δυναμέναις. Αἱ γὰρ ὑπομένουσαι τοῦτο, θλῖψιν μὲν ἔχουσι τῇ σαρκί, τῇ δὲ ψυχῇ ἄνεσιν. Ὥσπερ γὰρ τὰ στερρὰ ἱμάτια πατούμενα καὶ βιαίως περιστρεφόμενα πλύνεται καὶ λευκαίνεται, οὕτως καὶ ἡ ἰσχυρὰ ψυχὴ διὰ τῆς ἑκουσίου πενίας ἐπὶ πλεῖον κρατύνεται· αἱ δὲ ἀσθενέστερον τὸν λογισμὸν ἔχουσαι τὸ ἐναντίον ταῖς πρώταις πάσχουσι. Καὶ γὰρ πρὸς ὀλίγον θλιβεῖσαι, ὥσπερ τὰ διερρωγότα ἱμάτια, ἀπόλλυνται, μὴ φέρουσαι τὴν διὰ τῆς ἀρετῆς πλύσιν. Καὶ εἷς ὁ τεχνίτης, διάφορον δὲ τῶν ἱματίων τὸ τέλος· τὰ μὲν γὰρ ῥήγνυται καὶ ἀπόλλυται, τὸ δὲ λευκαίνεται καὶ ἀνακαινίζεται. Φαίη οὖν ἄν τις, ἀγαθὸν κειμήλιον

1. Α' Πέτρ. 5, 8. 2. Ἀββ. 1, 16.

τὴν ἀκτημοσύνην τῷ ἀνδρείῳ φρονήματι· καὶ γὰρ τῶν πρακτικῶν ἁμαρτημάτων χαλινὸς τυγχάνει.

31. Δεῖ δὲ πρῶτον ἐγγυμνασθῆναι τοῖς πόνοις· λέγω δέ, νηστείᾳ τε καὶ χαμευνίᾳ, καὶ τοῖς ἄλλοις κατὰ μέρος, καὶ οὕτως ταύτην τὴν ἀρετὴν κτήσασθαι. Οἱ γὰρ μὴ οὕτω ποιήσαντες, ἀθρόως δὲ ἐπὶ τὴν ἀποβολὴν τῶν χρημάτων δραμόντες, ὡς ἐπίπαν μεταμέλῳ ἑάλωσαν.

32. Ὄργανον γὰρ τοῦ ἀπολαυστικοῦ βίου τὰ χρήματα τυγχάνει. Ἄνελε οὖν πρῶτον τὴν ἑαυτοῦ τέχνην, τουτέστι τὴν γαστριμαργίαν καὶ τὸ ἁβροδίαιτον, καὶ οὕτως εὐκόλως περιτέμνειν τὴν σαυτοῦ δυνήσῃ τῶν χρημάτων ὕλην. Βαρὺ γὰρ οἶμαι, τέχνης παρούσης, ὄργανον μὴ τυγχάνειν. Ὁ γὰρ μὴ ἀποβαλὼν τὸ πρῶτον, πῶς τὸ δεύτερον ἐξῶσαι δυνήσεται; Διὰ τοῦτο καὶ ὁ Σωτήρ, πρὸς τὸν πλούσιον διαλεγόμενος, οὐκ ἀθρόως αὐτῷ τὴν ἀποβολὴν τῶν χρημάτων προστάσσει· ἀλλὰ προερωτᾷ αὐτόν, εἰ τὰ τοῦ νόμου πεποίηκε. Καὶ διδασκάλου γνησίου πρόσωπον ἀναδεξάμενος ὁ Κύριος ἐρωτᾷ· Εἰ τὰ στοιχεῖα ἔμαθες, εἰ τὰς συλλαβὰς παρείληφας, καὶ ἁπλῶς εἰ τῶν ὀνομάτων ἐν ἕξει γέγονας, δεῦρο λοιπὸν καὶ ἐπὶ τὴν τελειοτάτην ἀνάγνωσιν· τουτέστιν· «Ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δεῦρο ἀκολούθει μοι.[1]» Καὶ τάχα οἶμαι, ὡς εἰ μὴ τὰ ἐξετασθέντα ἦν ὑποσχόμενος πεποιηκέναι, οὐκ ἂν αὐτὸν ἐπὶ τὴν ἀκτημοσύνην προετρέψατο. Πῶς γὰρ ἂν ἠδύνατο πρὸς ἀνάγνωσιν ὁρμῆσαι, τὴν τῶν συλλαβῶν ἀγνοῶν δύναμιν;

33. Καλὴ οὖν ἡ ἀκτημοσύνη τοῖς ἐν ἕξει τῶν καλῶν γεγενημένοις· πάντων γὰρ τῶν περιττῶν τὴν ἀποβολὴν ποιησάμενοι, πρὸς τὸν Κύριον φέρουσι τὸ νεῦμα, τὸ θεῖον ἐκεῖνο ᾄδοντες λόγιον καθαρῶς, τὸ λέγον· «Οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς σὲ ἐλπίζουσι· καὶ σὺ δίδως τὴν τροφὴν τοῖς ἀγαπῶσί σε ἐν εὐκαιρίᾳ.[2]»

34. Ἄλλως τε πάλιν μεγάλην ὠφέλειαν εἰσπράττονται· μὴ ἔχοντες γὰρ τὸν νοῦν πρὸς τὸν ἐν γῇ θησαυρόν, τὴν οὐρανῶν βασιλείαν ἀμφιέννυνται, καὶ τὸ ὑπὸ τοῦ ὑμνῳδοῦ Δαυὶδ ῥῆμα ἐκτελοῦσι σαφῶς, τὸ λέγον· «Κτηνώδης ἐγενήθην παρὰ σοί.[3]» Ὥσπερ γὰρ τὰ ὑποζύγια τὴν ἰδίαν ἐργασίαν ποιούμενα, ταῖς πρὸς τὸ ζῆν τροφαῖς μόναις ἀρκοῦνται· οὕτω καὶ οἱ τῆς ἀκτημοσύνης ἐργάται, τὴν μὲν τοῦ ἀργυρίου χρῆσιν ὡς μηδὲν οὖσαν λογίζονται, πρὸς μόνην δὲ τὴν ἐφήμερον τροφὴν τὴν διὰ τοῦ σώματος ἐργασίαν ποιοῦνται. Οὗτοι τῆς πίστεως τὴν κρηπῖδα κατέχουσι· πρὸς αὐτοὺς γὰρ εἴρηται παρὰ τοῦ Κυρίου τὸ μὴ μεριμνᾶν περὶ τῆς αὔριον· καὶ ὅτι, «Τὰ πετεινὰ τοῦ οὐρανοῦ οὐ σπείρει, οὐδὲ θερίζει, καὶ ὁ Πατὴρ ὁ οὐράνιος τρέφει αὐτά.[4]» Τούτοις τοῖς λόγοις ἐθάρρησαν (Θεὸς γὰρ ὁ λαλήσας), πεπαρρησιασμένως τὸ γραφικὸν ἐκεῖνο φθέγγονται ῥῆμα, τὸ λέγον· «Ἐπίστευσα, δι' ὃ ἐλάλησα.[5]»

---

1. Ματθ. 19, 21. 2. Ψαλμ. 144, 15. 3. Ψαλμ. 72, 23. 4. Ματθ. 6, 26. 5. Ψαλμ. 115, 1.

35. Καὶ ὁ ἐχθρὸς δὲ ἐπὶ τῶν ἀκτημόνων πλέον ἡττᾶται· τί γὰρ βλάψη, οὐκ ἔχει. Αἱ γὰρ πλεῖσται τῶν λοιπῶν καὶ τῶν πειρασμῶν ἐν ταῖς ἀφαιρέσεσι τῶν χρημάτων γίνονται. Τί γὰρ ἔχει ποιῆσαι τοῖς ἀκτήμοσιν; οὐκ ἔχει. Χωρία ἐμπρῆσαι; οὐ πάρεστιν. Ὑποζύγια φθεῖραι; ἀλλ' οὐδὲ ταῦτα ἔχουσι. Φιλτάτοις ἅψασθαι; ἀλλὰ καὶ τούτοις μακρὰν χαίρειν εἶπον. Οὐκοῦν μεγίστη κατὰ τοῦ ἐχθροῦ τιμωρία καὶ πολύτιμος τῇ ψυχῇ θησαυρὸς ἡ ἀκτημοσύνη.

36. Ὅσον μὲν οὖν αὕτη θαυμαστὴ καὶ ὑπέρογκος εἰς ἀρετήν, τοσοῦτον εἰς κακίαν φαύλη καὶ μοχθηρὰ ἡ φιλαργυρία· καὶ ἀληθῶς ὁ θεσπέσιος Παῦλος περὶ ταύτης εἴρηκεν· ὡς πάντων αὐτὴν τῶν κακῶν αἰτίαν εἶναι.[1] Ἐπιθυμία γὰρ τοῦ πλούτου, ἐπιορκία, κλοπή, ἁρπαγή, πορνεία, φθόνος, μισαδελφία, πόλεμος εἰδωλολατρεία, πλεονεξία καὶ αἱ παραφυάδες τούτων, ὑπόκρισις, κολακεία, κατάγελως· πάντων οὖν τούτων αἰτία ὡμολόγηται ἡ φιλαργυρία. Ὅθεν δικαίως αὐτὴν πάντων τῶν κακῶν μητέρα ὁ Ἀπόστολος ὠνόμασεν. Οὐ μόνον δὲ ὁ Θεὸς τούτους τιμωρεῖται· ἀλλά γε καὶ οἴκοθεν ἑαυτοὺς καταφθείρουσιν· ἀκόρεστον γὰρ φέροντες τὴν κακίαν, οὐκ ἔχουσι τέλος τοῦ σκοποῦ, ὅθεν ἀνίατος αὐτοῖς ἡ πληγή. Ὁ μηδὲν ἔχων ὀλίγων ἐπιθυμεῖ· καὶ τυχὼν τούτων, τῶν πλειόνων ὀρέγεται· Ἑκατὸν χρυσίνους ἔχει, καὶ γλίχεται τῶν χιλίων· καὶ τούτων εὐπορήσας, πρὸς ἄπειρον φέρει τὸ νεῦμα. Καὶ οὕτω, μὴ ἔχοντες ἑαυτῶν στῆναι τὸ τέλος, ἀεὶ πενίαν ὀδύρονται. Φέρει δὲ ἡ φιλαργυρία μεθ' ἑαυτῆς ἀεὶ τὸν φθόνον. Φθείρει δὲ καὶ οὗτος πρῶτον τὸν κτησάμενον. Ὥσπερ γὰρ ἡ ἔχιδνα γεννωμένη πρῶτον τὴν ἰδίαν μητέρα φθείρει, πρὶν ἂν ἄλλους ἀδικήσῃ· οὕτω καὶ ὁ φθόνος τὸν κτησάμενον καταμαραίνει, πρὶν ἂν τοὺς ἐκ γειτόνων διανεμηθῇ.

37. Μέγα ἦν χρῆμα, εἰ τοσούτους ἠδυνάμεθα ὑπομένειν πόνους, ζητοῦντες τὸ δόκιμον ἀργύριον, ὅσοις ἀνηκέστοις περιπίπτουσιν οἱ τοῦ ματαίου κόσμου θηραταί. Ναυάγια ὑπομένουσι, πειρατηρίοις προσομιλοῦσι, λησταῖς κατὰ γῆς περιπίπτουσιν· ἀνέχονται λοιπὸν ζάλης καὶ πνευμάτων βιαίων· καὶ πολλάκις κερδαίνοντες, πένητας ἑαυτοὺς φάσκουσι διὰ τοὺς φθονοῦντας. Ἡμεῖς δὲ οὐδόλως τῶν τοιούτων κινδύνων κατατολμῶμεν ὑπὲρ τοῦ ἀληθινοῦ κέρδους. Εἰ δέ ποτε καὶ μικροῦ τινος εὐπορήσωμεν, μεγαλύνομεν ἑαυτάς, ἐπιδεικνύμεναι τοῖς ἀνθρώποις· καὶ πολλάκις οὐδὲ τὸ γιγνόμενον προφέρομεν εἰς διήγησιν· εὐθέως δὲ καὶ ὃν δοκοῦμεν σπινθῆρα καλοῦ ἔχειν, ὑπὸ τοῦ ἐχθροῦ κλεπτόμεθα. Κἀκεῖνοι δέ, πολλὰ κερδαίνοντες, τῶν πλειόνων ἐφίενται· καὶ τὰ μὲν παρόντα ὡς οὐδὲν ἡγοῦνται, πρὸς δὲ τὰ μὴ παρόντα ἀποτείνονται. Ἡμεῖς δέ, καὶ μηδὲν ἔχουσαι τῶν ζητουμένων, οὐδὲν θέλομεν κτήσασθαι· καὶ πενίαν ἐσχάτην νοσοῦσαι, πλουσίας ἑαυτὰς ἀναγορεύομεν. Καλὸν οὖν τὸν εὖ πράττοντα μηδενὶ ἀναγγέλλειν·

1. Πρβλ. Α' Τιμ. 6, 10.

μᾶλλον γὰρ οἱ τοιοῦτοι ζημιωθήσονται· καὶ γὰρ «ὃ δοκοῦσιν ἔχειν ἀρθήσεται ἀπ᾿ αὐτῶν.[1]»

38. Πᾶσαν οὖν σπουδὴν δέον θέσθαι ὑπὲρ τὸ λανθάνειν τὸ κέρδος. Οἱ δὲ τὰ ἑαυτῶν κατορθώματα διηγούμενοι πειράσθωσαν καὶ τὰ σὺν αὐτοῖς ἐλαττώματα λέγειν· εἰ δὲ ταῦτα κρύπτουσιν, ἕνεκεν τοῦ μὴ παρὰ τῶν ἀκουόντων ψεχθῆναι, πολὺ μᾶλλον ἐκεῖνα φυλακτέον, ὡς ἐκ τοῦ Θεοῦ ἀλλοτριοῦντα. Καὶ γοῦν οἱ κατ᾿ ἀρετὴν βιοῦντες τὸ ἀνάπαλιν ποιοῦσι, καὶ τὰ σμικρὰ ἑαυτῶν πταίσματα μετὰ καὶ προσθήκης ὧν οὐκ ἔπραξαν, ἐκδιηγοῦνται, τὴν δόξαν τῶν ἀνθρώπων ἀποβάλλοντες· τὰ μέντοι ἀγαθὰ κρύπτοντες, πρὸς ἀσφάλειαν τῆς ψυχῆς. Ὥσπερ γὰρ θησαυρὸς φανερωθεὶς σπανίζεται, οὕτω καὶ ἀρετὴ γνωριζομένη καὶ δημοσιευομένη ἀφανίζεται· ὥσπερ γὰρ κηρὸς λύεται ἀπὸ προσώπου πυρός, οὕτω καὶ ψυχὴ ἀπὸ ἐπαίνων διαχεῖται καὶ ἀποβάλλει τὸν τόνον.

39. Καὶ τὸ ἐναντίον δὲ τούτων πάλιν ἔσται· εἰ γὰρ ἡ θερμότης ἔλυσε τὸν κηρόν, ἡ ψύξις ἄρα τὴν πῆξιν αὐτοῦ ποιήσεται· καὶ εἰ ἔπαινος ἀφαιρεῖται τοῦ τόνου τὴν ψυχήν, πάντως ὀνειδισμὸς καὶ ὕβρις εἰς μέγεθος αὐτὴν τῆς ἀρετῆς ἄγει· «Χαίρετε» γάρ, φησί, «καὶ ἀγαλλιᾶσθε[2]», ὅτ᾿ ἂν πᾶν ψεῦδος εἴπωσι καθ᾿ ὑμῶν οἱ ἄνθρωποι. Καὶ ἀλλαχοῦ φησιν· «᾿Εν θλίψει ἐπλάτυνάς με.[3]» Καὶ πάλιν· «᾿Ονειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν.[4]» Καὶ ἄλλα δὲ μυρία ἀγαθὰ τοιαῦτα ἐκ τῶν ἁγίων Γραφῶν ἐστι τῇ ψυχῇ προσοδευόμενα θεάσασθαι.

40. Ἔστι λύπη ἐπωφελής, καὶ ἔστι λύπη φθοροποιός. Τῆς μὲν οὖν χρησίμης λύπης τὸ μέν ἐστι περὶ τῶν οἰκείων ἁμαρτιῶν στένειν· τὸ δὲ καὶ περὶ τῆς τῶν πλησίον ἀγνωσίας· τὸ δὲ πρὸς τὸ μὴ ἐκπεσεῖν τῆς προθέσεως· τὸ δὲ καὶ ἀφικνεῖσθαι τοῦ τέλους τῆς ἀγαθωσύνης. Ταῦτα μὲν οὖν τῆς γνησίας καὶ ἀγαθῆς λύπης τὰ εἴδη. Καὶ ἄλλη δέ τις λύπη, τοῦ ἐχθροῦ ὑποτιθεμένου, ἥτις ταύταις προσφύεσθαι οἶδεν. ᾿Εμβάλλει γὰρ καὶ αὐτὸς λύπην ἀλογίας μεστήν· ἥπερ καὶ ἀκηδία πρός τινων ὠνόμασται. Δεῖ οὖν τοῦτο τὸ πνεῦμα εὐχῇ μάλιστα ἀποσοβεῖν καὶ ψαλμῳδίᾳ.

41. Τῶν οὖν ἀγαθῶν μεριμνῶν ἐχομένας ἡμᾶς, οὐ χρὴ οἴεσθαί τινα ἐν τῷ βίῳ ἀφρόντιδα εἶναι. Φησὶ γὰρ ἡ Γραφή· «Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην.[5]» ᾿Εν ἑνὶ λόγῳ τὸ ἅγιον Πνεῦμα συνέγραψε τόν τε μονήρη βίον καὶ τὸν κοσμικόν. Διὰ μὲν γὰρ τοῦ πόνου τῆς κεφαλῆς, τὸν μονήρη αἰνίττεται τρόπον· κεφαλὴ γὰρ τὸ ἡγεμονεῦον· «Τοῦ γὰρ σοφοῦ», φησίν, «οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ.[6]» Τὸ οὖν διορατικόν, ὡς οἶμαι, ἐν αὐτῇ τυγχάνει. Τὸν δὲ πόνον εἶπε, διότι πᾶσα ἀρετῆς βλάστη ἐκ πόνων κατορθοῦται. Διὰ δὲ τῆς ἐν τῇ

---

1. Λουκ. 8, 18. 2. Ματθ. 5, 12. 3. Ψαλμ. 4, 2. 4. Ψαλμ. 68, 21. 5. ῾Ησ. 1, 5. 6. ᾿Εκκλησ. 2, 14.

καρδίᾳ λύπης, τὸ ἄστατον καὶ μοχθηρὸν ἐδήλωσεν ἦθος. Θυμοῦ γὰρ καὶ λύπης οἰκητήριον, τὴν καρδίαν τινὲς ἔφασαν· μὴ δοξαζόμενοι, λυποῦνται· τῶν ἀλλοτρίων ὀρεγόμενοι, τήκονται· πενόμενοι, δυσφοροῦσι· πλουτοῦντες, ἐκμαίνονται, διὰ τὴν τῶν παρόντων φυλακὴν μηδὲ ὕπνου τυγχάνοντες.

42. Μὴ οὖν ἡμεῖς ὑποσυρῶμεν τῷ φρονήματι, λέγουσαι τοὺς ἐν τῷ κόσμῳ ἀμερίμνους τυγχάνειν. Τάχα γὰρ ὡς πρὸς σύγκρισιν μᾶλλον ἡμῶν κοπιῶσι. Ταῖς δὲ γυναιξὶν ὡς ἐπίπαν μεγάλη ἐν τῷ κόσμῳ ἡ ἀπέχθεια· τίκτουσι γὰρ χαλεπῶς καὶ ἐπικινδύνως, καὶ τληπαθοῦσι πρὸς τὴν γαλακτοτροφίαν, καὶ νοσοῦσι τοῖς παιδίοις συννοσοῦσι· καὶ ταῦτα ὑπομένουσι, τέλος τοῦ κόπου μὴ ἔχουσαι. Ἢ γὰρ τὸ σῶμα πηροῦται τὰ κυηθέντα, ἢ κακοφροσύνῃ ἀναχθέντα δολοφονεῖ τοὺς γεννήσαντας. Ταῦτα οὖν εἰδυῖαι, μὴ δελεασθῶμεν ὑπὸ τοῦ ἐχθροῦ, ὡς ἀνέτου καὶ ἀμερίμνου τυγχάνοντος τοῦ βίου. Γεννῶσαι μὲν γάρ, διὰ τῶν πόνων φθείρονται· μὴ τίκτουσαι δέ, ὡς στεῖραι καὶ ἄγονοι ὑπὸ τῶν ὀνειδισμῶν τήκονται.

43. Ταῦτα δὲ ὑμῖν λέγω πρὸς τὸ ἀσφαλίζεσθαι ἀπὸ ἐναντίου. Οὐ πᾶσι δὲ πέφυκεν ἁρμόδια τὰ λεγόμενα, ἀλλὰ μόνοις τοῖς τὸν μονήρη βίον ἐθέλουσιν. Ὥσπερ γὰρ τοῖς ζῴοις οὐ μία τροφή, οὕτως οὐδὲ τοῖς ἀνθρώποις ὁ αὐτὸς λόγος συμφέρει· «Οὐ δεῖ γὰρ οἶνον νέον βαλεῖν» φησίν, «εἰς ἀσκοὺς παλαιούς.[1]» Ἄλλως γὰρ ἑστιῶνται οἱ θεωρίας καὶ γνώσεως ἐμφορούμενοι, ἑτέρως δὲ οἱ ἀσκητικῆς, καὶ πρακτικῆς ἀπογευόμενοι, καὶ πρὸς δύναμιν οἱ κατὰ τὸν κόσμον δικαιοπραγοῦντες. Ὥσπερ γὰρ τῶν ζῴων τινὰ μέν ἐστι χερσαῖα, τινὰ δὲ ἔνυδρα, τινὰ δὲ πτηνά· οὕτως καὶ οἱ ἄνθρωποι οἱ μὲν τὸν μέσον βίον κατέχουσιν ὡς τὰ χερσαῖα· οἱ δὲ πρὸς τὰ ὕψη ἐνατενίζουσιν, ὡς τὰ πετεινά· οἱ δὲ τοῖς ὕδασι τῶν ἁμαρτιῶν εἰσι κεκαλυμμένοι, ὡς οἱ ἰχθύες· «Ἦλθον γάρ», φησίν, «εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.[2]» Καὶ τοιαύτη μὲν ἡ τῶν ζῴων φύσις· ἡμεῖς δέ, ὡς ἀετοὶ πτεροφυήσασαι, ἐπὶ τὰ ὑψηλότερα ἐπιβῶμεν, καὶ «καταπατήσωμεν λέοντα καὶ δράκοντα·[3]» καὶ τοῦ ποτε ἄρχοντος νῦν ἄρξωμεν. Τοῦτο δὲ ποιήσομεν ἐὰν ὅλην ἑαυτῶν τὴν διάνοιαν τῷ Σωτῆρι προσενέγκωμεν.

44. Ἀλλὰ ὅσον ἡμεῖς κορυφούμεθα πρὸς τὰ ὕψη, κἀκεῖνος ἐμποδίζειν πειρᾶται διὰ τῶν ἰδίων παγίδων· Καὶ τί μέγα ἔχειν ἡμᾶς ἀντιπάλους πρὸς τὸ ἀγαθὸν ὁρμώσας ὅπου γε καὶ πρὸς τὰ εὐτελῆ φθονοῦσι, καὶ γοῦν τοὺς ὑπὸ τὴν γῆν τεθαμμένους θησαυροὺς οὐ συγχωροῦσι λαμβάνειν ἀνθρώπους. Εἰ οὖν καὶ πρὸς τὴν γηΐνην φαντασίαν ἀντίκεινται, πόσῳ μᾶλλον πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν φθονήσουσιν;

45. Δεῖ οὖν κατ᾽ αὐτῶν παντοίως ὁπλίζεσθαι· καὶ γὰρ καὶ ἔξωθεν εἰσελαύνουσι, καὶ οὐδὲν ἧττον ἐκ τῶν ἔξωθεν κινοῦνται. Καὶ ἡ ψυχή, καθάπερ ναῦς, ποτὲ μὲν ὑπὸ τῶν ἔξωθεν τρικυμιῶν καταποντίζεται,

1. Ματθ. 9, 17. 2. Ψαλμ. 68, 3. 3. Ψαλμ. 90, 13.

ποτὲ δὲ ὑπὸ τῆς ἔνδοθεν ἀντλίας ὑποβρύχιος γίνεται. Καὶ γοῦν καὶ ἡμεῖς ποτὲ μὲν διὰ τῶν ἐκτὸς πρακτικῶν ἁμαρτημάτων ἀπολλύμεθα, ποτὲ δὲ διὰ τῶν ἔνδον λογισμῶν ἀφανιζόμεθα. Δεῖ οὖν καὶ τὰς ἔξωθεν τῶν πνευμάτων ἐπιτηρεῖν προσβολάς, καὶ τὰς ἔνδον τῶν λογισμῶν ἐξαντλεῖν ἀκαθαρσίας, πάντοτε δὲ γρηγορεῖν πρὸς τοὺς λογισμούς· συνεχῶς γὰρ ἐφίστανται. Ἐπὶ μὲν ταῖς ἔξωθεν τρικυμίαις, βοώντων τῶν ναυτῶν, πολλάκις ἡ σωτηρία διὰ τῶν ἐγγυτάτων πλοίων γίνεται· αἱ δὲ ἀντλίαι, καὶ κοιμωμένων πολλάκις τῶν πλωτήρων, καὶ ἡσυχαζούσης τῆς θαλάσσης, ἐπισυμβαίνουσι, καὶ πολλάκις αὐτοὺς θανατοῦσιν.

46. Δεῖ οὖν ἐπιπονωτέραν ποιεῖσθαι πρὸς τοὺς λογισμοὺς τὴν διάνοιαν. Ὁ γὰρ ἐχθρός, καθάπερ οἶκον τὴν ψυχὴν καθελεῖν βουλόμενος, ἢ ἀπὸ τῶν θεμελίων ποιεῖται αὐτῆς τὴν πτῶσιν, ἢ ἀπὸ τῆς ὀροφῆς ἀρχόμενος, πᾶσαν αὐτὴν καταφέρει, ἢ καὶ διὰ τῶν θυρίδων εἰσελθών, πρῶτον τὸν οἰκοδεσπότην δεσμεῖ, καὶ οὕτως χειροῦται τὰ πάντα. Θεμέλιος μὲν οὖν ἐστι τὰ καλὰ ἔργα, ὀροφὴ δὲ ἡ πίστις, θυρίδες δὲ αἱ αἰσθήσεις. Διὰ πάντων δὲ πολεμεῖ ὁ ἐχθρός. Ὅθεν πολυόφθαλμον δεῖ εἶναι τὸν σωθῆναι βουλόμενον. Οὐκ ἔχομεν ἐνταῦθα τὸ ἀμέριμνον· φησὶ γὰρ ἡ Γραφή· «Βλεπέτω ὁ ἑστηκὼς μὴ πέσῃ.[1]»

47. Ἐν ἀδήλῳ πλέομεν· θάλασσα γὰρ ὁ βίος ἡμῶν ὑπὸ τοῦ ἱεροῦ ψάλτου Δαυὶδ εἴρηται. Ἀλλὰ τῆς θαλάσσης τὰ μέν εἰσι πετρώδη, τὰ δὲ καὶ θηρίων πλήρη, τινὰ δὲ καὶ γαληνά. Ἡμεῖς ἐν τῷ γαληνῷ μέρει τῆς θαλάσσης δοκοῦμεν πλέειν, οἱ δὲ κοσμικοὶ ἐν κινδυνώδεσι· καὶ ἡμεῖς μὲν ἡμέρας πλέομεν ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης ὁδηγούμενοι, ἐκεῖνοι δὲ ἐν νυκτί, ὑπὸ τῆς ἀγνωσίας φερόμενοι. Ἀλλὰ ἐνδέχεται πολλάκις τὸν κοσμικὸν ἐν χειμῶνι καὶ ἐν σκότει τυγχάνοντα, βοήσαντα καὶ ἀγρυπνήσαντα, σῶσαι τὸ ἑαυτοῦ σκάφος· ἡμᾶς δὲ ἐν γαλήνῃ, ὑπὸ ἀμελείας βυθισθῆναι, τὸ πηδάλιον τῆς δικαιοσύνης ἀφέντας.

48. Βλεπέτω οὖν ὁ στήκων μὴ πέσῃ. Ὁ μὲν γὰρ πεσὼν μίαν ἔχει φροντίδα, τοῦ ἀναστῆναι· ὁ δὲ στήκων φυλαττέσθω τοῦ μὴ πεσεῖν. Καὶ γὰρ τὰ παραπτώματα διάφορα· οἱ μὲν γὰρ πεσόντες τοῦ μὲν στήκειν ἐστέρηνται· κείμενοι δέ, οὐ πάνυ τι ἐβλάβησαν. Ὁ δὲ ἑστὼς μὴ εὐτελιζέτω τὸν πεπτωκότα, ἀλλ' ἑαυτὸν φοβείσθω, μὴ πεσὼν διαφθαρῇ, καὶ εἰς κατώτερον ἀπέλθῃ βόθρον. Εἰκὸς γάρ, καὶ τῆς κραυγῆς ἡττηθείσης ὑπὸ τοῦ βάθους τοῦ φρέατος, μὴ βοήθειαν αἰτῆσαι. Φησὶ γὰρ ὁ δίκαιος· «Μὴ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.[2]» Ὁ πρῶτος πεσὼν ἔμεινεν. Ὅρα σεαυτόν, μὴ καταπεσὼν καὶ σὺ θοίνη θηρίων γένῃ. Ὁ πεσὼν οὐκ ἀσφαλίζεται τὴν θύραν· σὺ δὲ μηδόλως νυστάξῃς· ἀλλ' ἀεὶ τὸ θεῖον ἐκεῖνο μελῴδει ῥητόν, τὸ φάσκον· «Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον.[3]» Ἀγρύπνει δὲ διηνεκῶς διὰ τὸν ὠρυόμενον λέοντα.

---

1. Α' Κορ. 10, 12. 2. Ψαλμ. 68, 16. 3. Ψαλμ. 12, 4.

49. Ταῦτα τὰ ῥήματα συντελεῖ πρὸς τὸ μὴ ὑπεραίρεσθαι. Ὁ πεσὼν ἐν τῷ ἐπιστρέψαι καὶ στενάξαι σωθήσεται. Ὅρα σὺ σαυτὴν ἡ στήκουσα. Διπλοῦς γάρ σοι ὁ φόβος ἐπίκειται, ἢ τοῦ μὴ ἐπιστρέψαι πρὸς τὰ ἀρχαῖα, δι' ὀλιγωρίας σοι τοῦ ἐχθροῦ προσπεσόντος ἢ τοῦ μὴ τρέχουσαν σκελισθῆναι. Ὁ γὰρ ἐχθρὸς ἡμῶν διάβολοι ἢ ὄπισθεν ἕλκει πρὸς ἑαυτόν, ὁπηνίκα βραδεῖαν καὶ νωθρὰν τὴν ψυχὴν θεάσηται· ἢ δοκοῦσαν αὐτὴν σπουδαίαν εἶναι καὶ ἐπίπονον πρὸς ἄσκησιν, ἐπεισέρχεται λεπτῶς καὶ κεκρυμμένως διὰ τῆς ὑπερηφανίας· καὶ οὕτως αὔτανδρον τὴν ψυχὴν ἀπόλλυσι. Τοῦτο τὸ ὅπλον ἔσχατον καὶ κορυφαιότατον πάντων ἐστὶ τῶν κακῶν. Ἐξ αὐτοῦ ὁ διάβολος καταβέβληται, καὶ δι' αὐτοῦ τοὺς δυνατωτέρους τῶν ἀνθρώπων πειρᾶται καθαιρεῖν. Ὥσπερ γὰρ οἱ δεινότατοι τῶν πολεμιστῶν, μετὰ τὸ δαπανῆσαι τὰ λεπτότερα βέλη, τὸ τηνικαῦτα ἔτι ἐπικρατούντων τῶν μαχητῶν, προβάλλονται τὴν ἰσχυροτέραν πάντων μάχαιραν, οὕτως καὶ ὁ διάβολος, μετὰ τὸ πρῶτα αὐτοῦ ἀποδαπανῆσαι ἄγκιστρα, τότε τῷ τελευταίῳ χρᾶται ξίφει, τῇ ὑπερηφανίᾳ. Τίνες δὲ ἦσαν αὐτοῦ αἱ πρῶται παγίδες; Δῆλον, ὡς γαστριμαργία, φιληδονία, πορνεία. Ταῦτα γὰρ μάλιστα τὰ πνεύματα ἐπὶ τῶν νεωτερικῶν ἡλικιῶν συμβαίνουσιν. Ἐπακολουθεῖ δὲ τούτοις φιλαργυρία, πλεονεξία, καὶ τὰ τούτοις ὅμοια. Ἡ οὖν ἀθλία ψυχή, ὅταν τούτων τῶν παθῶν περιγένηται, ὁπηνίκα γαστρὸς κρατήσῃ, ὅτε καὶ τὰς ὑπογαστρίους ἡδονὰς ὑπερπηδήσῃ τῇ σεμνότητι, ὅτε ἀργυρίου καταφρονήσῃ· τότε πανταχόθεν ὁ κακόφρων, ἀπορηθείς, ὑποβάλλει τῇ ψυχῇ ἄτακτον κίνησιν· μεγεθύνει γὰρ αὐτὴν ἀπρεπῶς κατὰ τῶν ἀδελφῶν ἐπαίρεσθαι. Βαρὺ καὶ ὀλέθριον τοῦτο τοῦ ἐχθροῦ τὸ δηλητήριον. Πολλοὺς ἀθρόως ἐν τούτῳ σκοτίσας κατέβαλεν. Ὑποβάλλει γὰρ τῇ ψυχῇ ἔννοιαν νόθον καὶ θανατηφόρον. Κατειληφέναι γὰρ αὐτὸν φαντάζει τὰ παρὰ τοῖς πολλοῖς ἀγνοούμενα, καὶ ὅτι ἐν νηστείαις ὑπερβάλλει· καὶ πλῆθος αὐτῷ ἀνδραγαθημάτων προστίθησι· πάντων δὲ ὧν ἥμαρτεν εἰς λήθην αὐτὸν φέρει, πρὸς τὸ κατὰ τῶν συνόντων ἐπαίρεσθαι. Ὑποκλέπτει γὰρ αὐτοῦ ἐκ τοῦ νοῦ τὰ πλημμελήματα· οὐ πρὸς ὠφέλειαν δὲ αὐτοῦ τοῦτο ποιεῖ, ἀλλὰ πρὸς τὸ μὴ δυνηθῆναι αὐτὸν εἰπεῖν τὴν ἰατρικὴν ἐκείνην φωνήν, τό, «Σοὶ μόνῳ ἥμαρτον [1]», «ἐλέησόν με.[2]» Οὔτε μὴν συγχωρήσει αὐτῷ λέγειν, «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.[3]» Ἀλλ' ὥσπερ αὐτὸς κατὰ διάνοιαν εἶπε τό· «Ἀναβήσομαι, καὶ θήσομαι τὸν θρόνον μου·[4]» οὕτως καὶ τοῦτον φαντάζει εἰς ἀρχάς τε καὶ πρωτοκαθεδρίας, ἔτι δὲ διδασκαλίας, καὶ ἰαμάτων ἐκδόσεις. Ἡ οὖν οὕτως ἀπατωμένη ψυχὴ φθείρεται καὶ ἀπόλλυται, δυσιάτῳ ἕλκει πληγεῖσα.

50. Τί οὖν δεῖ ποιεῖν, τῶν τοιούτων λογισμῶν παρόντων; Ἀδιαλείπτως μελετᾶν τὸ θεῖον ἐκεῖνο λόγιον, ὅπερ ὁ μακάριος Δαυὶδ

---

1. Ψαλμ. 50, 6. 2. Ψαλμ. 6, 3. 9, 14. 3. Ψαλμ. 110, 1. 4. Ἡσ. 14, 13.

ἐβόα, λέγων τό· «Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος.[1]» Καὶ ἐν ἑτέρῳ φησίν· «Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός.[2]» Ἔτι γε μὴν καὶ τὸ τοῦ Ἡσαΐου ἀκουέτω ῥῆμα τὸ λέγον, ὡς «Πᾶσα δικαιοσύνη ἀνθρώπου ὡς ῥάκος ἀποκαθημένης.[3]» Καὶ εἰ μὲν ἀναχωρούσῃ καθ' ἑαυτὴν οἱ λογισμοὶ οὗτοι παρεισέλθωσιν, ἐν κοινοβίῳ εἰσερχέσθω· ἀναγκαζέσθω δὲ καὶ δεύτερον ἐσθίειν τῆς ἡμέρας, εἴ γε δι' ὑπερβολὴν ἀσκήσεως τούτῳ ἑάλῳ τῷ πάθει· καὶ παρὰ τῶν συνηλίκων δὲ ἐπιτιμάσθω, καὶ ὀνειδιζέσθω, καὶ ἐπιτιμάσθω σφοδρῶς, ὡς μηδὲν μέγα πράττουσα· πᾶσαν δὲ ὑπηρεσίαν ποιείσθω. Προσαγέσθωσαν δὲ καὶ βίοι ἁγίων ἐξοχώτατοι εἰς ἐξήγησιν· πειράσθωσαν δὲ αἱ συνελθοῦσαι ἐπιτείνειν ἑαυτῶν τοὺς πόνους πρὸς ἄσκησιν τὰς ὀλίγας ἡμέρας, πρὸς τὸ ἐκείνην, θεασαμένην τὸ μέγεθος τῶν ἀρετῶν, ἐλάττονα καὶ ἑαυτὴν ἡγεῖσθαι.

51. Προηγεῖται δὲ τῆς νόσου ταύτης ἕτερον κακόν, ἡ παρακοή· ὅθεν διὰ τοῦ ἐναντίου τῆς ὑπακοῆς, δυνατὸν τὴν σηπεδονώδη νομὴν τῆς ψυχῆς περικαθᾶραι· «Ὑπακοὴ» γάρ, φησίν, «ὑπὲρ θυσίαν.[4]»

52. Δεῖ οὖν καθαιρεῖν ὄγκον δόξης ἐν καιρῷ, καὶ ἐπαινεῖν δὲ πάλιν καὶ θαυμάζειν ἐν καιρῷ. Εἰ γὰρ ἀμελὴς καὶ νωθρὰ εὑρεθῇ ἡ ψυχή, ἔτι γε μὴν καὶ ὑποναρκοῦσα εἰς τὴν τοῦ καλοῦ προκοπήν, ἐπαινεῖν ταύτην προσήκει· καὶ εἰ μικρὸν ποιήσει τι χρηστόν, θαυμάζειν καὶ μεγεθοποιεῖν δέον αὐτήν. Καὶ τὰ σφοδρὰ καὶ ἀπάνθρωπα πλημμελήματα ὡς ἐλάχιστα καὶ οὐδαμινὰ λεκτέον· ὁ γὰρ διάβολος, βουλόμενος πάντα διατρέφειν, ἐπὶ μὲν τῶν σπουδαίων καὶ ἀσκητικῶν κρύπτειν πειρᾶται τὰ προγεγονότα ἁμαρτήματα· τὴν γὰρ ὑπερηφανίαν αὐξῆσαι βούλεται· ἐπὶ δὲ τῶν νεηλύδων καὶ ἀκροπαγῶν ψυχῶν, πάντα τὰ ἁμαρτήματα αὐτῶν πρὸ ὀφθαλμῶν τίθησιν. Ἐμβάλλει γὰρ αὐτῇ ὅτι, Σοὶ πορνευσάσῃ ποία ἔσται συγγνώμη; Καὶ τῇ ἄλλῃ φησίν· Οὕτω σου πλεονεκτησάσης, ἀδύνατόν σε σωτηρίας τυχεῖν. Τὰς οὖν οὕτω σαλευομένας ψυχὰς παραμυθητέον οὕτως· δεῖ γὰρ πρὸς αὐτὰς οὕτω λέγειν· Ῥαὰβ πόρνη ἦν, ἀλλ' ἐσώθη διὰ πίστεως· Παῦλος διώκτης ἦν ἀλλὰ σκεῦος ἐκλογῆς γέγονε· Ματθαῖος τελώνης ἦν, ἀλλ' οὐδεὶς τὴν χάριν τούτου ἀγνοεῖ· καὶ ὁ λῃστὴς ἐσύλα καὶ ἐφόνευεν, ἀλλὰ πρῶτος τὴν θύραν ἀνέῳξε τοῦ παραδείσου. Τούτοις οὖν ἐνατενίζουσα, μὴ ἀπογνῷς τῆς σεαυτῆς ψυχῆς.

53. Ἐπεὶ δὲ ταῦτα ταύταις εὑρήσεις ἁρμόδια, δεῖ καὶ τῶν τῇ ὑπερηφανίᾳ ἁλισκομένων ποιεῖσθαι αὐτὴν τὴν θεραπείαν. Φάσκειν γὰρ δεῖ πρὸς αὐτήν· Τί φυσιοῦσαι; Ὡς κρέα μὴ ἐσθίουσα; ἄλλοι οὐδὲ ἰχθὺν ὁρῶσι. Καὶ εἰ οἶνον οὐ πίνεις, σκόπησον, ὡς ἄλλοι οὔτε ἔλαιον ἐσθίουσιν. Ἕως ὀψὲ νηστεύεις; ἄλλαι δὲ δύο καὶ τρεῖς ἡμέρας συνάπτουσιν ἄσιτοι. Ἀλλ' ὅτι οὐ λούῃ μέγα φρονεῖς; πολλοὶ καὶ διὰ πάθος σωματικὸν οὐδ' ὅλως τούτῳ ἐχρήσαντο. Ἀλλὰ θαυμάζεις σεαυτήν,

1. Ψαλμ. 21, 7. 2. Γεν. 18, 27. 3. Ἡσ. 64, 6. 4. Α' Βασ. 15, 22.

ὅτι ἐν χαραδρίῳ καθεύδεις καὶ ἐν τριχίνῃ στρωμνῇ; ἄλλαι δὲ χαμευνοῦσι διηνεκῶς. Ἀλλ' εἰ καὶ τοῦτο ποιήσειας, οὐδὲν μέγα· τινὲς γὰρ καὶ λίθους ἑαυταῖς ὑπέβαλον, πρὸς τὸ μὴ καθ' ἡδονὴν τῶν φυσικῶν τυχεῖν· ἄλλοι δὲ καὶ ἐκρέμασαν ἑαυτοὺς δι' ὅλης τῆς νυκτός. Ἀλλ' εἰ καὶ ταῦτα πάντα ποιήσειας, καὶ τὴν ἀκροτάτην ἄσκησιν ἐπιτελέσειας, μὴ μέγα φρονήσῃς· καὶ γὰρ τὰ δαιμόνια πλείω τῶν σῶν πεποιήκασι καὶ ποιοῦσιν· οὔτε γὰρ ἐσθίουσιν, οὔτε πίνουσιν, οὔτε γαμοῦσιν, οὔτε ὑπνοῦσιν· ἀλλὰ καὶ ἐν ἐρήμῳ διάγουσιν, εἴ γε καὶ ἐν σπηλαίῳ οἰκοῦσα δοκεῖς μέγα τε ποιεῖν.

54. Οὕτω μὲν οὖν, καὶ ἐκ τοιούτων λογισμῶν, δυνατὸν ἰάσασθαι τὰ ἐναντία πάθη· τήν τε ἀπόγνωσιν λέγω καὶ τὴν ὑπερηφανίαν. Ὥσπερ γὰρ σφοδρῶς ἐκφυσώμενον πῦρ, διασκορπιζόμενον ἀπόλλυται, καὶ μὴ τυχὸν δὲ πνεύματος πάλιν φθείρεται· οὕτω καὶ ἡ ἀρετὴ ἀφίπταται δι' ὑπεροψίαν, κἂν πολλὴν σφοδρότητα ἀσκήσεως λάβῃ· καὶ φθείρεται δὲ πάλιν ἐξ ἀμελείας τὸ καλόν, ὅταν μηδ' ὅλως κινήσωμεν ἑαυτοὺς πρὸς ῥιπισμὸν τοῦ θείου Πνεύματος. Μάχαιρα ἔπακμος ῥᾳδίως ὑπὸ λίθου κατάγνυται· καὶ ἄσκησις ἐπιτεταμένη συντόμως ἐκ τοῦ ὑπερηφανεύεσθαι ἀπόλλυται. Ὅθεν προσήκει πανταχόθεν ἀσφαλίζεσθαι τὴν ψυχήν, καὶ τὴν ἀκροτάτην ἄσκησιν ἐκ τοῦ καύσωνος τῆς ὑπερηφανίας περικαιομένην ὑποκάμπτειν πρὸς τοὺς σκιώδεις τόπους, ἔσθ' ὅτε καὶ περιτέμνειν τὰ περιττά, πρὸς τὸ τὴν ῥίζαν εὐθαλεστέραν γενέσθαι.

55. Τὸν δὲ τῇ ἀπογνώσει ἁλισκόμενον ἀνωρεπῇ βιάζεσθαι ποιεῖν τοῖς προειρημένοις λογισμοῖς. Καὶ γὰρ σφόδρα ἡ ψυχὴ χαμαιπετὴς τυγχάνει. Καὶ γοῦν τῶν γεηπόνων οἱ ἄριστοι, ἐπειδὰν φυτὸν βραχὺ καὶ ἀσθενὲς θεάσωνται, ποτίζουσι δαψιλῶς καὶ ἐπεμελείας πολλῆς ἀξιοῦσι πρὸς τὸ αὐξηθῆναι. Ἐπειδὰν δὲ ἐν φυτῷ πρόωρον βλάστην θεάσωνται, περιτέμνουσιν αὐτοὶ τὰ περιττά· φιλεῖ γὰρ ταῦτα ἑτοίμως ξηραίνεσθαι. Καὶ ἰατρῶν δὲ παῖδες τινὰς μὲν τῶν ἀρρώστων τρέφουσι δαψιλῶς, καὶ πρὸς περίπατον προτρέπονται· ἑτέρους δὲ δεσμεύοντες ἀσίτους ἐπὶ πολὺ φυλάττουσιν.

56. Φανερὸν οὖν ἔστιν, ὡς μέγιστον ἐν κακοῖς ἡ ὑπερηφανία τυγχάνει· καὶ τοῦτο δείκνυσιν αὐτῆς τὸ ἐναντίον, ἡ ταπεινοφροσύνη. Δυσχερές ἐστι κτήσασθαί τινα τὴν ταπεινοφροσύνην. Εἰ μὴ γάρ τις πάσης δόξης ἐκτὸς γένηται, τούτου τοῦ θησαυροῦ τυχεῖν οὐ δυνήσεται. Οὕτω δέ ἐστι μεγάλη ἡ ταπεινοφροσύνη, ὡς πάσας τὰς ἀρετὰς μιμεῖσθαι δοκεῖν τὸν διάβολον, ταύτην δὲ μηδὲ εἰδέναι τί ὅλως ἐστίν. Εἰδὼς δὲ αὐτῆς τὸ ἀσφαλὲς καὶ ἑδραῖον ὁ ἀπόστολος, προστάττει ἡμῖν ταύτην ἐγκομβώσασθαι[1], καὶ πάντας ποιοῦντας τὰ ἐπωφελῆ, ταύτην περιβάλλεσθαι. Κἄν τε γὰρ νηστεύῃς, κἄν τε ἐλεῇς, κἄν τε διδάσκῃς· εἰ δὲ καὶ σώφρων τυγχάνῃς καὶ συνετός, πάλιν ταύτην ἀντὶ

1. Πρβλ. Α' Πέτρ. 5, 5.

τοιχίου ἀρραγοῦς σεαυτῷ παράστησον. Σφιγγέτω σου καὶ συνεχέτω σου τὰς ἀρετὰς αὕτη ἡ καλλίστη τῶν ἁπασῶν ἀρετῶν, ἡ ταπεινοφροσύνη. Ὁρᾷς καὶ τὴν τῶν ἁγίων τριῶν παίδων ὑμνολογίαν, ὅπως τῶν ἄλλων ἀρετῶν οὐ πάνυ τι μνημονεύσαντες, τοὺς ταπεινοὺς σὺν τοῖς ὑμνοῦσι συγκατηριθμήσαντο[1], μὴ εἰρηκότες σώφρονας ἢ ἀκτήμονας. Ὥσπερ γὰρ ἀδύνατον ναῦν χωρὶς ἥλων κατασκευασθῆναι, οὕτως ἀδύνατον σωθῆναι χωρὶς ταπεινοφροσύνης.

57. Ὅτι δὲ ἀγαθὴ καὶ σωτήριος πέφυκεν, ὁ Κύριος, πρὸς ἀνθρώπους οἰκονομίαν πληρῶν, αὐτὴν ἠμφιάσατο. Φησὶ γάρ· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.[2]» Ὅρα τίς ὁ λέγων, τελείως μαθήτευσον. Ἀρχή σοι καὶ τέλος τῶν ἀγαθῶν ἡ ταπεινοφροσύνη γινέσθω. Φρόνησιν λέγω [λέγει] ταπεινήν, οὐ σχῆμα μόνον, τὸν ἐντὸς ἄνθρωπον αἰνίττεται· ἀκολουθήσει γὰρ τούτῳ καὶ ὁ ἐκτός. Πάσας τὰς ἐντολὰς πεποίηκας; Οἶδεν ὁ Κύριος· ἀλλ' αὐτός σοι ἐντέλλεται πάλιν ἀρχὴν δουλείας λαμβάνειν· φησὶ γάρ· «Ὅταν πάντα ποιήσητε, εἴπατε· Δοῦλοι ἀχρεῖοι ἐσμεν.[3]»

58. Ἡ οὖν ταπεινοφροσύνη κατορθοῦται δι' ὀνειδισμῶν, δι' ὕβρεων, διὰ πληγῶν· ἵνα ἀκούσῃς ἄφρων καὶ μωρός, πένης καὶ πτωχός, ἀσθενὴς καὶ εὐτελής, ἀπρόκοπος ἐν ἔργοις, ἄλογος ἐν προφορᾷ, ἄτιμος ἐν εἴδει, ἀσθενὴς ἐν δυνάμει. Ταῦτα τῆς ταπεινοφροσύνης τὰ νεῦρα. Ταῦτα ὁ Κύριος ἡμῶν ἤκουσε καὶ πέπονθε. Σαμαρείτην γὰρ αὐτὸν εἶπαν καὶ δαιμόνιον ἔχοντα. Δούλου μορφὴν ἀνείληφεν, ἐρραπίσθη, πληγαῖς ᾐκίσθη.

59. Δεῖ οὖν καὶ ἡμᾶς μιμεῖσθαι τὴν ἔμπρακτον ταύτην ταπεινοφροσύνην. Εἰσὶ μὲν οὖν τινες καὶ διὰ τῶν ἐκτὸς σχημάτων ὑποκρινόμενοι, καὶ ταπεινοῦντες ἑαυτούς, αὐτῷ τούτῳ δόξαν θηρώμενοι· ἀλλ' ἐκ τῶν καρπῶν ἐπιγιγνώσκονται· καὶ γὰρ ἐπιπολαίως ὑβρισθέντες, οὐκ ἤνεγκαν· ἀλλὰ παραυτὰ ὄφεις τὸν ἑαυτῶν ἰὸν ἐξέμεσαν.

60. Ἐπὶ τοῖς λόγοις δὲ τούτοις ἠγαλλιῶντο αἱ συνελθοῦσαι σφόδρα, καὶ πάλιν προσεκαρτέρουν, κόρον τῶν ἀγαθῶν μὴ λαμβάνουσαι. Καὶ πάλιν πρὸς αὐτὰς ἔλεγεν ἡ μακαρία. Ἀγών ἐστι πολὺς τοῖς προσερχομένοις Θεῷ καὶ κόπος τὰ πρῶτα, ἔπειτα δὲ χαρὰ ἀνεκδιήγητος. Ὥσπερ γὰρ οἱ πῦρ ἐξάψαι βουλόμενοι πρῶτον καπνίζονται καὶ δακρύουσι, καὶ οὕτως τοῦ ζητουμένου τυγχάνουσι· καὶ γάρ φησιν· «Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον·[4]» οὕτω δεῖ καὶ ἡμᾶς τὸ θεῖον πῦρ εἰς ἑαυτοὺς ἐξάψαι μετὰ δακρύων καὶ κόπου. Αὐτὸς γάρ φησιν ὁ Κύριος· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν.[5]» Καί τινες δι' ὀλιγωρίαν τοῦ μὲν καπνοῦ ἠνέσχοντο, τὸ δὲ πῦρ οὐκ ἐξῆψαν, διὰ τὸ μακροθυμίας αὐτοὺς ἐκτὸς εἶναι, καὶ μᾶλλον αὐτῶν τὴν περὶ τὸ θεῖον σχέσιν ἀσθενῆ καὶ ἀμυδρὰν τυγχάνειν.

---

1. Πρβλ. Δαν. (Ὕμν. 64). 2. Ματθ. 11, 29. 3. Λουκ. 17, 10. 4. Ἑβρ. 12, 29. 5. Λουκ. 12, 49.

61. Ὅθεν μέγα κειμήλιον ἡ ἀγάπη· καὶ περὶ ταύτης δὲ διαβεβαιούμενος ὁ Ἀπόστολος ἔλεγεν, ὡς Ἐὰν πάντα τὰ ὑπάρχοντα διανείμῃς, καὶ τὸ σῶμα ὑποπιάσῃς, ἀγάπην δὲ μὴ ἔχῃς, γέγονας χαλκὸς ἠχῶν καὶ κύμβαλον ἀλαλάζον.[1]» Μέγα οὖν ἐν ἀγαθοῖς ἡ ἀγάπη, ὡς καὶ δεινὸν ἐν κακοῖς ὁ θυμός· πᾶσαν γὰρ τὴν ψυχὴν σκοτίσας καὶ ἀποθηριώσας, εἰς ἀλογίαν φέρει. Ὁ δὲ Κύριος, πανταχόσε τῆς σωτηρίας ἡμῶν κηδόμενος, οὐδ' ὅλως συνεχώρησε βραχύ τι ἀσκεπὲς τῆς ψυχῆς. Λαγνείαν κινεῖ ὁ ἐχθρός; σωφροσύνῃ ἡμᾶς ὁ Κύριος ὥπλισεν. Ὑπερηφανίαν γεννᾷ; ἀλλ' ἡ ταπεινοφροσύνη οὐ μακρὰν τυγχάνει. Μῖσος ἐνεφύσησεν; ἀλλ' ἡ ἀγάπη ἐν μέσῳ παρίσταται. Ὅσα οὖν ὁ ἐχθρὸς καθ' ἡμῶν κινεῖ βέλη, πλείοσιν ἡμᾶς ὁ Κύριος ὅπλοις ἠσφαλίσατο, πρός τε τὴν ἡμῶν σωτηρίαν καὶ πρὸς τὴν ἐκείνου κατάπτωσιν.

62. Κακὸν μὲν ἐν κακοῖς ὁ θυμός. «Ὀργή», γάρ, φησίν, «ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται.[2]» Δεῖ οὖν αὐτὸν ἡνιοχεῖν· ὅτι ἐν καιρῷ χρήσιμος ὤφθη· θυμοῦσθαι γὰρ καὶ κινεῖσθαι κατὰ τῶν δαιμόνων συμφέρει. Πρὸς δὲ ἄνθρωπον σφοδρῶς κινεῖσθαι οὐ προσήκει, κἂν ἁμαρτήσας τυγχάνῃ· ἐπιστρέφειν δὲ αὐτὸν δεῖ μετὰ τὸ παύσασθαι τὸ τῆς ὀργῆς πάθος.

63. Καὶ τὸ μὲν ὀργίζεσθαι ὡς ἐν κακοῖς ἔλαττον· ἡ δὲ μνησικακία πάντων ἐστὶ βαρυτέρα. Ὁ γὰρ θυμὸς ὥσπερ καπνὸς πρὸς ὀλίγον θολώσας τὴν ψυχὴν διαλύεται· ἡ δὲ μνησικακία ὥσπερ ἐναποπαγεῖσα τῇ ψυχῇ, θηρίου αὐτὴν δεινοτέραν ποιεῖ· καὶ κύων μέν, κατά τινος ἐκμανείς, ὑπὸ τῆς τροφῆς θωπευθείς, μεταβάλλεται τῆς ὀργῆς· καὶ τἄλλα δὲ θηρία ὑπὸ τῆς συνηθείας μειλίσσεται· ὁ δέ γε τῇ μνησικακίᾳ κρατούμενος οὐ παρακλήσει πείθεται, οὐ τροφῇ πραΰνεται, οὔτε μὴν ὁ πάντα μεταβάλλων χρόνος τὸ πάθος τούτου ἰάσατο. Οὗτοι οὖν ἀσεβέστατοι πάντων εἰσὶ καὶ ἀνομώτατοι. Οὐ γὰρ ὑπακούουσι τοῦ Σωτῆρος λέγοντος, ὡς «Ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου· καὶ οὕτω πρόσαγε τὸ δῶρόν σου·[3]» καὶ ἀλλαχοῦ· «Μὴ ἐπιδυέτω», φησίν, «ὁ ἥλιος ἐπὶ παροργισμῷ ὑμῶν.[4]»

64. Καλὸν μὲν οὖν τὸ μὴ ὀργισθῆναι· εἰ δὲ καὶ γένηται, οὐδὲ μέτρον σοι ἡμέρας πρὸς τὸ πάθος συνεχώρησεν, εἶπε γὰρ μὴ ἐπιδῦναι τὸν ἥλιον. Σὺ δὲ ἐκδέχῃ, ἕως ἂν ὁ πᾶς σου χρόνος δύῃ. Οὐκ οἶδας εἰπεῖν· «Ἀρκεῖ τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.[5]» Τί μισεῖς τὸν λυπήσαντα ἄνθρωπον; Οὐκ αὐτὸς ἦν ὁ ἀδικήσας, ἀλλ' ὁ διάβολος. Μίσησον τὴν νόσον, καὶ μὴ τὸν νοσοῦντα· «Τί ἐγκαυχᾷ ἐν κακίᾳ, δυνατέ;[6]» Περὶ ὑμῶν τοῦτο ὁ ψαλμὸς ἐβόησεν· «Ἀνομίαν» γάρ, φησίν, «ὅλην τὴν ἡμέραν·[7]» τουτέστι, πάντα τὸν τῆς ζωῆς σου χρόνον παρακούεις τοῦ νομοθέτου τοῦ λέγοντος· Μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν. Φησὶ δέ, ὡς «Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου·[8]» οὐ παύῃ

---

1. Πρβλ. Α' Κορ. 13,1. 2. Ἰακ. 1,20. 3. Ματθ. 5,24. 4. Ἐφεσ. 4,26. 5. Ματθ. 6, 34. 6. Ψαλμ. 51, 3. 7. Ψαλμ. 51, 3. 8. Ψαλμ. 51, 4.

γὰρ βλασφημῶν τὸν ἀδελφόν σου. Ὅθεν δικαία σοι ἡ τιμωρία παρ' αὐτοῦ τοῦ Ὑμνῳδοῦ ἐκ τοῦ Πνεύματος προσφέρεται· «Διὰ τοῦτο γάρ», φησίν, «ὁ Θεὸς καθελεῖ σε εἰς τέλος, ἐκτίλαι σε καὶ μεταναστεῦσαί σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.[1]» Ταῦτα τῷ μνησικάκῳ τὰ δῶρα· ταῦτα τῆς κακίας τὰ ἔπαθλα.

65. Φυλάττεσθαι οὖν δέον ἀπὸ μνησικακίας· πολλὰ γὰρ αὐτῇ ἀκολουθοῦσι δεινά, φθόνος, λύπη, καταλαλιά. Θανατηφόρος ἡ τούτων κακία, κἂν μικρὰ δοκῇ τυγχάνειν. Ταῦτα μὲν γὰρ ὥσπερ βέλη λεπτὰ τοῦ ἐχθροῦ τυγχάνουσι. Καὶ πολλάκις τὰ ἀπὸ διστόμου μαχαίρας καὶ μείζονος ξίφους τραύματα, οἷά ἐστι πορνεία καὶ πλεονεξία, καὶ φόνος, ἰάθησαν πολλάκις διὰ τοῦ σωτηρίου φαρμάκου τῆς μετανοίας· ὑπερηφανία δέ, ἢ μνησικακία, ἢ καταλαλιά, ὥσπερ μικρὰ δοκοῦντα εἶναι βέλη, λανθανόντως ἀνεῖλαν, κατὰ τῶν καιριωτέρων τῆς ψυχῆς μορίων παγέντα. Ταῦτα δὲ οὐ τῷ μεγέθει ἀναιρεῖ τῆς πληγῆς, ἀλλὰ τῇ ἀμελείᾳ τῶν τρωθέντων· ὡς μηδενὸς γὰρ ὄντων καταφρονήσαντες τῆς τε καταλαλιᾶς καὶ τῶν λοιπῶν, κατὰ μικρὸν ὑπ' αὐτῶν διεφθάρησαν.

66. Βαρὺ οὖν καὶ μοχθηρὸν ἡ καταλαλιά· τροφὴ γὰρ καὶ ἀνάπαυλά τινων ἀνθρώπων τυγχάνει. Σὺ δὲ μὴ παραδέξῃ ἀκοὴν ματαίαν, μὴ τῶν ἀλλοτρίων κακῶν δοχεῖον γένῃ. Ἀπέριττον σεαυτοῦ τὴν ψυχὴν παρασκεύαζε. Ὑποδεξαμένη γὰρ τὴν δυσώδη τῶν λόγων ἀκαθαρσίαν, κηλῖδας τῇ εὐχῇ σου προσάξεις διὰ τῶν λογισμῶν, καὶ ἀναιτίως μισήσεις τοὺς ἐντυγχάνοντας. Καταβαφείσης γάρ σου τῆς ἀκοῆς ὑπὸ τῆς τῶν κακολογούντων ἀπανθρωπίας, ἀγεννῶς πᾶσιν ἐνατενίσεις· καθάπερ ὁ ὀφθαλμός, χρώματι ἀκρατέστερον προληφθείς, ἀδιάκριτον ἔχει περὶ τὰ ὁρώμενα τὴν φαντασίαν.

67. Δεῖ οὖν φυλάττεσθαι τὴν γλῶτταν καὶ τὴν ἀκοήν, πρὸς τὸ μήτε λέγειν τι τοιοῦτον, μήτε ἀκούειν ἐμπαθῶς. Γέγραπται γάρ, ὡς «Μὴ ἀκοὴν ματαίαν παραδέξασθαι·[2]» καί, Τὸν καταλαλοῦντα λάθρα τῷ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.[3]» Ἐν δὲ τῷ Ψαλμῳδῷ φησιν· «Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων.[4]» Ἡμεῖς δὲ καὶ τὰ μὴ ἔργα λαλοῦμεν. Δέον οὖν μὴ πιστεύειν τοῖς λεγομένοις, μήτε μὴν κατακρίνειν τοὺς λέγοντας· ἀλλὰ κατὰ τὴν θείαν Γραφὴν ποιεῖν καὶ λέγειν· «Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα μου.[5]»

68. Οὐ δεῖ ἐπὶ συμφορᾷ ἀνθρώπου ἐπιχαίρειν, κἂν πάνυ ἁμαρτωλὸς ὑπάρχῃ. Τινὲς μὲν γάρ, θεασάμενοι μαστιζόμενον ἢ φυλακιζόμενον, ἀμαθῶς τὴν κοσμικὴν ἐκείνην παροιμίαν ἔφασαν, τὴν λέγουσαν, ὡς Ὁ στρώσας κακῶς ταλαιπωρήσει ἐν τῷ δείπνῳ. Σὺ οὖν, ἡ καλῶς στρώσασα ἑαυτῇ τὰ πράγματα, θαρρεῖς ἀναπαυθῆναι ἐν τῷ βίῳ;

1. Ψαλμ. 51, 7. 2. Ἔξ. 23, 1. 3. Ψαλμ. 100, 5. 4. Ψαλμ. 16, 4. 5. Ψαλμ. 37, 14.

Καὶ τί ποιήσομεν τὸν λέγοντα ὡς, «Ἓν συνάντημα τῷ δικαίῳ καὶ τῷ ἁμαρτωλῷ;[1]» Ἡ γὰρ ἐνταῦθα ἡμῶν διαγωγὴ μία ἐστί, κἂν διάφορον πολιτείαν ἔχωμεν.

69. Οὐ δεῖ μισεῖν τοὺς ἐχθρούς. Καὶ γὰρ ὁ Κύριος τῇ ἰδίᾳ φωνῇ τοῦτο ἡμῖν προσέταξε. Φησὶ γάρ, ὡς «Μὴ μόνον τοὺς ἀγαπῶντας ἀγαπᾶτε· τοῦτο γὰρ καὶ οἱ ἁμαρτωλοὶ καὶ οἱ τελῶναι ποιοῦσι.[2]» Τὸ γὰρ καλὸν οὐ δεῖται τέχνης καὶ ἀγῶνος πρὸς θήραν· ἑαυτῷ γὰρ ἐφέλκεται τοὺς ἀγαπῶντας· τὸ δὲ φαῦλον τῆς θείας διδασκαλίας χρήζει πρὸς ἀπάλειψιν, καὶ κόπου πολλοῦ. Οὐ γὰρ ἀνέτων καὶ ἀμερίμνων ἐστὶν ἡ βασιλεία οὐρανῶν, ἀλλὰ βιαστῶν.

70. Ὥσπερ οὖν οὐ δεῖ τοὺς ἐχθροὺς μισεῖν, οὕτως οὐδὲ τοὺς ἀμελεῖς καὶ ῥαθύμους φεύγειν καὶ μυκτηρίζειν. Τινὲς μὲν οὖν τὸ γραφικὸν ἐκεῖνο ῥητὸν ἑαυτοῖς προσφέρουσιν, ὡς «Μετὰ ὁσίου ὅσιος ἔσῃ[3]», «καὶ μετὰ στρεβλοῦ συνδιαστρέψεις.[4]» Διὰ τοῦτο, φησίν, ἀποφεύγομεν τοὺς ἁμαρτωλοὺς πρὸς τὸ παρ' αὐτῶν μὴ διαστραφῆναι. Ἀγνοίᾳ ψυχῆς οἱ τοιοῦτοι τὰ ἐναντία πράττουσι. Προστάττει γὰρ τὸ Πνεῦμα τὸ ἅγιον οὐ μετὰ τῶν στρεβλῶν συνδιαστραφῆναι, ἀλλὰ τῆς στρεβλῆς αὐτοὺς ἐπανορθώσασθαι. Συνδιαστρέψεις γάρ, τουτέστι, συνελκύσεις αὐτὸν πρὸς σεαυτόν, ἐκ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά.

71. Τρεῖς γνωμῶν ἰδέαι κατὰ τὸν τῶν ἀνθρώπων βίον τυγχάνουσιν· ὧν ἡ μὲν πρώτη ἐστὶ τῆς ἀκροτάτης κακίας, ἡ δὲ δευτέρα μέσης τινὸς καταστάσεως· ὥσπερ γὰρ πρὸς τὰς ἀμφοτέρας σκοπεῖ τῶν ὁποτέρων μετέχουσα· ἡ δὲ τρίτη, εἰς μέγεθος θεωρίας ἀχθεῖσα, οὐ μόνον ἑαυτὴν συσφίγγει, ἀλλά γε καὶ τὰς τελευταίας πειρᾶται χειραγωγεῖν. Οἱ μὲν οὖν κακοὶ τῶν ἀνθρώπων, τοῖς χείροσι μιγνύμενοι, ἐπὶ πλείω τῶν δεινῶν ποιοῦνται τὴν αὔξησιν· οἱ δέ γε μέσοι ἀποφεύγειν τοὺς ἀκολάστους πειρῶνται, αὐτὸ τοῦτο δεδοικότες, μὴ πάλιν ὑπ' αὐτῶν καθελκυσθῶσι· νήπιοι γὰρ ἔτι τῶν ἀρετῶν τυγχάνουσιν· οἱ δὲ τρίτοι, ἀνδρείαν τὴν γνώμην ἔχοντες καὶ κραταιὸν τὸ φρόνημα, συνδιάγουσι τοῖς φαύλοις καὶ συνδιαιτῶνται, σῶσαι αὐτοὺς βουλόμενοι. Καὶ γοῦν ὑπὸ τῶν ἔξωθεν ὀνειδίζονται· καὶ ὑπὸ τῶν θεωρούντων δὲ αὐτοὺς συνδιάγοντας τοῖς ἀμελεστέροις χλευάζονται· καὶ γὰρ αὐτοὺς ὡς ὁμοίους αὐτῶν διαβάλλουσιν. Οἱ δὲ ὡς ἐπαίνους τὰ παρὰ τῶν ἀνθρώπων ἀκούοντες, ἀδεῶς τὸ θεῖον ἔργον ἐκτελοῦσι. «Χαίρετε» γάρ, φησί, «καὶ ἀγαλλιᾶσθε[5]», ὅταν «πᾶν ψεῦδος εἴπωσι καθ' ὑμῶν[6]» οἱ ἄνθρωποι. Δεσποτικὴ μὲν οὖν τούτων ἡ πρᾶξις· καὶ γὰρ ὁ Κύριος μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἤσθιε· μᾶλλον δὲ φιλάδελφος ἡ τούτων γνώμη ἤπερ φίλαυτος. Ὥσπερ γὰρ ἐμπρησμοὺς οἰκιῶν ὁρῶντες τοὺς ἁμαρτάνοντας, καὶ τῶν ἰδίων καταφρονήσαντες, τὰ ἀλλότρια καὶ ἀπολλύμενα σῴζειν διισχυρίζονται· καὶ περιφλεγόμενοι ἐκ τῶν καυστικῶν ὕβρεων, ἀνέχονται. Οἱ δέ γε

---

1. Ἐκκλησ. 9,2. 2. Ματθ. 5,46. 3. Ψαλμ. 17,26. 4. Ψαλμ. 17,27. 5. Ματθ. 5, 12. 6. Ματθ. 5, 11.

μέσοι ἐὰν ἴδωσι τὸν ἀδελφὸν ὑπὸ τῆς ἁμαρτίας φλεγόμενον, ἀποφεύγουσι, δεδοικότες μὴ καὶ εἰς αὐτοὺς τὸ πῦρ διανεμηθῇ. Οἱ δέ γε τρίτοι, χαλεπῶν γειτόνων δίκην ἐπέχοντες, τοὺς καιομένους ἐπὶ πλεῖον ἐξάπτουσιν, ὕλας αὐτοὺς πρὸς ἀπώλειαν, τὴν οἰκείαν κακίαν προσφέροντες. Ὥσπερ γὰρ πισσηρῷ διαλαβόντες πλοίῳ, ἀντὶ ὕδατος κεδρίαν ἐπιβάλλουσιν. Οἱ δέ γε ἐναντίοι τούτοις, οἱ ἀγαθοί, τὰ οἰκεῖα κτήματα δεύτερα ἔθεντο τῆς ἐκείνων σωτηρίας. Ταῦτα τῆς ἀληθινῆς ἀγάπης τὰ τεκμήρια· οὗτοι τῆς εἰλικρινοῦς ἀγάπης οἱ φύλακες.

72. Ὥσπερ δὲ τὰ δεινὰ ἓν δι' ἑνὸς ἤρτηται· τῇ γὰρ φιλαργυρίᾳ ἀκολουθεῖ φθόνος, δόλος, ἐπιορκία, θυμός, μνησικακία, οὕτω τὰ ἐναντία τούτων τῆς ἀγάπης ἔχεται· πραΰτης δὴ λέγω καὶ μακροθυμία, καὶ ἀνεξικακία, καὶ τὸ τέλειον ἀγαθόν, ἡ ἀκτημοσύνη. Οὐκ ἐνδέχεται γάρ τινα ταύτης τῆς ἀρετῆς, λέγω δὴ τῆς ἀγάπης, ἐφικέσθαι, εἰ μὴ ἐκ τῆς ἀκτημοσύνης· οὐ γὰρ πρὸς ἕνα ἄνθρωπον ὁ Κύριος τὴν ἀγάπην ἐνετείλατο, ἀλλὰ πρὸς ἅπαντας. Οὐκοῦν οὐ δέον ἔχοντας παριδεῖν τοὺς χρῄζοντας. Ὑποκλέπτεται γὰρ τὸ τῆς ἀγάπης. Τὸ μὲν γὰρ πᾶσιν ἐξαρκεῖν ἀδύνατον ἀνθρώπῳ· Θεοῦ δὲ τοῦτο ἔργον.

73. Τί οὖν, φησίν, ὁ μὴ ἔχων, περὶ ἐλεημοσύνης ἀγωνίζῃ, καὶ αὕτη σοι πρόφασις τοῦ κτήσασθαι γίνεται; Κοσμικοῖς τοῦτο προστέτακται. Οὐ γὰρ τοσοῦτον πρὸς τὸ τραφῆναι τὸν πένητα ἡ ἐλεημοσύνη ὥρισται, ὅσον διὰ τὴν ἀγάπην. Ὁ γὰρ τὸν πλούσιον διοικῶν Θεὸς καὶ τὸν πένητα τρέφει. Περιττῶς οὖν ἡ ἐλεημοσύνη προσετάγη; Μὴ γένοιτο! ἀλλὰ ἀρχὴ τῆς ἀγάπης τοῖς μὴ εἰδόσι γίνεται. Ὥσπερ γὰρ ὑπογραμμὸς ἦν ἡ τῆς ἀκροβυστίας περιτομὴ τῆς καρδίας, οὕτως ἡ ἐλεημοσύνη τῆς ἀγάπης διδάσκαλος κατέστη. Οἷς οὖν ἡ ἀγάπη ἐκ χάριτος ἐδόθη περιττὴ ἡ ἐλεημοσύνη.

74. Οὐ διαβάλλουσα τὸν ἔλεον ταῦτα λέγω· ἀλλὰ τῆς ἀκτημοσύνης τὸ καθαρὸν δεικνύουσα. Μὴ γινέσθω οὖν κώλυσις τὸ ἔλαττον τοῦ μείζονος. Ἐν ὀλίγῳ τὸ μικρὸν κατώρθωσας· πάντα γὰρ ὑφ' ἓν δέδωκας· πρὸς τὸ μεῖζον λοιπὸν ἀνάνευσον, τὴν ἀγάπην, Σταυροφόρος γὰρ τυγχάνεις. Σὺ τὴν ἐλευθέραν φωνὴν ὀφείλεις εἰπεῖν, τό, «Ἰδοὺ πάντα ἀφήκαμεν, καὶ ἠκολουθήσαμέν σοι.[1]» Σὺ τὴν εὐπαρρησίαστον γλῶτταν τῶν ἀποστόλων μιμήσασθαι κατηξιώθης. Φησὶ γὰρ Πέτρος καὶ Ἰωάννης, ὡς «Χρυσίον καὶ ἀργύριον οὐχ ὑπάρχει μοι.[2]» Διπλῆ μὲν ἡ γλῶττα, ἀλλὰ μονότροπος ἡ πίστις.

75. Καὶ ἐν τοῖς κοσμικοῖς δὲ μὴ ἁπλῶς οὕτως ἐλεημοσύνη γινέσθω. Φησί, γάρ, ὡς «Ἔλαιον ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.[3]» Προσήκει οὖν τὸν ἐλεοῦντα Ἀβραμιαῖον ἔχειν τὸ φρόνημα, καὶ ὡς ἐκεῖνος τὸ δίκαιον δικαίως πράττειν. Φιλοξενῶν γὰρ ὁ δίκαιος, μετὰ τῆς ἑστίας καὶ τὴν γνώμην παρέθηκεν. Ἔστη γάρ, φησίν, ὑπηρετῶν, μὴ βουληθεὶς τοὺς οἰκέτας συμμεριστὰς τοῦ κέρδους

1. Ματθ. 19, 27. 2. Πράξ. 3, 6. 3. Ψαλμ. 140, 5.

γενέσθαι. Ἀληθῶς οἱ τοιοῦτοι μισθὸν τῆς ἐλεημοσύνης ἕξουσι, κἂν ἐν τῷ δευτέρῳ τάγματι τυγχάνωσιν. Ὁ γὰρ Κύριος, δημιουργήσας τὴν οἰκουμένην, διπλῆν ἐν αὐτῇ τῶν οἰκητόρων ἔθετο τὴν τάξιν. Τοῖς μὲν γὰρ σεμνῶς βιοῦσι διὰ τὴν παιδοποιίαν τὸν γάμον προσέταξε· τοῖς δὲ διὰ καθαρότητα βίου τὴν ἁγνείαν προσέταξεν, ἰσαγγέλους αὐτοὺς ποιῶν· καὶ τοῖς μὲν νόμους καὶ ἐκδικήσεις καὶ διδασκαλίας παρέδωκε· τούτοις δέ φησιν· «Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος.[1]» Ἐκεῖ φησιν· «Ἐργάσῃ τὴν γῆν·[2]» καὶ ὧδε «μὴ μεριμνῆσαι τῆς αὔριον[3]» κελεύει. Ἐκείνοις νόμον ἔδωκεν· ἡμῖν δὲ διὰ χάριτος αὐτοψεὶ τὰς ἐντολὰς ἐγνώρισεν.

76. Σταυρὸς ἡμῖν ἐστι τὸ τρόπαιον τῆς νίκης. Τὸ γὰρ ἐπάγγελμα ἡμῶν οὐδὲν ἄλλο ἐστὶν ἢ ἀποταγὴ βίου, μελέτη θανάτου. Ὥσπερ οὖν οἱ νεκροὶ οὐκ ἐνεργοῦσι τῷ σώματι, οὕτω καὶ ἡμεῖς. Ὅσα γὰρ ἦν δι' αὐτοῦ ἐπιτελέσαι, πεποιήκαμεν ὅτε ἦμεν νήπιοι. Φησὶ γὰρ ὁ Ἀπόστολος, ὡς «Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.[4]» Τῇ ψυχῇ ζῶμεν· αὐτῇ τὰς ἀρετὰς ἐπιδείξωμεν· κατὰ διάνοιαν ἐλεήσωμεν· «Μακάριοι γὰρ οἱ ἐλεήμονες[5]» τῇ ψυχῇ. Ὥσπερ γὰρ ἐκεῖ λέγει, ὅτι ὁ ἐπιθυμήσας κάλλους, καὶ δίχα τῆς πράξεως, ἀμάρτυρον τὴν ἁμαρτίαν εἰργάσατο, οὕτως ἐνταῦθα ἡ ἐλεημοσύνη εἴρηται, τῆς γνώμης τὴν πρᾶξιν τελούσης, κἂν τὸ ἀργύριον ἄπεστι, τῇ μείζονι ἀξίᾳ τετιμήμεθα.

77. Ὥσπερ γὰρ οἱ κατὰ τὸν κόσμον δεσπόται διαφόρους οἰκετῶν ὑπηρεσίας κέκτηνται· καὶ τοὺς μὲν ἐν τοῖς χωρίοις ἐκπέμπουσι, πρὸς τὸ τὰς γαίας ἐργάζεσθαι, καὶ τὴν τοῦ γένους διαδοχὴν φυλάττειν, τοὺς δέ, ἐὰν ἐπιεικεῖς καὶ περικαλλεῖς ἐξ αὐτῶν γενομένους θεάσωνται, ἐν τοῖς ἰδίοις οἴκοις μεθιστῶσι πρὸς τὴν ἑαυτῶν ὑπηρεσίαν, οὕτως καὶ ὁ Κύριος τοὺς μὲν τὸν σεμνὸν γάμον ἑλομένους, ἐν τῷ τοῦ κόσμου χωρίῳ ἔθετο· τοὺς δὲ τούτων βελτίονας, ὅσοι μάλιστα δεξιᾶς τετυχήκασι προαιρέσεως, ἑαυτῷ παρέστησεν εἰς λειτουργίαν. Οὗτοι πάντων τῶν γηΐνων πραγμάτων τυγχάνουσιν ἀλλότριοι· τῆς γὰρ Δεσποτικῆς τραπέζης ἠξίωνται. Οὐ μεριμνῶσι περὶ ἀμφιέσεως· Χριστὸν γὰρ ἐνδέδυνται.

78. Τῶν οὖν ἀφοτέρων ταγμάτων εἷς ἐστι δεσπότης ὁ Κύριος. Ὥσπερ γὰρ ἐκ τοῦ αὐτοῦ ἐστὶ καὶ τὸ ἄχυρον καὶ τὸ σπέρμα, οὕτως ἐκ τοῦ αὐτοῦ Θεοῦ εἰσι καὶ οἱ κατὰ τὸν κόσμον σεμνῶς βιοῦντες, καὶ οἱ τὸν μονήρη ἐπανῃρημένοι βίον. Καὶ γοῦν τῶν ἀμφοτέρων χρεία ἐστί· τῶν μὲν φύλλων πρὸς χρείαν καὶ φυλακὴν τοῦ σπέρματος, τοῦ δὲ καρποῦ ἀναγκαία ἡ κτῆσις· γένεσις γὰρ τοῦ παντὸς τυγχάνει. Ὥσπερ γὰρ οὐκ ἐγχωρεῖ κατὰ ταυτὸ καὶ βοτάνην εἶναι καὶ σπέρμα, οὕτως ἀδύνατον, τῆς κοσμικῆς δόξης ἡμῖν παρικειμένης, καρπὸν οὐρά-

1. Ῥωμ. 12, 19. 2. Γεν. 3, 23. 3. Ματθ. 6, 34. 4. Γαλ. 6, 14. 5. Ματθ. 5, 7.

νιον ποιῆσαι. Τῶν δὲ φύλλων ἀπορρυέντων, καὶ τῆς καλάμης ξηρανθείσης, ἐπιτήδειος ὁ στάχυς πρὸς θερισμόν ἐστι. Καὶ ἡμεῖς οὖν, ἀποβαλοῦσαι τὴν ἐκ γῆς φαντασίαν ἀντὶ τῶν φύλλων, καὶ ξηράνασαι ἑαυτῶν τὸ σῶμα ὡς τὴν καλάμην, ὑψώσασαι δὲ ἑαυτῶν τὸν λογισμὸν δυνησόμεθα σπέρμα σωτηρίας γεννῆσαι.

79. Ἐπικίνδυνον τὸν μὴ διὰ πρακτικοῦ βίου ἀχθέντα, διδάσκειν ἐπιχειρεῖν. Ὥσπερ γὰρ ἄν, εἴ τις οἰκίαν ἔχων σαθράν, ξένους ὑποδεξάμενος, βλάψει τῇ πτώσει τοῦ οἰκήματος, οὕτω καὶ οὗτοι, μὴ πρότερον ἑαυτοὺς ἀσφαλῶς οἰκοδομήσαντες, καὶ τοὺς προσελθόντας σὺν αὐτοῖς ἀπώλεσαν. Τοῖς μὲν γὰρ λόγοις προεκαλέσαντο εἰς σωτηρίαν, τῇ δὲ τοῦ τρόπου κακίᾳ, τοὺς συλλεγέντας μᾶλλον ἠδίκησαν. Ἡ μὲν γὰρ ψιλὴ τῶν λόγων ἔκθεσις ἔοικε γραφαῖς διὰ χρωμάτων εὐαποπτώτων συνιστάσαις, ἅστινας σμικρότατος χρόνος διέλυσεν ἀνέμων ῥιπαῖς καὶ ὑετῶν σταγόσι· τὴν δὲ ἔμπρακτον διδασκαλίαν οὐδ' ὁ πᾶς αἰὼν διαλῦσαι δυνηθείη. Τὰ γὰρ στερεὰ τῆς ψυχῆς ἐκκολάπτων ὁ λόγος, αἰώνιον ἄγαλμα Χριστοῦ τοῖς πιστοῖς δωρεῖται.

80. Δέον οὖν καὶ ἡμᾶς μὴ ἐπιπόλαιον τῆς ψυχῆς ποιεῖσθαι τὴν θεραπείαν, ἀλλ' ὅλην αὐτὴν δι' ὅλου κοσμεῖν, μάλιστα τοῦ βάθους μὴ ἀμελούσας. Τριχῶν ἐποιησάμεθα τὴν ἀφαίρεσιν· συναφέλωμεν καὶ τοὺς ἐν τῇ κεφαλῇ σκώληκας· μανάσαντες γὰρ οὗτοι, ἐπὶ πλεῖον ἡμᾶς ὀδυνήσουσι. Τὸ μὲν γὰρ τρίχωμα ἡμῶν ἦν ὁ κατὰ τὸν βίον κόσμος, τιμαί, δόξαι, χρημάτων κτῆσις, λαμπραὶ ἐσθῆτος στολαί, λουτρῶν χρήσεις, βρωμάτων ἀπολαύσεις. Ταῦτα ἐδόξαμεν ἀποβάλλειν· ἀλλὰ τοὺς ψυχοφθόρους σκώληκας μᾶλλον ἐξώσωμεν. Τίνες δέ εἰσιν οὗτοι; καταλαλιά, ἐπιορκία, φιλαργυρία. Ἡ οὖν κεφαλὴ ἡμῶν ἐστιν ἡ ψυχή· καὶ ἕως μὲν ἐν ταῖς ὕλαις τῶν κοσμικῶν πραγμάτων ἐσκέποντο τὰ θηρία, ἐδόκουν λανθάνειν· νῦν δέ, γυμνωθέντα, πᾶσίν ἐστιν ἔκδηλα· διὰ τοῦτο ἐν παρθένῳ ἢ ἐν μοναχῷ προφανῆ τυγχάνει καὶ τὰ εὐτελέστερα ἁμαρτήματα· ὥσπερ γὰρ ἐν καθαρῷ οἰκήματι καταφανὲς πᾶσι γίνεται τὸ ὀφθὲν θηρίον, κἂν βραχύτατον τυγχάνῃ· ἐν δὲ τοῖς κοσμικοῖς ὥσπερ ἐν ἀκαθάρτοις σπηλαίοις ἐμφωλεύοντα τὰ μέγιστα τῶν ἰοβόλων λανθάνει, ὑπὸ τῆς συνεχοῦς ὕλης καλυπτόμενα. Δέον οὖν ἐφ' ἡμῶν καθαίρειν τὸν οἶκον διηνεκῶς, καὶ περιβλέπεσθαι μή τι τῶν ψυχοφθόρων ζωϋφίων παρεισδύῃ ἐν τοῖς τῆς ψυχῆς ταμείοις· καὶ θυμιᾶν δὲ τοὺς τόπους τῷ θείῳ θυμιάματι τῆς προσευχῆς. Ὥσπερ γὰρ τὰ ἰοβόλα ζῷα τὰ δριμύτερα τῶν φαρμάκων ἀπελαύνει, οὕτω λογισμὸν ῥυπαρὸν εὐχὴ μετὰ νηστείας ἐκδιώκει.

81. Ἓν δὲ τῶν ψυχοφθόρων ἐστὶ θηρίων καὶ τὸ ὑποσυρῆναι παρὰ τῶν λεγόντων εἶναι εἱμαρμένην, ἥνπερ καὶ γένεσιν καλοῦσι. Κέντρον δέ ἐστι καὶ τοῦτο τοῦ διαβόλου δεινότατον. Καὶ ταῖς μὲν σπουδαίαις ψυχαῖς πολλάκις κατὰ νοῦν μόνον φαντασίαν λοιμικὴν κινῆσαν, ἀφίπταται· τῶν δὲ ἀμελεστέρων καὶ δεσπόζει. Οὐδεὶς γὰρ τῶν κατ' ἀρετὴν βιούντων ἐμπιστεύει ἢ παραδέχεται τὸ φρενοβλαβὲς καὶ μά-

ταιον τοῦτο φρόνημα· Θεὸν γὰρ ἀρχὴν πάντων τίθεται τῶν γενομένων καὶ γινομένων ἀγαθῶν· καὶ δευτέραν τὴν οἰκείαν γνώμην ἡγεμόνα καὶ κριτὴν καθίστησιν ἀρετῆς τε καὶ κακίας. Ὅσοι δὲ ἐξ ἀβουλίας τὰ ἐκ ῥᾳθυμίας πεπόνθασιν, εὐθὺς ἐκείνῳ τῷ δαιμονίῳ προσέρχονται. Ὥσπερ γὰρ παῖδες λειποτακτοῦντες καὶ μὴ φέροντες τὴν τῶν γονέων πρὸς ὠφέλειαν παίδευσιν, ἀποφοιτῶντες, τοὺς ἐρήμους καταλαμβάνουσι τόπους, καὶ ἀγρίοις καὶ μαρμαρώδεσι συνάπτονται δαίμοσιν· αἰδούμενοι γὰρ τὴν γνώμην τὴν αἰτίαν τιθέναι τῶν παρ' αὐτοῖς πραττομένων, συκοφαντοῦσι τὰ μὴ παρόντα.

82. Ἔτι γε μὴν καὶ τοῦ θείου ἑαυτοὺς ἀπωσάμενοι, ἐκ τῆς γενέσεως αὐτοῖς φάσκουσι τὰ καθ' ἡδονὴν προσγίνεσθαι. Πορνεύοντες γὰρ καὶ κλέπτοντες, φιλαργυρίαν τε νοσοῦντες καὶ δολοφροσύνην, αἰδούμενοι τὰς σφῶν αὐτῶν πράξεις, ἐξέκλιναν ἀπὸ τῆς ἀληθείας. Τὸ γὰρ τέλος αὐτῶν τοῦ σκοποῦ ἡ ὀλεθροφόρος αὐτοῖς ἐστιν ἀπόγνωσις. Ἀνάγκη γὰρ ἐκ τούτων τῶν λογισμῶν ἀφαιρεῖσθαι παρ' αὐτῶν τὸν Θεόν, καὶ προσέτι τὴν κρίσιν. Φησὶ γάρ, ὡς Εἰ τοῦτό μοι κέκριται, πορνεύειν ἢ πλεονεκτεῖν, περιττὴ ἡ κρίσις. Ἡ μὲν γὰρ δικαία τιμωρία ἑκουσίων ἐστὶ πταισμάτων· ἡ δὲ ὡς ἔκ τινος ἀρχῆς ἀκουσία πρᾶξις ἀναίτιον ποιεῖται τὸν δράσαντα· καὶ ἐκ τούτου ἀναιρεῖται μὲν ἡ κρίσις.

83. Πῶς δὲ καὶ τὸ θεῖον παρ' αὐτοῖς ἐκβάλλεται, ἀκουστέον. Φήσουσι γὰρ αὐτὸ ἢ πρῶτον, ἢ δεύτερον, ἢ ἀεὶ συνὸν τῇ αὐτῶν ματαιότητι. Εἰ μὲν οὖν πρωτεύειν εἴπωσι τὸν Θεόν, ἀνάγκη ἀκολουθήσει πάντα δι' αὐτοῦ γεγενῆσθαι· καὶ γὰρ αὐτὸς ἐν πᾶσιν· οὐκοῦν αὐτὸς τῆς εἱμαρμένης κύριος. Εἰ δὲ πλεονέκτης, ἢ πορνοκόπος ἐκ τῆς γενέσεως, ἀναγκαῖον διὰ μέσου τῆς γενέσεως τὸν Θεὸν αἴτιον τῆς κακίας ὑπάρχειν· ὅπερ ἄτοπον. Εἰ δὲ δεύτερον αὐτὸ πάλιν φήσουσιν, εἰκὸς αὐτὸ ὑπόδουλον γενέσθαι τῷ πρώτῳ· καὶ ὅπερ βούλεται τὸ ἡγούμενον, τούτῳ ἀναγκαίως ἀκολουθήσει τὸ ἑπόμενον· καὶ πάλιν τῶν κακῶν παρ' αὐτοῖς αἴτιος ὁ Θεός· ὅπερ ἀθέμιτον. Εἰ δὲ καὶ συναΐδιον αὐτὸ ἐθέλουσιν εἶναι, πάντως μάχην πρὸς ἑαυτὰ κινήσουσιν ἐναντίας ἔχοντα φύσεις. Ἐκ τούτων οὖν τῶν λογισμῶν, ὡς ἐν κεφαλαίῳ ἀνήρηται αὐτῶν ἡ ματαία ὑπόνοια. Περὶ τούτων εἴρηκεν ἡ Γραφή, ὥς φησιν· «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός·[1]» καί, «Εἰς τὸ ὕψος ἐλάλησαν ἀνομίαν.[2]»

84. Καὶ προφασίζονται δὲ ἑαυτοῖς προφάσεις ἐν ἁμαρτίαις. Ἀκρωτηριάζουσι γὰρ τὰς Γραφάς, τυφλώττοντες, ἐξ αὐτῶν τὴν κακοφροσύνην αὐτῶν πληροφορεῖν βουλόμενοι. Καὶ πρῶτον μὲν ἐκ τοῦ Εὐαγγελίου, τὸν ἑαυτῶν ἰὸν ἐξεμεῖν πειρώμενος, ἐκβιάζονται· φησὶ γάρ, ὡς «Τοῦ δὲ Χριστοῦ ἡ γένεσις οὕτως ἦν.[3]» Τὴν γέννησιν γὰρ αὐτοῦ γένεσιν ἡ θεία Γραφὴ ὠνόμασεν. Ἔτι γε μὴν καὶ τὸ πρὸς ἀνθρώπους αὐτὸν οἰκονομικῶς γενέσθαι ἀκολούθως γένεσις ὠνόμα-

1. Ψαλμ. 13, 1. 2. Ψαλμ. 72, 8. 3. Ματθ. 1, 18.

σται. Εἰ δὲ καὶ περὶ τοῦ ἀστέρος τι ψευδολογοῦσι, κἀκεῖ πάλιν τὴν ἔνδοξον αὐτοῦ παρουσίαν μανθανέτωσαν. Εἷς ἡμῖν ἀστὴρ φωτεινότατος κήρυξ γέγονε τῆς ἀληθείας· ἡ δὲ ἐκείνων ματαία γνώμη πολλοὺς παρεισφέρει εἰς θήραν ἀνθρωπίνης γενέσεως. Καὶ ἐκ τούτου δέδεικται, ὡς πανταχοῦ ἑαυτῇ ἀντίκειται ἡ κακία. Καὶ τὸν Ἡσαΐαν δὲ εἰς μαρτυρίαν τῆς ἑαυτῶν ἀνοίας καλοῦσι. Φάσκουσι γὰρ αὐτὸν εἰρηκέναι τό· «Κύριος ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά.[1]» Ἡ μὲν οὖν εἰρήνη παρὰ πᾶσιν ὡμολόγηται ὡς Θεοῦ ἔργον τυγχάνουσα· ἡ δὲ κακία παρ' αὐτοῖς μὲν ἀληθῶς πολιτεύεται κακία τῆς ψυχῆς ὑπάρχουσα· παρὰ δὲ ἡμῖν ἡ ἐκ τοῦ Θεοῦ γενηθεῖσα κακία ὠφελιμωτάτη ἐστί. Πρὸς γὰρ σωτηρίαν ψυχῆς καὶ παιδείαν σωμάτων γίνονται λιμοὶ καὶ ἀνομβρίαι, νόσοι τε καὶ πενίαι, καὶ ἄλλαι τινὲς περιστάσεις. Τὰ γὰρ σωτήρια φάρμακα, ἃ ἐκεῖνοι κακίαν ψυχῆς καὶ κακὰ οὐκ ἀληθῶς ὑπενόησαν, ταῦτα πρὸς ἐπιστροφὴν ἡμῖν παρὰ τοῦ κρείττονος προσφέρεται· «Τίς ἐστιν υἱὸς ὃν οὐ παιδεύει ὁ πατήρ; [2]» Ἔτι δὲ καὶ τό, «Οὐκ ἐν ἀνθρώπῳ αἱ ὁδοὶ αὐτοῦ [3]», πάλιν ὁμοίως προσφέρουσιν εἰς τὴν ἰδίαν καταστροφήν· ὁδοὺς γὰρ μὴ ἔχοντες, ἐξιχνιάσαι βούλονται. Ὁδὸν οὐκ ἔχει πλεονεξία, γαστριμαργία, πορνεία· ἀνυπόστατα γὰρ ταῦτα, καθ' ἑαυτὰ μὴ ὄντα. Ταῦτα γὰρ ἐκεῖνοι ὁδοὺς εἰώθεσαν λέγειν. Ὁδοὺς δὲ ἡμῖν ἡ Γραφὴ λέγει τὰς κοινὰς πᾶσι, τήν τε ζωὴν καὶ τὸν θάνατον. Ἀληθῶς γὰρ πορεῖαί εἰσι τῆς τε ἐνταῦθα εἰσαγωγῆς καὶ τῆς ἐκ τῶν αἰσθητῶν τούτων μεταναστάσεως.

85. Πάντα οὖν ποιοῦσιν οἱ κακοδαίμονες, ὥστε τοῦ αὐτεξουσίου ἑαυτοὺς ἀπώσασθαι· καὶ ταύτην σπουδὴν τίθενται τοῦ ἀντικαταλλάξαι τῆς ἐλευθερίας τὴν δουλείαν. Καὶ γὰρ τοῦτο τῆς κακίας ἔργον, τὸ πάντοτε τοῖς χείροσιν ἑαυτὴν συγκαθέλκειν· ἑαυτῶν γὰρ γίνονται μάρτυρες, ὡς τῇ κακίᾳ ἑαυτοὺς πεπρακότες. Καὶ τοῦτο οὖν τὸ διαβόλου τὸ ἀπατηλὸν τέχνασμα· τὰς γὰρ ἀμελεῖς ψυχὰς διὰ τῆς κακοδοξίας κάτω κεκυφέναι παρασκευάζει, μὴ συγχωρῶν αὐτὰς ἀνανῆψαι πρὸς ἐπίγνωσιν τῆς ἀληθείας. Ὥσπερ γὰρ ναῦς ἐκτὸς πηδαλίων πλέουσα ἀεὶ χειμάζεται, οὕτω τούτοις πάντοτε ὁ κίνδυνος ἐπιπνεῖ· οὐδὲ γὰρ πρὸς τὸν σωτήριον λιμένα ὁρμῆσαι δύνανται, τὸν κυβερνῶντα Κύριον καταλιπόντες. Καὶ τὰς μὲν ἐκδεδομένας αὐτῷ ψυχὰς οὕτως πλανᾷ. Πολλάκις δὲ καὶ τὰς σπουδαίας παρυφιζάνει διὰ τούτων ὁ ἐχθρός, τὸν ἀγαθὸν αὐτῶν δρόμον ἐκκόψαι βουλόμενος. Κατ' ἔννοιαν γὰρ ἐμβάλλει, ὡς καὶ τὸ εὖ πράττειν παρὰ τῆς κινήσεως τῶν ἄστρων γίνεται. Τοῦτον δὲ τὸν λογισμὸν ὁ ἐναντίος προσάγει τοῖς ἐκ σοφίας κοσμικῆς ἐπὶ τὸν μονήρη βίον τραπεῖσι· φρόνιμος γὰρ ἐν τοῖς κακοῖς τυγχάνων ὁ διάβολος, πρὸς τὰς φύσεις τῶν ἀνθρώπων τὰς παγίδας ὑποτίθησι. Τοῖς μὲν γὰρ διὰ τῆς ἀπογνώσεως ἐνδελεχεῖ· τινὰς δὲ διὰ τῆς κενοδοξίας καθέλκει, καὶ ἑτέρους διὰ τῆς φιλοχρηματίας κατορύτ-

1. Ἡσ. 45, 7. 2. Ἑβρ. 12, 7. 3. Ἱερ. 10, 23.

τει. Ὥσπερ γὰρ θανατηφόρος ἰατρὸς προσάγει τοῖς ἀνθρώποις τὰ δηλητήρια· καὶ τὸν μὲν ἐκ τοῦ ἥπατος ἀναιρεῖ προσάγων αὐτῷ τὸ τῆς ἐπιθυμίας τοξικόν· ἄλλον δὲ καρδιότρωτον ποιεῖ, τὸν θυμὸν αὐτοῦ πρὸς ὀργὴν ἐξάπτων· τινῶν δὲ καὶ τὴν ἡγεμονικὴν ἀμβλύνει δύναμιν, ἢ ἀγνοίᾳ αὐτοὺς περιβάλλων, ἢ διὰ περιεργίας αὐτοὺς στρεβλῶν.

86. Τινὰς οὖν ἐκ ζητήσεων οὐκ ὀρθῶν παρέτρεψε. Περὶ γὰρ Θεοῦ καὶ τῆς αὐτοῦ οὐσίας διαλαβεῖν θελήσαντες, ἐναυάγησαν. Τὸν γὰρ πρακτικὸν βίον ἀκολούθως μὴ ἡνιοχήσαντες, πρὸς θεωρίαν ὥρμησαν, καὶ ἰλιγγγιάσαντες πεπτώκασι. Τοῦ γὰρ πρώτου ὡς πρὸς τὴν τάξιν μὴ ἐπιλαβόμενοι, τοῦ δευτέρου ἠστόχησαν. Ὥσπερ γὰρ οἱ τῷ ἄλφα στοιχείῳ ἐντυγχάνοντες, πρῶτον αὐτοῦ τὸ σχῆμα ὁρῶσι, καὶ δεύτερον τὸ ὄνομα διδάσκονται, καὶ οὕτως τὸν ἀριθμὸν μανθάνουσι, καὶ τὸ τελευταῖον τοὺς τόνους παραλαμβάνουσιν. Εἰ οὖν ἐπὶ τοῦ πρώτου στοιχείου τοσαύτη χρεία τριβῆς καὶ τέχνης, πόσῳ μᾶλλον ἐπὶ τοῦ Δημιουργοῦ ὀφείλει πόνος καὶ χρόνος προηγεῖσθαι εἰς τὴν τοῦ ἀξιουμένου θεωρίαν τῆς ἀνεκφράστου δόξης; ἀλλὰ μή τις γαυριάτω πρὸς κατάληψιν τῶν θείων ἐκ τῶν ἔξωθεν μαθημάτων ὁρμώμενος. Φρεναπατᾷ γὰρ ἑαυτὸν ὁ τοιοῦτος, ὑπὸ τοῦ δαίμονος φανταζόμενος. Φησὶ γὰρ ὁ Ὑμνῳδός· «Ἐκ τοῦ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.[1]» Καὶ ὁ Κύριος δὲ ἐν τῷ Εὐαγγελίῳ· «Ἄφετε τὰ παιδία ἐλθεῖν πρός μέ· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.[2]» Καὶ ἀλλαχοῦ φησιν· «Ἐὰν μὴ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.[3]» Ταῦτα ἐπαιδεύθης διὰ τὸν κόσμον· μωρὸς γενοῦ διὰ τὸν Θεόν· ἔκκοψον τὰ παλαιά, ἵνα νέα φυτεύσῃς· τοὺς σαθροὺς θεμελίους κάθελε, ἵνα τὴν ἀδαμάντινον τοῦ Κυρίου βάσιν ἐπιθῇς· ἵνα καὶ σὺ ὡς Ἀπόστολος ἐπὶ τὴν στερεὰν πέτραν οἰκοδομηθῇς.

87. Οὐ δεῖ οὖν φιλόνεικον εἶναι· διὰ τὴν πολυλογίαν μὴ πολλὰ ἀσχοληθῇς. Καὶ γὰρ διὰ τῆς ἀκαίρου φλυαρίας δύναται βλάπτειν ὁ διάβολος. Πολλὰς γὰρ ἔχει παγίδας, καὶ δεινός ἐστι θηρευτής· καὶ τοῖς μὲν βραχυτάτοις στρουθίοις μικρὰ τίθησι σκάνδαλα· τοῖς δὲ μεγάλοις ὀρνέοις ἰσχυροὺς εὐτρεπίζει τοὺς βρόχους. Βαρὺς καὶ θανατηφόρος ἐστὶ βρόχος, τὸ πιστεύειν εἶναι γένεσιν. Φευκτέος ὁ πρὸς τοῦτο λογισμός. Ἀλλὰ πείθει σε διὰ πραγμάτων καὶ προγνώσεων; Στοχαστικὸς ὁ τρόπος· ἀβέβαιος ἡ γνώμη. Οὐδὲ γὰρ ἀναγκαίως ἀκολουθεῖ τὰ παρ᾿ αὐτῶν λεγόμενα· ὥσπερ γὰρ τοῖς ἰδιώταις καὶ τοῖς ναυτίλοις ἐκ τῆς τῶν νεφῶν ἰδιότητός ἐστί τις ἀμυδρὰ γνῶσις ἀνέμων ἢ ὑετῶν, οὕτω τούτοις ἐκ δαιμόνων ἡ σαθρὰ πρόγνωσις. Καὶ γοῦν τινα καὶ αὐτοὶ λέγουσι στοχαστικῶς, ὡς καὶ οἱ ἐγγαστρίμυθοι· καὶ τοῦτο δ᾿ ἂν αὐτῶν μᾶλλον διασκεδάσαι δυνηθείη τὴν φαύλην διάνοιαν· εἰ γὰρ ἐκ δαιμόνων αἱ στοχαστικαὶ αὗται ψευδολογίαι συνέστησαν, ματαία τῶν ψηφιζόντων ἡ τέχνη.

---

1. Ψαλμ. 8, 3. 2. Λουκ. 18, 16. 3. Ματθ. 18, 3.

88. Εἰ δὲ ἐπὶ πλεῖον ἐνδελεχεῖ περὶ αὐτῶν δικαιολογούμενος ὁ ἐχθρός, ἐκ τούτου αὐτὸν ἐλέγξεις, ἐκ τοῦ ἄλλοτε ἄλλοις λογισμοῖς τῇ ψυχῇ πολεμεῖν. Τὸ γὰρ ἄστατον ἀβέβαιον· τὸ δὲ ἀβέβαιον ἀπωλείας ἐγγύς. Οὐδὲ γὰρ τῇ πρώτῃ αὐτοῦ κακίᾳ ἐπαρκεῖται ὁ διάβολος· ἀλλά γε καὶ αὐτοματισμὸν ὑποβάλλει τῇ ψυχῇ· καὶ ἄνθος φύσεως τὸν ἡγεμόνα ἡμῶν νοῦν ὑπογράφει· καὶ ὅτι, διαλυομένου τοῦ σώματος, συμφθείρεται καὶ ἡ ψυχή. Ταῦτα δὲ ἡμῖν πάντα ὑποβάλλει πρὸς τὸ ἀμελείᾳ τὴν ψυχὴν διαφθεῖραι. Ἀλλὰ προσγινομένων τούτων τῶν σκιωδῶν φαντασμάτων, μὴ ὡς ἀληθέσιν αὐτοῖς συνθώμεθα. Ταῦτα γὰρ αὐτῶν τὴν κακίαν δείκνυσιν, ἄλλοτε ἄλλως προσερχόμενα, καὶ ῥιπῇ ὀφθαλμοῦ ἀφιπτάμενα. Καὶ γοῦν οἶδά τινα Θεοῦ δοῦλον κατ' ἀρετὴν βιοῦντα, ὅστις, καθεζόμενος ἐν τῷ κελλίῳ, ἐπετήρει τῶν λογισμῶν τὰς παρεισαγωγάς, καὶ ἐμέτρει ποῖος πρῶτος, καὶ ποῖος δεύτερος, καὶ ἕκαστος αὐτῶν πόσον χρόνον κατεῖχε· καὶ εἰ ὑστέρησεν ἢ προέφθασεν τῆς παρελθούσης ἡμέρας· οὕτως ἀκριβῶς ἠπίστατο τήν τε τοῦ Θεοῦ χάριν καὶ τὴν οἰκείαν καρτερίαν τε καὶ δύναμιν· ἔτι γε μὴν καὶ τὴν τοῦ ἐχθροῦ καθαίρεσιν.

89. Δέον οὖν ἡμᾶς τούτους τοὺς κανόνας ὑποδεξαμένους φυλάττειν. Εἰ γὰρ οἱ ἐμπορευόμενοι τὰς προσκαίρους πραγματείας καθ' ἑκάστην ἡμέραν ζυγοστατοῦσι τὰ κέρδη καὶ ἀσμένως μὲν τὰ πλείονα ὑποδέχονται, πρὸς δὲ τὰς ζημίας ἀπεχθάνονται· πολὺ πλέον τούτων ἀγρυπνεῖν προσήκει τοὺς τὸν ἀληθινὸν θησαυρὸν ἐμπορευομένους· καὶ τῶν μὲν πλειόνων ἀγαθῶν ἐφίεσθαι· εἰ δὲ καὶ μικρά τις κλοπὴ τοῦ ἐχθροῦ γένοιτο, βαρέως μὲν φέρειν διὰ τὸ κρίνεσθαι, ἀλλ' οὐ μὴν ἀπογιγνώσκειν ἑαυτούς, καὶ πάντα ῥίπτειν διὰ τὸ ἀκούσιον πταῖσμα. Ἔχεις τὰ ἐνενήκοντα ἐννέα πρόβατα, ζήτει καὶ τὸ ἀπολωλός. Μὴ πτοηθῇς διὰ τὸ ἕν, μὴ ἀποφύγῃς τὸν Δεσπότην, καὶ ὁ αἱμοβόρος διάβολος πᾶσάν σου τὴν ἀγέλην τῶν πράξεων αἰχμαλωτίσας ἀπολέσει. Μὴ οὖν λειποτακτήσῃς διὰ τὸ ἕν· ἀγαθὸς γάρ ἐστιν ὁ Δεσπότης· φησὶ γὰρ διὰ τοῦ Ψαλμῳδοῦ, ὡς «Ἐὰν πέσῃ, οὐ καταρραχθήσεται· ὅτι ὑποστηρίζει Κύριος χεῖρα αὐτοῦ.[1]»

90. Ὅσα γὰρ ἐὰν πράξωμεν ἢ κερδάνωμεν ἐνταῦθα, μικρὰ ἡγησώμεθα πρὸς τὸν μέλλοντα αἰώνιον πλοῦτον. Ἐν γὰρ τῇ γῇ ταύτῃ ὡς ἐν δευτέρᾳ μητρῴᾳ κοιλίᾳ τυγχάνομεν. Ὥσπερ γὰρ ἐν ἐκείνοις τοῖς μυχοῖς οὐ τοιαύτην ζωὴν εἴχομεν· οὔτε γὰρ τῶν τοιούτων στερεμνίων τροφῶν ἀπελαύνομεν ἐν ἐκείνοις τοῖς χωρίοις ὡς νῦν· οὔτε μὴν οὕτως ἐνεργεῖν ἠδυνάμεθα ὡς ἐνταῦθα· καὶ γὰρ τοῦ ἡλιακοῦ φωτὸς καὶ πάσης αὐγῆς ἐκτὸς ὑπήρχομεν· ὥσπερ οὖν ἐν ἐκείνοις τοῖς ταμιείοις οὖσαι, πολλῶν τῶν ἐνταῦθα ἐλειπόμεθα· οὕτως καὶ ἐν τῷ νῦν κόσμῳ πλεονεκτούμεθα πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν. Ἐλάβομεν πεῖραν τῶν ἐνταῦθα τροφῶν, τῶν θείων ὀρεχθῶμεν. Ἀπελαύσαμεν τοῦ ἐνταῦθα

---

1. Ψαλμ. 36, 24.

φωτός, τὸν ἥλιον τῆς δικαιοσύνης ποθήσωμεν· Τὴν ἄνω Ἱερουσαλὴμ ἡγησώμεθα ἑαυτῶν πόλιν τε καὶ μητέρα· πατέρα δὲ τὸν Θεὸν καλέσωμεν ἑαυτῶν. Ζήσωμεν ἐνταῦθα σωφρόνως, ἵνα τῆς αἰωνίου ζωῆς τύχωμεν.

91. Ὥσπερ γὰρ τὰ ἐν μήτρᾳ βρέφη, τελειωθέντα ἐξ ἐλάττονος τροφῆς τε καὶ ζωῆς, διὰ τούτου καὶ πρὸς τὴν μείζονα φέρονται σωτηρίαν, οὕτως καὶ οἱ δίκαιοι ἐκ τῆς τοῦ κόσμου διαγωγῆς πρὸς τὴν ἄνω πορείαν ἀναχωροῦσι κατὰ τὸ γεγραμμένον· «Ἐκ δυνάμεως εἰς δύναμιν.[1]» Οἵ γε ἁμαρτωλοί, ὥσπερ τὰ κατὰ γαστρὸς ἔμβρυα ἐν τῇ μήτρᾳ τελευτήσαντα, ἐκ σκότους σκότει παραδίδονται. Καὶ γὰρ ἐν τῇ γῇ νεκροῦνται τῷ πλήθει τῶν ἁμαρτημάτων κεκαλυμμένοι· καὶ ἀπαχθέντες δὲ τοῦ βίου, εἰς ζοφώδεις καὶ ταρταρώδεις τόπους καταφέρονται. Τρίτον τῷ βίῳ τικτόμεθα· ὧν ἡ μὲν πρώτη ἐστὶν ἡ ἐκ τῶν μητρῴων κόλπων πρόοδος, ὁπηνίκα εἰς γῆν ἀπαγώμεθα ἐκ γῆς· αἱ δὲ λοιπαὶ δύο ἐκ γῆς ἡμᾶς εἰς οὐρανοὺς ἀνάγουσιν· ὧν ἡ μὲν μία ἐστὶν ἐκ χάριτος, ἡ διὰ τοῦ θείου λουτροῦ ἡμῖν προσερχομένη· καὶ γὰρ ταύτην ἀληθῶς παλιγγενεσίαν καλοῦμεν· ἡ δὲ τρίτη ἐκ τῆς μετανοίας ἡμῖν καὶ τῶν ἀγαθῶν πόνων προσγίνεται. Ἐν ταύτῃ νῦν ἡμεῖς ἑστήκαμεν.

92. Ὀφείλομεν νῦν, τῷ ἀληθινῷ νυμφίῳ προσελθοῦσαι, εὐπρεπέστερον κοσμηθῆναι. Γινέσθω ἡμῖν οἰκοδομὴ ἡ θέα τοῦ κοσμικοῦ γάμου. Εἰ γὰρ ἐκεῖναι, πρὸς τὸν εὐάλωτον συναπτόμεναι ἄνδρα, τοσαύτην τίθενται σπουδὴν λουτρῶν τε καὶ μυραλοιφιῶν, καὶ ποικίλης κοσμήσεως (ἐκ γὰρ τούτων δοκοῦσιν ἑαυτὰς ἐρασμίους μᾶλλον παρασκευάζειν), καὶ εἰ τοσαύτη τοῖς κατὰ τὸ σῶμα πολιτευομένοις φαντασία ἐντέτεκται· πόσῳ μᾶλλον δέον ἡμᾶς ἐπαναβῆναι ἐκείνας τῇ γνώμῃ, τῷ οὐρανίῳ νυμφίῳ μνηστευθείσας, καὶ ἀπολούσασθαι μὲν τῶν ἁμαρτιῶν τὸν ῥύπον τῇ ἐπιπόνῳ ἀσκήσει, ἀντικαταλλάξαι δὲ τῶν σωματικῶν ἐνδυμάτων τὰ πνευματικά. Ἐκεῖναι τὸ σῶμα τοῖς κοσμικοῖς καὶ γηΐνοις ἄνθεσι κοσμοῦσιν· ἡμεῖς τὴν ψυχὴν ταῖς ἀρεταῖς φαιδρύνωμεν· καὶ ἀντὶ μὲν λίθων πολυτελῶν τῇ κεφαλῇ περιθῶμεν τὸν τρίπλοκον στέφανον, πίστιν, ἐλπίδα καὶ ἀγάπην· τῷ δὲ τραχήλῳ τὴν τιμίαν κόσμησιν περιθῶμεν, τὴν ταπεινοφροσύνην· ἀντὶ δὲ ζώνης τὴν σωφροσύνην περιζωσώμεθα· λαμπρὰ δὲ ἡμῖν περιβολὴ ἡ ἀκτημοσύνη γινέσθω· προσαγέσθω δὲ τῷ δείπνῳ τὰ μὴ φθειρόμενα ὄψα, εὐχαί τε καὶ ψαλμοί. Ἀλλ᾽ ὡς ὁ Ἀπόστολός φησι, μὴ μόνον τὴν γλῶτταν κίνει· ἀλλά γε καὶ τῷ πνεύματι νόει τὰ λεγόμενα. Πολλάκις γὰρ τὸ μὲν στόμα φθέγγεται, ἡ δὲ καρδία περὶ λογισμοὺς ἀσχολεῖται. Προσέχειν δὲ δεῖ, μή, τοῖς θείοις γάμοις προσελθοῦσαι, πενίαν λαμπάδων, τουτέστιν ἀρετῶν, νοσήσωμεν. Μισήσει γὰρ ἡμᾶς ὁ μνηστήρ, καὶ οὐδ᾽ ὅλως προσδέξεται, ἐὰν μὴ τὰς ὑποσχέσεις λάβῃ. Τίνες δέ εἰσιν αὗται; τοῦ μὲν σώματος ἧττω φροντί-

1. Ψαλμ. 83, 8.

ζειν, ἐπὶ πλείω δὲ τὴν ψυχὴν ἀρδεύειν· αὗται γάρ εἰσιν αἱ πρὸς αὐτὸν συνθῆκαι.

93. Ὥσπερ δὲ οὐκ ἐγχωρεῖ δύο κάδους κατὰ τὸ αὐτὸ ἀνάγειν πεπληρωμένους ὕδατος· διὰ γὰρ τοῦ στρεφομένου ἄξονος, ὁ μὲν εἷς κοῦφος κατάγεται, ὁ δὲ ἕτερος μεστὸς ἀνάγεται· οὕτως καὶ ἐφ' ἡμῶν ἐστιν· ὅταν γὰρ τὴν πᾶσαν κηδεμονίαν τῇ ψυχῇ προσοίσωμεν πληρωθεῖσα τῶν καλῶν ἀνάγεται, τῶν μεταρσίων ἐφιεμένη. Τὸ δὲ σῶμα ἡμῶν, διὰ τῆς ἀσκήσεως κοῦφον γενόμενον, οὐ βρίθει τὴν ἡγεμονοῦσαν δύναμιν. Καὶ τούτου μάρτυς ὁ Ἀπόστολος, φησὶ γάρ· «Ὅσον ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔνδον ἀνακαινοῦται.[1]»

94. Ἐν μονῇ κοινοβίου τυγχάνεις; μὴ μεταλλάξῃς τὸν τόπον· βλαβήσῃ γὰρ μεγάλως. Ὥσπερ γὰρ ὄρνις, ἐξανισταμένη τῶν ᾠῶν, οὔρια ταῦτα καὶ ἄγονα παρασκευάζει· οὕτως παρθένος ἢ μοναχὸς ψυχροῦται καὶ νεκροῦται τῆς πίστεως, τόπον ἐκ τόπου μεταβαίνων.

95. Μή σε δελεάσῃ ἡ τῶν κατὰ τὸν κόσμον πλουσίων τρυφή, ὥς τι χρήσιμον ἔχουσα. Ἡδονῆς ἕνεκεν τὴν ὀψαρτυτικὴν τιμῶσι τέχνην· νηστείᾳ καὶ αὐτὸς διὰ τῶν εὐτελῶν τὴν ἐκείνων εὐπορίαν τῶν τροφῶν ὑπερβάλλου. Φησὶ γάρ, ὡς «Ψυχή, ἐν πλησμονῇ οὖσα, κηρίοις ἐμπαίζει.[2]» Μὴ κορεσθῇς ἄρτου, καὶ οὐκ ἐπιθυμήσεις οἴνου.

96. Τρία ἐστὶ τοῦ ἐχθροῦ τὰ πρῶτα κεφάλαια, ἐξ ὧν πᾶσα κακία κατάγεται· ἐπιθυμία, ἡδονή, λύπη. Ἓν ἐξ ἑνὸς ταῦτα ἤρτηται, καὶ ἓν ἑνὶ ἀκολουθεῖ· καὶ ἡδονῆς μὲν κρατῆσαι δυνατὸν μετρίως, ἐπιθυμίας δὲ ἀδύνατον. Τὸ μὲν γὰρ τῆς ἡδονῆς διὰ τοῦ σώματος τελεῖται· τὸ δὲ ἀπὸ ψυχῆς ἄρχεται· ἡ δὲ λύπη ἐκ τῶν ἀμφοτέρων κατασκευάζεται. Μὴ συγχωρήσῃς οὖν τὴν ἐπιθυμίαν ἐνεργῆσαι, καὶ τὰ λοιπὰ ἀποσκεδάσεις. Εἰ δὲ συγχωρήσῃς προκύψαι τὸ πρῶτον, διανεμηθὲν πρὸς τὸ δεύτερον, κυκλικὴν ἀνταπόδοσιν ποιήσονται πρὸς ἑαυτά, καὶ οὐδαμῶς συγχωρήσει τῇ ψυχῇ ἀνασφῆλαι. Γέγραπται γάρ, ὡς «Μὴ δὸς ὕδατι διέξοδον.[3]»

97. Οὐ πᾶσι πάντα συμφέρει· ἕκαστος δὲ τῷ ἰδίῳ νοῒ πληροφορείσθω. Ὅτι πολλοῖς ἐν κοινοβίῳ συμφέρει, καὶ ἄλλοις κατ' ἰδίαν ἀναχωρεῖν ὠφέλιμον τυγχάνει. Ὥσπερ γὰρ τῶν φυτῶν τὰ μὲν ἐν τοῖς διύγροις τόποις τυγχάνοντα εὐθαλέστερα γίνονται, τὰ δὲ ἐν τοῖς ξηροτέροις μονιμώτερα, οὕτω καὶ τῶν ἀνθρώπων οἱ μὲν ἐν τοῖς ὑψηλοτέροις τόποις, εὖ πράττουσιν, οἱ δὲ ἐν τοῖς ταπεινοτέροις διασῴζονται. Πολλοὶ οὖν ἐν πόλει, τὰ τῆς ἐρήμου φανταζόμενοι, ἐσώθησαν· καὶ πολλοί, ἐν ὄρει ὄντες, τὰ τῶν δημοτῶν πράττοντες, ἀπώλοντο. Δυνατὸν μετὰ πολλῶν ὄντα μονάζειν τῇ γνώμῃ, καὶ μόνον ὄντα μετὰ ὄχλων τῇ διανοίᾳ συνδιάγειν.

98. Πολλὰ τοῦ διαβόλου τὰ κέντρα. Διὰ πενίας οὐ μετεκίνησε ψυχήν; πλοῦτον προσάγει εἰς δέλεαρ. Δι' ὕβρεων καὶ ὀνειδισμῶν οὐκ ἴσχυσεν,

---

1. Β' Κορ. 4, 16. 2. Παρμ. 27, 7. 3. Σοφ. Σειρ. 25, 25.

ἐπαίνους καὶ δόξαν προβάλλεται. Διὰ τῆς ὑγείας ἡττήθη; νοσοποιεῖ τὸ σῶμα. Ταῖς γὰρ ἡδοναῖς μὴ δυνηθεὶς ἀπατῆσαι, διὰ τῶν ἀκουσίων πόνων τὴν παρατροπὴν τῆς ψυχῆς πειρᾶται ποιῆσαι ἀπροαίρετον καὶ ἀβούλητον. Νόσους γάρ τινας καὶ βαρυτάτας ἐξ αἰτήσεως προσάγει, πρὸς τὸ διὰ τούτων ὀλιγωρήσαντας ἐπιθολῶσαι αὐτῶν τὴν πρὸς Θεὸν ἀγάπην. Ἀλλ' εἰ καὶ κατατέμνεται τὸ σῶμα, καὶ πυρετοῖς σφοδροτάτοις καταφλέγεται, ἔτι μὴν καὶ δίψει ἀνιάτῳ καὶ ἀσχέτῳ καταθλίβεται· εἰ μὲν ἁμαρτωλὸς ὢν ταῦτα ὑφίστασαι, ὑπομνήσθητι τῆς μελλούσης κολάσεως, καὶ τοῦ αἰωνίου πυρὸς καὶ τῶν δικαστικῶν τιμωριῶν, καὶ οὐκ ὀλιγωρήσεις πρὸς τὰ παρόντα. Χαίρου, ὅτι ἐπεσκόπησέ σε ὁ Κύριος, καὶ τὸ εὔφημον δὲ ἐκεῖνο ῥητὸν ἐπὶ τῆς γλώσσης ἔχε, ὡς «Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος·[1]» τῷ δὲ θανάτῳ τῆς ἁμαρτίας οὐ παρέδωκέ με. Σίδηρος ἐτύγχανες, ἀλλὰ διὰ τοῦ πυρὸς τὸν ἰὸν ἀποβάλλῃ· Εἰ δὲ καὶ δίκαιος ὢν ἀρρωστεῖς, ἀπὸ τῶν μεγάλων ἐπὶ τὰ μείζω προκόπτεις. Χρυσὸς εἶ, ἀλλὰ διὰ τοῦ πυρὸς δοκιμώτερος γίνου. Ἐδόθη σοι ἄγγελος Σατᾶν τῇ σαρκί, ἀγαλλιῶ, βλέπε τίνι ὅμοιος γέγονας· τῆς γὰρ Παύλου δωρεᾶς ἠξιώθης. Διὰ τοῦ πυρετοῦ δοκιμάζῃ· διὰ ῥίγους παιδεύῃ· ἀλλά φησιν ἡ Γραφή· «Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος.[2]» Λοιπὸν τὸ ἀναψυκτήριον ἡτοίμασται. Ἔτυχες τοῦ πρώτου, προσδόκα τὸ δεύτερον. Πράττων [πάσχω] βόα τὰ τοῦ ἁγίου Δαυὶδ ῥήματα· φησὶ γάρ, ὡς «πένης καὶ πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ.[3]» Τέλειος γενήσῃ διὰ τῆς τριάδος. Καὶ γάρ φησιν· «Ἐν θλίψει ἐπλάτυνάς με.[4]» Ἐν τούτοις μάλιστα τοῖς γυμνασίοις τὰς ψυχὰς ἀσκηθῶμεν, ἐπ' ὀφθαλμοῖς γὰρ ὁρῶμεν τὸν ἀντίπαλον.

99. Μὴ λυπηθῶμεν, ὡς διὰ τὴν ἀσθένειαν καὶ τὴν πληγὴν τοῦ σώματος μὴ δυνάμενοι εἰς εὐχὴν στῆναι, ἢ ψάλλειν μετὰ φωνῆς· πάντα ἡμῖν ταῦτα ἤνυτο πρὸς καθαίρεσιν ἐπιθυμιῶν. Καὶ γὰρ νηστεία καὶ χαμευνία διὰ τὰς αἰσχίστους ἡμῖν ἡδονὰς νενομοθέτηνται. Εἰ οὖν ἡ νόσος ταύτας ἤμβλυνε, περιττὸς ὁ πόνος. Τί δὲ λέγω περιττός; ὥσπερ γὰρ μείζονί τινι καὶ ἰσχυροτέρῳ φαρμάκῳ τῇ νόσῳ τὰ ὀλεθροφόρα συμπτώματα κεκοίμηνται. Καὶ αὕτη ἐστὶν ἡ μεγάλη ἄσκησις, τὸ ἐν ταῖς νόσοις ἐγκαρτερεῖν, καὶ εὐχαριστηρίους ὕμνους ἀναπέμπειν τῷ κρείττονι. Ἀφαιρούμεθα ὀφθαλμῶν; μὴ βαρέως ἐνέγκωμεν· τὰ γὰρ τῆς ἀπληστίας ὄργανα ἀπεβάλομεν, ἀλλὰ τοῖς ἔνδον ὀφθαλμοῖς τὴν δόξαν Κυρίου κατοπτριζόμεθα. Ἐκωφεύσαμεν εὐχαριστήσωμεν τὴν ματαίαν ἀκοὴν τέλεον ἀποβαλόντες. Τὰς χεῖρας πεπόνθαμεν; ἀλλὰ τὰς ἔνδον ἔχομεν εὐτρεπισθείσας πρὸς τὸν κατὰ τοῦ ἐχθροῦ πόλεμον. Ἀρρωστία καθ' ὅλον τὸ σῶμα κρατεῖ; ἀλλ' ἡ κατὰ τὸν ἔσω ἄνθρωπον ὑγεία μᾶλλον αὔξει.

100. Ἐν κοινοβίῳ οὖσαι, τὴν ὑπακοὴν μᾶλλον τῆς ἀσκήσεως προκρίνωμεν· ἡ μὲν γὰρ ὑπεροψίαν διδάσκει, ἡ δὲ ταπεινοφροσύνην ἐπαγ-

1. Ψαλμ. 117,18. 2. Ψαλμ. 65,12. 3. Ψαλμ. 68,30. 4. Ψαλμ. 4,2.

γέλλεται. Ἔστι δὲ καὶ ἐκ τοῦ ἐχθροῦ ἐπιτεταμένη ἄσκησις. Καὶ γὰρ οἱ αὐτοῦ μαθηταὶ τοῦτο ποιοῦσι. Πῶς οὖν διακρίνωμεν τὴν θείαν καὶ βασιλικὴν ἄσκησιν τῆς τυραννικῆς καὶ δαιμονιώδους; δῆλον, ὡς ἀπὸ τῆς συμμετρίας. Ἅπας σοι ὁ χρόνος εἷς κανὼν νηστείας ὑπαρχέτω. Μὴ τέσσαρας ἢ πέντε νηστεύσῃς, καὶ τὴν ἄλλην πλήθει τροφῶν καταλύσῃς τὴν δύναμιν. Τοῦτο ἡδὺ τῷ ἐχθρῷ. Πανταχοῦ ἡ ἀμετρία φθοροποιὸς τυγχάνει. Μὴ ὑφ' ἓν σου τὰ ὅπλα ἀναλώσῃς, καὶ γυμνὸς εὑρεθεὶς ἐν τῷ πολέμῳ εὐάλωτος γενήσῃ. Τὰ ὅπλα ἡμῶν ἐστι τὸ σῶμα, ἡ δὲ ψυχὴ ὁ στρατιώτης· καὶ τῶν ἀμφοτέρων ἐπιμελοῦ πρὸς τὰς χρείας. Νέος ὢν καὶ ὑγιής, νήστευσον. Ἥξει γὰρ τὸ γῆρας μετὰ ἀσθενείας. Ὡς δύνῃ, θησαύρισον τροφάς, ἵνα, μὴ δυνάμενος, εὕρῃς. Νήστευε μετὰ λόγου καὶ ἀκριβείας. Ὅρα μὴ ὁ ἐχθρὸς ἐπεισέλθῃ τῇ ἐμπορίᾳ τῆς νηστείας· καὶ τάχα οἶμαι περὶ τούτου τὸν Σωτῆρα εἰρηκέναι τό· Γίνεσθε δόκιμοι τραπεζῖται· τουτέστι, τὸ βασιλικὸν χάραγμα ἀκριβῶς γινώσκετε· εἰσὶ γὰρ καὶ παραχαράγματα· καὶ ἡ μὲν τοῦ χρυσοῦ φύσις ἡ αὐτή, διαφέρει δὲ τῷ χαράγματι. Ὁ μὲν χρυσός ἐστι νηστεία, ἐγκράτεια, ἐλεημοσύνη· ἀλλὰ καὶ Ἑλλήνων παῖδες τὴν τυραννικὴν αὐτῶν εἰκόνα τούτοις ἐντίθενται, καὶ αἱρετικοὶ δὲ πάντες διὰ τούτων σεμνύνονται. Ὁρᾶν δὲ δεῖ τούτους, καὶ ἀποφεύγειν ὡς παραχαράκτας. Βλέπε μή, ἀγυμνάστως περιπεσὼν αὐτοῖς, ζημιωθῇς. Δέχου οὖν μετὰ ἀσφαλείας τὸν τοῦ Χριστοῦ σταυρὸν διεντετυπωμένον ταῖς ἀρεταῖς· τουτέστι, πίστιν ὀρθὴν μετὰ σεμνῶν πράξεων.

101. Δεῖ ἡμᾶς πάσῃ διακρίσει κυβερνᾶν τὴν ψυχήν, καὶ ἐν κοινοβίῳ οὔσας, μὴ τὰ ἑαυτῶν ζητεῖν, μήτε μὴν οἰκείᾳ δουλεύειν γνώμῃ, ἀλλὰ τῇ κατὰ πίστιν μητρὶ πειθαρχεῖν. Ἐξορίᾳ ἑαυτὰς παρεδώκαμεν· τουτέστι τῶν κοσμικῶν ὅρων ἔξω ἐγενόμεθα· οὐκοῦν ἐκβεβλήμεθα· μὴ τὰ αὐτὰ ζητήσωμεν. Ἐκεῖ δόξαν εἴχομεν, ὧδε ὀνειδισμόν· ἐκεῖ δαψίλειαν τροφῶν, ὧδε καὶ τοῦ ἄρτου ἔνδειαν. Ἐν τῷ κόσμῳ οἱ πταίοντες, καὶ μὴ βουλόμενοι εἰς φυλακὴν βάλλονται· καὶ ἡμεῖς διὰ τὰς ἁμαρτίας ἡμῶν ἑαυτὰς φυλακίσωμεν, ἵνα τὸ ἑκούσιον τῆς γνώμης τὴν μέλλουσαν κόλασιν ἀποσοβήσῃ.

102. Νηστεύεις; μὴ προφασίσῃ νόσον. Καὶ γὰρ οἱ μὴ νηστεύοντες τοῖς αὐτοῖς περιέπεσον νοσήμασιν. Ἤρξω τοῦ καλοῦ; μὴ ἀναχαιτίσῃς τοῦ ἐχθροῦ σε ἐγκόπτοντος, αὐτὸς γὰρ τῇ ὑπομονῇ σου καταργεῖται· καὶ γὰρ οἱ πλεῖν ἀρχόμενοι, πρῶτον μὲν δεξιοῦ πνεύματος τυγχάνουσι ἁπλώσαντες τὰ ἱστία· αὖθις δὲ αὐτοῖς ἐναντίοις ἄνεμος ἀπαντᾷ· ἀλλ' οἱ ναυτικοὶ διὰ τὸ παρεμπεσὸν πνεῦμα οὐκ ἀποσκευάζουσι τὴν ναῦν· μικρὸν δὲ ἡσυχάσαντες ἢ καὶ ἀπομαχησάμενοι τῇ ζάλῃ, τὸν πλοῦν ποιοῦνται· οὕτω καὶ ἡμεῖς ἐναντίου πνεύματος προσπεσόντος, τὸν σταυρὸν ἀντὶ ἱστίου τανύσασαι, ἀδεῶς τὸν πλοῦν ἐκτελέσομεν.

103. Ταῦτα τῆς σεμνῆς καὶ παναρέτου Συγκλητικῆς τὰ διδάγματα· καὶ μᾶλλον πράξεις ἢ ῥήματα· καὶ ἄλλα δὲ πολλὰ καὶ μεγάλα ὑπ' αὐτῆς ἐγνωρίσθη πρὸς ὠφέλειαν τῶν ἀκουσάντων τε καὶ θεασα-

μένων. Τοσοῦτον δὲ πλῆθος ἐξ αὐτῆς ἀγαθῶν ἐβλάστησεν, ὅσον ἀνθρωπίνη γλῶσσα ἀπορήσειεν ἂν ἐκφράσαι.

104. Ὁ δὲ μισόκαλος διάβολος, μὴ φέρων τὴν τοσαύτην τῶν καλῶν ἀφθονίαν, ἐξετήκετο, καὶ εἰς ἑαυτὸν ἐδραματούργει, ὅπως ἂν δυνηθείη ἐπιθολῶσαι τὴν τῶν χρηστῶν ἀνατολήν. Καὶ λοιπὸν ἐξαιτεῖται πρὸς τὸν τελευταῖον ἀγῶνα τὴν γενναιοτάτην παρθένον· καὶ τοσοῦτον αὐτῇ τῇ ἔχθρᾳ ἀμύνεται, ὡς μηδὲ τῶν ἔξωθεν μελῶν ἐνάρξασθαι τῆς πληγῆς· ἀλλά, τῶν ἐνδοσθίων ἁψάμενος, βύθιον αὐτῇ τὴν ἀλγηδόνα ἀπένεμεν· ὡς ἀπαραμύθητον αὐτὴν ἐκ τῆς ἀνθρώπων ἐπικοσμίας γενέσθαι.

105. Καὶ πρῶτον μὲν τὸ ἀναγκαιότατον ἐν ζωῇ πλήττει μόριον, τὸν πνεύμονα, καὶ διὰ νόσων ὀλεθροφόρων κατ' ὀλίγον ἐξάπτει τὴν κακίαν. Ἐνεχώρει μὲν γὰρ καὶ ἐν ὀλίγῳ διὰ τῆς ἐξαιτήσεως συντεμεῖν αὐτῆς τὴν τελευτήν· ἀλλ' ὥσπερ αἱμοβόρος δήμιος, διὰ πληγῶν πολλῶν καὶ χρόνου μακροῦ τὴν οἰκείαν δεινότητα ἐνδείκνυται. Κατὰ μικρὸν γὰρ ἀναλύων τὸν πνεύμονα διὰ τῶν ἀναγομένων πτυσμάτων, τοῦτον ἀπέβαλε. Παρῆσαν δὲ καὶ πυρετοὶ ἀδιάλειπτοι, ῥίνης δίκην ἀποδαπανῶντες τὸ σῶμα.

106. Ὀγδοηκοστὸν ἦγεν ἔτος, ὅτε ὁ διάβολος τὰ τοῦ Ἰὼβ ἆθλα εἰς ταύτην μετέφερεν· αὐταῖς μὲν γὰρ καὶ τότε ἐκέχρητο ταῖς μάστιξιν· ἀλλ' ἐπὶ τοῦ παρόντος συντέμνει τὸν χρόνον, φορτικωτέρας ποιούμενος τὰς ἀλγηδόνας. Πέμπτον μὲν καὶ τριακοστὸν ἔτος ὁ μακάριος Ἰὼβ ἐν τῇ πληγῇ πεποίηκεν· ἐνταῦθα δὲ ὁ ἐχθρός, ὥσπερ ἀπαρχάς τινας τοὺς τῶν δεκάδων χρόνους ἀποσυλήσας, πρὸς τὰς πληγὰς συνάπτει τῷ ἱερῷ ταύτης σώματι. Τρία γὰρ ἥμισυ ἔτη διὰ τῶν εὐκλεῶν τούτων πόνων τῷ ἐχθρῷ ἀπεμαχήσατο. Ἐπὶ μὲν οὖν τοῦ Ἰὼβ ἐκ τῶν ἔξω τὰς ἀρχὰς τῶν τραυμάτων ἐποιεῖτο ὁ διάβολος· ἐπὶ δὲ ταύτης ἐκ τῶν ἔσω πρόσεισι ταῖς τιμωρίαις. Τῶν γὰρ ἐνδοσθίων αὐτῆς μελῶν ἅπτεσθαι, μείζονας αὐτῇ καὶ χαλεπωτέρας τὰς ἀλγηδόνας ἀπένειμεν· Οὐχ οὕτως οἶμαι τοὺς γενναιοτάτους ἐνηθληκέναι μάρτυρας, ὡς τὴν ἀοίδιμον Συγκλητικήν. Ἐκείνους μὲν γὰρ ἐκ τῶν ἔξω προσήει ὁ παλαμναῖος. Κἄν τε γὰρ ξίφος, κἄν τε πῦρ αὐτοῖς προσέφερεν, ἠπιώτερον ὑπῆρχε τῶν παρόντων αὐτῇ πειρατηρίων. Ἀντὶ μὲν γὰρ καμίνου πεπυρωμένης τὰ σπλάγχνα αὐτῆς ὑπέκαιεν, ἐκ τῶν ἔσω τὸ πῦρ κατ' ὀλίγον ἐξάπτων· καὶ ῥίνης δίκην διὰ μακροῦ χρόνου ἀπεδαπάνα τὸ σῶμα. Καὶ ἔστιν ἀληθῶς βαρὺ τοῦτο καὶ ἀπάνθρωπον εἰπεῖν. Καὶ γὰρ οἱ τὰς δικαστικὰς ἐμπεπιστευμένοι ἀρχάς, ὁπηνίκα ἂν βουληθῶσι τοῖς ἁμαρτήσασι βαρυτέρας ἐπιθεῖναι τιμωρίας, διὰ βληχροτάτου πυρὸς τούτους ἀναλίσκουσιν· οὕτως οὖν καὶ ὁ ἐχθρὸς ἐκ τῶν ἔνδον, ὥσπερ ὑποσμυχόμενον τὸν πυρετὸν κινῶν, ἄπαυστον ἐν νυκτὶ καὶ μεθ' ἡμέραν ἐποιεῖτο τὴν τιμωρίαν.

107. Καὶ ταύτην δὲ τὴν πληγὴν γενναίως ὑπεφέρουσα οὐ συνέπιπτε τῷ φρονήματι, ἀλλὰ πάλιν ἡ μακαρία κατὰ τοῦ ἐχθροῦ ἠγωνίζετο. Καὶ γοῦν πάλιν ταῖς ἀγαθαῖς διδασκαλίαις τοὺς ὑπ' αὐτοῦ τραυ-

ματιζομένους ἰᾶτο· καὶ γὰρ ὥσπερ ἐκ λέοντος αἱμοβόρου τὰς ψυχὰς ἀπλήγους ἀνέσπα. Ἐθεράπευε δὲ τοὺς τραυματίας τοῖς σωτηρίοις τοῦ Κυρίου φαρμάκοις. Τινὰς δὲ καὶ ἀτρώτους διεφύλαττεν· ὑποδεικνύουσα γὰρ αὐτοῖς τοῦ διαβόλου τὰς δολερὰς παγίδας, ἐλευθέρους ἐποιεῖτο τῆς ἁμαρτίας.

108. Ἔλεγε δὲ ἡ θαυμασία ὡς μὴ δεῖν ἀμεριμνᾶν ποτε τὰς Θεῷ ἀνακειμένας ψυχάς. Ταύταις γὰρ μάλιστα ἀντίκειται ὁ ἐχθρός. Καὶ γάρ, ἡσυχαζουσῶν αὐτῶν, βρύχει, καὶ ἡττώμενος ἀνιᾶται· καὶ μικρὸν ἀποχωρήσας, ἐπιτηρεῖ· κἂν βραχύ τι ἀφυπνώσωσιν, οὕτως ἐπεισέρχεται· καὶ δι' ὧν νομίζει τις ἔχειν τὸ ἀμέριμνον, διὰ τούτων αὐτῶν ὑποσκελίζει· ὥσπερ γὰρ ἀδύνατον τοὺς πάνυ φαύλους μὴ ἔχειν καὶ σπινθῆρα καλοῦ, οὕτω τὸ ἐναντίον τοῖς χρηστοῖς πρόσεστι. Τῶν γὰρ μαχομένων μοῖρά τις ἐν τοῖς ἀντικειμένοις μέρεσι τυγχάνει. Πολλάκις γοῦν ἄνθρωπος παντὶ αἰσχίστῳ περιεστοίχισται, καὶ πάσῃ ἀκολασίᾳ συμπέφυρται· ἀλλ' ὅμως ἐλεήμων τυγχάνει· καὶ ἐν σπουδαίοις πολλάκις ἐμπολιτεύεται σωφροσύνη, νηστεία, ἐπίπονος ἄσκησις· εἰσὶ δὲ φειδωλοὶ καὶ κατάλαλοι.

109. Δεῖ οὖν τῶν σμικρῶν μὴ ἀμελεῖν, ὡς μὴ δυναμένων βλάπτειν. Καὶ γὰρ ὕδωρ λίθον τῷ χρόνῳ διέλυσε. Τὰ μὲν οὖν μέγιστα τῶν ἐν ἀνθρώποις καλῶν ἐκ θείας χάριτος αὐτοῖς προσγίνεται· τὰ δὲ δοκοῦντα σμικρὰ τυγχάνειν δι' ἑαυτῶν ἀποσοβεῖν δεδιδάγμεθα. Ὁ οὖν τῷ μεγάλῳ διὰ τῆς χάριτος ἀπομαχησάμενος, τοῦ δὲ σμικροῦ καταφρονήσας, μεγάλως βλαβήσεται. Ὁ γὰρ Κύριος ἡμῶν, ὥσπερ γνήσιος Πατήρ, ἀρτίως τῶν παιδίων αὐτοῦ ὁρμώντων πρὸς βάδισιν, ὀρέγει τὴν χεῖρα· καὶ κατὰ πᾶν ὁτιοῦν τῶν μεγάλων ἡμᾶς κινδύνων ῥυόμενος, εἰς τὰ μικρὰ συγχωρεῖ ἡμῖν ἀφ' ἑαυτῶν κινεῖσθαι, καθάπερ ποσὶ τούτοις τὴν γνώμην δεικνὺς ἐλευθέραν. Ὁ γὰρ πρὸς τὰ μικρὰ εὐάλωτος, πῶς ἂν τὰ μείζω φυλάξαι δυνηθείη;

110. Πάλιν ὁρῶν αὐτὴν διισχυριζομένην καθ' ἑαυτοῦ ὁ μισόκαλος, ἤχθετο. Καὶ ὁρῶν ἑαυτοῦ τὴν τυραννίδα καθαιρουμένην, ἕτερόν τινα μηχανᾶται κακίας τρόπον· καὶ πλήττει τὰ φωνητικὰ ὄργανα, πρὸς τὸ τὸν προφορικὸν ἐκκόψαι λόγον, δοκῶν διὰ τούτου λιμαγχονῆσαι τῶν θείων λόγων τὰς συνερχομένας. Ἀλλ' εἰ καὶ τὴν ἀκοὴν τῆς ὠφελείας ἐστέρησεν, ἐν τῷ μείζονι τὸ κέρδος δεδώρηται· τῇ γὰρ ὄψει τοῖς πάθεσιν ἐνακαινίζουσαι, μᾶλλον ἐκραταιοῦντο τὴν γνώμην. Τὰ γὰρ ἐκείνης τοῦ σώματος τραύματα τὰς πεπληγμένας ψυχὰς ἰᾶτο· καὶ ἦν ἰδεῖν προφυλακὴν καὶ θεραπείαν τῶν θεωμένων τὴν τῆς μακαρίας μεγαλοψυχίαν τε καὶ καρτερίαν.

111. Πρόφασιν μὲν οὖν αὐτῇ τῆς πληγῆς ποιεῖται ταύτην ὁ ἐχθρός· μίαν γὰρ μύλην ὀδυνήσας, σήπει παραυτὰ τὸ οὖλον· καὶ ἐκπίπτει μὲν τὸ ὀστέον· ἡ δὲ νομὴ διατρέχει εἰς ἅπασαν τὴν γένυν, καὶ γίνεται φθορὰ τῶν ἐπικειμένων σωμάτων· καὶ ἐν τεσσαράκοντα ἡμέραις τερηδονίζεται τὸ ὀστέον· καὶ μετὰ διμηναῖον χρόνον, γίνεται

ἔκτρησις. Μελανθέντες οὖν ἦσαν ἅπαντες οἱ πέριξ τόποι. Τὸ δὲ ὀστέον καὶ αὐτὸ φθαρέν, κατ' ὀλίγον ἐδαπανᾶτο· σῆψις δὲ καὶ βαρυτάτη δυσωδία καθ' ὅλον τὸ σῶμα ἐκράτει, ὡς τὰς ὑπουργούσας πλέον αὐτῆς πάσχειν. Καὶ τὸν μὲν πλείονα χρόνον ἐχωρίζοντο, μὴ φέρουσαι τὴν ἀπάνθρωπον ὀσμήν· ὅτε δὲ χρεία ἐκάλει, θυμιαμάτων ὑπεκκαίουσαι πλῆθος προσήεσαν, καὶ αὖθις ὑπεχώρουν διὰ τὸ τῆς δυσωδίας ἀπάνθρωπον. Ἡ δὲ μακαρία προφανῶς ἐθεώρει τὸν ἀντίπαλον, καὶ οὐδ' ὅλως συνεχώρει αὐτῇ ἀνθρώπινον προσαχθῆναι βοήθημα· δεικνύουσα καὶ ἐν τούτῳ τὴν οἰκείαν ἀνδρείαν. Αἱ δὲ συνελθοῦσαι παρεκάλουν κἂν μύροις τοὺς τόπους ὑπαλείφειν διὰ τὴν ἑαυτῶν ἀσθένειαν, καὶ οὐκ ἐπείθετο. Ἡγεῖτο γὰρ διὰ τῆς συμμαχίας τῶν ἐκτὸς καθαιρεῖσθαι τοῦ ἐνδόξου ἀγῶνος. Καὶ δή τινα ἰατρὸν αἱ συνελθοῦσαι μεταστέλλονται, ὡς, εἴ γε δυνηθείη, κἂν αὐτὸς πεῖσαι θεραπείας τυχεῖν. Ἡ δὲ πάλιν οὐκ ἠνείχετο, λέγουσα· Τί με τῆς ἀγαθῆς πάλης ταύτης ἐγκόπτετε; Τί ζητεῖτε τὸ φαινόμενον, ἀγνοοῦσαι τὸ κρυπτόμενον; Τί πολυπραγμονεῖτε τὸ γινόμενον, τὸν ποιοῦντα μὴ θεωροῦσαι; Καὶ πρὸς αὐτήν φησιν ὁ παρὼν ἰατρός· Οὐχ ἕνεκεν θεραπείας τινὸς ἢ παραμυθίας προσφέρομεν φάρμακον, ἀλλ' ἵνα τὸ ἠλλοτριωμένον καὶ νεκρὸν μόριον κατὰ τὴν συνήθειαν θάψωμεν, πρὸς τὸ μὴ τοὺς παρόντας συνδιαφθαρῆναι. Ὅπερ γὰρ τοῖς τεθνεῶσι προσάγουσι, τοῦτο καὶ ἡμεῖς νῦν ποιοῦμεν· ἀλόην ἅμα σμύρνῃ καὶ μυρσίνῃ οἴνῳ δεύσας προστίθημι. Ἡ δέ, ἀποδεξαμένη τὴν συμβουλίαν ἠνείχετο, τὰς συνελθούσας μᾶλλον ἐλεήσασα· ἐκαθαίρετο γὰρ ἐκ τούτου ἡ ἀμετρία τῆς δυσωδίας.

112. Τίς οὐκ ἔφριξε τὴν τηλικαύτην πληγὴν θεασάμενος; Τίς οὐκ ὠφελήθη τὴν καρτερίαν τῆς μακαρίας θεασάμενος καὶ ἐν ταύτῃ τὴν κατάπτωσιν τοῦ ἐχθροῦ ἐννοήσας; Ἐκεῖ μὲν γὰρ ἔστησε τὴν πληγήν, ὅθεν ἡ σωτήριος καὶ γλυκυτάτη τῶν λόγων προΐει πηγή, καὶ τὸ ὑπερβάλλον αὐτοῦ τῆς δεινότητος πᾶσαν παράκλησιν ἀπεσκέδασεν. Ὥσπερ γὰρ θηρίον αἱμοβόρον πᾶσαν τῶν συνερχομένων τὴν σπουδὴν ἀπεσόβησε, πρὸς τὸ σπαράξαι τὸ προσπεσὸν θήραμα· καὶ θοίνην ζητῶν, βορὰ γέγονε. Ἐδελεάσθη γὰρ ὥσπερ δι' ἀγκίστρου τῇ τοῦ σώματος, ἀσθενείᾳ· γυναῖκα ὁρῶν, κατεφρόνει· ἠγνόει γὰρ αὐτῆς τὸ ἀνδρεῖον φρόνημα. Νοσοῦντα τὰ μέλη κατεμάνθανεν· ἐτύφλωττε γάρ, τὸν ἰσχυρότατον αὐτῆς λογισμὸν κατοπτεῦσαι μὴ δυνάμενος. Μησὶ μὲν οὖν τρισὶ καὶ πρὸς τοῦτον τὸν ἀγῶνα ἐνήθλησε. Δυνάμει δὲ θείᾳ τὸ ὅλον παρεκρατεῖτο σῶμα. Τὰ γὰρ συντελοῦντα πρὸς τὴν διαμονὴν αὐτοῦ ἐμεμείωτο. Ἀτροφία μὲν οὖν παρῆν· πῶς γὰρ ἠδύνατο σιτίων μεταλαβεῖν τοσαύτης σήψεως καὶ δυσωδίας κρατούσης; Ἀποκεχώριστο δὲ ἀπ' αὐτῆς καὶ ὁ ὕπνος ὑπὸ τῶν ἀλγηδόνων ἐκκοπτόμενος.

113. Ὅτε δὲ αὐτῆς τὸ πέρας τῆς νίκης καὶ τοῦ στεφάνου ἐγγὺς ἐγένετο, καὶ ὀπτασίας ἐθεώρησε καὶ ἀγγέλων ἐπιστασίας, καὶ παρθένων ἁγίων προτροπὰς πρὸς τὴν ἄνοδον, καὶ ἐλλάμψεις ἀνεκλαλήτου φωτός, καὶ παραδείσου χῶρον· καὶ μετὰ τὴν θέαν τούτων, ὥσπερ

εἰς ἑαυτὴν γενομένη, κατήγγειλε ταῖς παρούσαις γενναίως τε φέρειν, καὶ μὴ ὀλιγωρεῖν πρὸς τὸ παρόν. Εἶπε δὲ αὐταῖς, καὶ ὡς ὅτι μετὰ τρεῖς ἡμέρας χωρισθήσομαι τοῦ σώματος. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὴν ὥραν τῆς ἀφίξεως τῶν ἐνταῦθα ἐδήλωσε. Καὶ συντελεσθέντος τοῦ χρόνου, ἀπῆλθεν ἡ μακαρία Συγκλητικὴ πρὸς τὸν Κύριον, ἔπαθλον τῶν ἀγώνων παρ' αὐτοῦ δεξαμένη τὴν τῶν οὐρανῶν βασιλείαν· εἰς δόξαν καὶ ἔπαινον τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ παναγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ταῖς πρεσβείαις τῆς πανυμνήτου Θεοτόκου τῆς ἐμῆς βεβαίας ἐλπίδος, καὶ ὧν Πατέρων πόθῳ καὶ κόπῳ τοὺς βίους συνελεξάμην, ἀξίωσόν με τὸν ἁμαρτωλὸν εὑρεῖν χάριν ἐνώπιόν σου οἷς οἶδας κρίμασιν.

Ἕως ὧδε πεπλήρωνται οἱ ἐκ τῆς ἁγίας παρὰ τοῦ μακαρίου 'Αρσενίου τοῦ Πηγάδων ἐξεληλυθότες λόγοι, καθὼς καθ' εἱρμὸν κεῖνται ἅπαντες.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΠΕΡΙ ΤΗΣ ΣΑΡΚΩΣΕΩΣ ΤΟΥ ΘΕΟΥ ΛΟΓΟΥ.*

Ὁμολογοῦμεν τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν πρὸ αἰώνων ἀϊδίως ἐκ τοῦ Πατρὸς γεννηθέντα, ἐπ' ἐσχάτων δὲ τῶν αἰώνων διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς Παρθένου γεννηθέντα κατὰ σάρκα, ὡς θεῖος Ἀπόστολος διδάσκει λέγων· «Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γεννώμενον ἐκ γυναικός.[1]» Ὁμολογοῦμεν δὲ εἶναι τὸν αὐτὸν Υἱὸν Θεοῦ, καὶ Θεὸν κατὰ πνεῦμα· υἱὸν δὲ ἀνθρώπου κατὰ σάρκα. Οὐ δύο φύσεις, τὸν ἕνα Υἱόν, μίαν προσκυνητήν, καὶ μίαν ἀπροσκύνητον· ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ προσκυνήσει καὶ προσκυνουμένην. Οὐδὲ δύο υἱούς, ἄλλον μὲν Υἱὸν Θεοῦ, ἀληθινὸν Θεὸν καὶ προσκυνούμενον· ἄλλον δὲ ἐκ Μαρίας ἄνθρωπον, μὴ προσκυνούμενον, κατὰ χάριν Υἱὸν Θεοῦ γενόμενον, ὡς καὶ ἄνθρωποι· ἀλλὰ τὸν ἐκ Θεοῦ, ὡς ἔφην, ἕνα Υἱὸν Θεοῦ καὶ Θεόν· τὸν αὐτὸν καὶ οὐκ ἄλλον ἐκ Μαρίας γεγεννῆσθαι κατὰ σάρκα ἐπ' ἐσχάτων τῶν ἡμερῶν· ὡς ὁ ἄγγελος τῇ Θεοτόκῳ Μαρίᾳ λεγούσῃ· «Πῶς τοῦτο ἔσται, ἐπεὶ ἄνδρα οὐ γινώσκω;[2]» εἴρηκε· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ.[3]» Ὁ τοίνυν γεννηθεὶς ἐκ τῆς Παρθένου Μαρίας, Υἱὸς Θεοῦ φύσει, καὶ Θεὸς ἀληθινός, καὶ οὐ χάριτι, καὶ οὐ μετουσίᾳ, κατὰ σάρκα μόνον, τὴν ἐκ Μαρίας, ἄνθρωπος· κατὰ δὲ πνεῦμα, ὁ αὐτὸς Υἱὸς Θεοῦ καὶ Θεὸς ἀληθινός· παθὼν μὲν τὰ ἡμέτερα πάθη κατὰ σάρκα, ὡς γέγραπται· «Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί.[4]» Καὶ πάλιν, «Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν·[5]» ἀπαθὴς δὲ διαμείνας καὶ ἀναλλοίωτος κατὰ τὴν θεότητα, κατὰ τὸ λεγόμενον ὑπὸ τοῦ προφήτου· «Ἐγὼ Θεὸς καὶ οὐκ ἠλλοίωμαι·[6]» ἀποθανὼν μὲν τὸν ἡμέτερον θάνατον κατὰ σάρκα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἵνα τὸν θάνατον ἀνέλῃ διὰ τοῦ ὑπὲρ ἡμῶν θανάτου, κατὰ τὸν λέγοντα Ἀπόστολον· «Κατεπόθη ὁ θάνατος εἰς νῖκος· ποῦ σου, ᾅδη, τὸ κέντρον;[7]» καὶ πάλιν· «Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφάς·[8]» ἀθάνατος δὲ καὶ ἀκράτητος

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 25.

1. Γαλ. 4, 4. 2. Λουκ. 1, 34. 3. Λουκ. 1, 35. 4. Α' Πέτρ. 4, 1. 5. Ῥωμ. 8, 32. 6. Μαλ. 3, 6. 7. Α' Κορ. 15, 55. 8. Α' Κορ. 15, 3.

τῷ θανάτῳ διαμείνας διὰ τὴν θεότητα, ὡς ἀπαθὴς τοῦ Πατρὸς δύναμις, κατὰ τὸν λέγοντα Πέτρον· «Οὐ γὰρ ἦν», φησί, «δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπὸ τοῦ θανάτου·[1]» ἀνελθὼν εἰς οὐρανοὺς καὶ καθήμενος ἐκ δεξιῶν τοῦ Πατρός, κατὰ τὴν ἀπὸ γῆς εἰς οὐρανοὺς ὑψουμένην σάρκα τοῦ Λόγου, κατὰ τὸ λεγόμενον ὑπὸ τοῦ Δαυίδ· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου·[2]» καὶ ὑπ' αὐτοῦ τοῦ Κυρίου βεβαιούμενον καὶ τῶν ἀποστόλων· κατὰ δὲ τὴν θεότητα ἀπερίληπτος, πάντα τόπον περιέχων μετὰ τοῦ Πατρὸς τοῦ ἀιδίου, ὡς πατρικὴ καὶ ἄρρητος δύναμις κατὰ τὸν διδάσκοντα Παῦλον· «Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία.[3]» Ἐρχόμενος ὁ αὐτὸς Υἱὸς Θεοῦ καὶ Θεός, ὡς ἐπηγγείλατο, κρῖναι ζῶντας καὶ νεκρούς, ὥς φησιν ὁ Ἀπόστολος· «Τοῦ κρίνοντος τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανεροῦντος τὰ κρυπτὰ τῶν καρδιῶν, καὶ τὸν ἔπαινον καὶ τὴν μέμψιν κατ' ἀξίαν φέροντος ἑκάστῳ.[4]» Εἰ δέ τις παρὰ ταῦτα ἐκ τῶν θείων Γραφῶν διδάσκει, ἕτερον λέγων τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ ἕτερον τὸν ἐκ Μαρίας ἄνθρωπον, κατὰ χάριν υἱοποιηθέντα ὡς ἡμεῖς· ὡς εἶναι δύο υἱούς, ἕνα κατὰ φύσιν Υἱὸν Θεοῦ, καὶ ἕνα κατὰ χάριν τὸν ἐκ Μαρίας ἄνθρωπον· ἢ εἴ τις τὴν τοῦ Κυρίου ἡμῶν σάρκα ἄνωθεν λέγει, καὶ μὴ ἐκ τῆς Παρθένου Μαρίας· ἢ τραπεῖσαν τὴν θεότητα εἰς σάρκα, ἢ συγχυθεῖσαν, ἢ ἀλλοιωθεῖσαν· ἢ παθητὴν τοῦ Κυρίου θεότητα· ἢ ἀπροσκύνητον τὴν τοῦ Κυρίου ἡμῶν σάρκα, ὡς ἀνθρώπου, καὶ μὴ προσκυνητήν, ὡς Κυρίου καὶ Θεοῦ σάρκα, τοῦτον ἀναθεματίζει ἡ Καθολικὴ Ἐκκλησία, πειθομένη τῷ Ἀποστόλῳ λέγοντι· «Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.[5]»

1. Πράξ. 2, 24. 2. Ψαλμ. 109, 1. 3. Α' Κορ. 1, 24. 4. Πρβλ. Α' Κορ. 4, 5. 5. Γαλ. 1, 9.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΜΑΡΤΥΡΙΑΙ ΕΚ ΤΗΣ ΓΡΑΦΗΣ, ΤΗΣ ΚΑΤΑ ΦΥΣΙΝ ΚΟΙΝΩΝΙΑΣ, ΕΚ ΤΟΥ ΟΜΟΙΩΣ ΕΙΝΑΙ ΤΟΝ ΠΑΤΕΡΑ, ΚΑΙ ΤΟΝ ΥΙΟΝ, ΚΑΙ ΤΟ ΑΓΙΟΝ ΠΝΕΥΜΑ ΠΡΟΣ ΘΕΩΡΙΑΝ ΔΥΣΕΦΙΚΤΟΝ, ΚΑΙ ΜΙΑΝ ΕΧΕΙΝ ΕΝΕΡΓΕΙΑΝ.*

1. *Περὶ ἐλευθερίας.*

Περὶ Πατρὸς ἀναμφίβολον. Περὶ Υἱοῦ, φωνὴ αὐτοῦ τοῦ Υἱοῦ· «Ἐὰν μὴ ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ, δοῦλοί ἐστε.[1]» Περὶ τοῦ Πνεύματος διὰ Παύλου οὕτως λέγει· «Ὅταν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.[2]»

2. *Περὶ ζωοποιήσεως.*

Λέγει ὁ Σωτήρ· «Ὥσπερ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ Υἱὸς οὓς θέλει, ζωοποιεῖ·[3]» καὶ περὶ τοῦ Πνεύματός φησι· «Τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν.[4]» Καὶ ὁ Ἀπόστολος· «Τὸ γράμμα ἀποκτείνει, τὸ δὲ Πνεῦμα ζωοποιεῖ.[5]»

3. *Περὶ χειροτονίας.*

Περὶ Πατρὸς Παῦλος λέγει. «Ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους·[6]» καὶ τὰ ἑξῆς. Περὶ Υἱοῦ ὁ αὐτὸς Ἀπόστολος φάσκει· «Ὁ καταβάς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπὲρ ἄνω τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ ποιμένας καὶ διδασκάλους.[7]» Περὶ Πνεύματος ὁ αὐτὸς μετακαλεῖται ἀπὸ τῆς Μιλήτου τοὺς πρεσβυτέρους, καὶ λέγει αὐτοῖς· «Προσέχετε ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς ἔθετο τὸ Πνεῦμα τὸ ἅγιον ἐπισκόπους, ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ.[8]»

4. *Περὶ νομοθεσίας.*

Περὶ Πατρὸς ὁ Δαυὶδ λέγει· «Τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου, ἐβουλήθην, καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.[9]» Περὶ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 29.

1. Πρβλ. Ἰω. 8, 36. 2. Β' Κορ. 3, 16-17. 3. Ἰω. 5, 21. 4. Ἰω. 6, 63. 5. Β' Κορ. 3, 6. 6. Α' Κορ. 12, 28. 7. Ἐφ. 4, 10-11. 8. Πράξ. 20, 28. 9. Ψαλμ. 39, 9.

Υἱοῦ ὁ Παῦλος· «Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.[1]» Περὶ Πνεύματος ὁ αὐτός. «Ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με.[2]»

5. *Περὶ κυριότητος.*

Ὁ Δαυὶδ λέγει· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου.[3]» Εἰ δὲ ἀντιλέγουσιν οἱ αἱρετικοὶ λέγοντες, ὅτι εἰς τὸν Δαυὶδ ἐκλαμβάνεται τοῦτο, ἐλέγχει αὐτοὺς τὸ παρὰ τοῦ Σωτῆρος λεγόμενον. «Τί λέγετε περὶ τοῦ Χριστοῦ; τίνος ἐστὶν υἱός; λέγουσι· Τοῦ Δαυίδ.[4]» Ἀποκρίνεται ὁ Σωτήρ. «Πῶς οὖν Δαυὶδ ἐν Πνεύματι ἁγίῳ Κύριον αὐτὸν καλεῖ;[5]» πάλιν περὶ τοῦ Πατρός· «Ἄκουε Ἰσραήλ, Κύριος, ὁ Θεός σου, Κύριος εἷς ἐστι.[6]» Περὶ δὲ τοῦ Υἱοῦ, λέγει· «Ὁ δὲ Κύριος ἐκ Σιὼν ἀνακράζεται, καὶ ἐξ οὐρανοῦ δώσει τὴν φωνὴν αὐτοῦ, καὶ σεισθήσεται ὁ οὐρανὸς καὶ ἡ γῆ. Ὁ δὲ Κύριος φείσεται τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχύσει Κύριος τοὺς υἱοὺς Ἰσραήλ. Καὶ ἐπιγνώσεσθε, ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν, ὁ κατασκηνώσας ἐν Σιών, ἐν ὄρει ἁγίῳ.[7]» Ὁ δὲ κατασκηνώσας ἤτοι ὁ Υἱός, λέγει· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ[8]», καὶ ἑξῆς. Περὶ δὲ τοῦ Πνεύματος εἰπών, ὅτι «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου[9]», ὑποκαταβὰς λέγει· «Καὶ Κύριος ἐκ δεξιῶν σου·» τοῦ οὖν Υἱοῦ πάλιν ἐκ δεξιῶν τὸ Πνεῦμα.

6. *Ὅτι ὁ Πατὴρ Κύριον τὸν Υἱὸν καλεῖ, καὶ ὁ Ἀπόστολος τὸ Πνεῦμα καὶ Κύριον καὶ Θεὸν λέγει, ὡς καὶ τὸν Υἱόν.*

Λέγει γὰρ οὕτως· «Καὶ ἔσται μετὰ ταῦτα· Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. Καί γε ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσι, καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα, καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου, τὴν μεγάλην καὶ ἐπιφανῆ. Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.[10]» «Πῶς οὖν ἐπικαλέσονται, εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς ἀκούσουσι χωρὶς κηρύσσοντος;[11]» Περὶ δὲ τοῦ Πνεύματος, ὁ αὐτὸς Ἀπόστολος λέγει· «Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστι.[12]» Καὶ πάλιν ὁ αὐτός· «Καθάπερ ἀπὸ Κυρίου

---

1. Γαλ. 6, 2. 2. Ῥωμ. 8, 2. 3. Ψαλμ. 109, 1. 4. Ματθ. 22, 42. 5. Ματθ. 22, 43. 6. Δευτ. 6, 4. 7. Ἰωὴλ 4, 16-17. 8. Ψαλμ. 2, 6. 9. Ψαλμ. 109, 1. 10. Ἰωὴλ 3, 1-5. 11. Ῥωμ. 10, 14. 12. Β' Κορ. 3, 16.

Πνεύματος·[1]» καὶ αὖθις· «Ὁ δὲ Κύριος κατευθύνει ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ·[2]» ἄρα ὁ Κύριος τὸ Πνεῦμά ἐστι. Καὶ πάλιν· «Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσῃ καὶ περισσεύσῃ τῇ ἀγάπῃ τῇ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ ἡμεῖς εἰς ὑμᾶς, εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτως ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.[3]» Καὶ ἐνταῦθα ὁ Κύριος ὁ πλεονάζων καὶ περισσεύων τῇ ἀγάπῃ τῇ εἰς ἀλλήλους, καὶ στηρίζων τὰς καρδίας ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ Πνεῦμά ἐστι. Τὰς οὖν τρεῖς κυριότητας εἰς μίαν κυριότητα συναγαγών, βεβαιοῖ λέγων πρὸς Ἐφεσίους. «Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα.[4]» Πάλιν τὸ Πνεῦμα Κύριος λέγεται σαφῶς ἐν τῇ βίβλῳ τῶν Κριτῶν, ὅτε τὰς ἀριστείας ὁ Σαμψὼν ἐποίει, ἐπισημαίνεται ἡ Γραφή, καὶ λέγει· «Καὶ Πνεῦμα Κυρίου ἦλθεν ἐπὶ Σαμψὼν καὶ ἔλαβεν σιαγόνα ὄνου, καὶ ἀπέκτεινε χιλίους·[5]» καὶ πάλιν· «Ἦλθε Πνεῦμα Κυρίου ἐπὶ Σαμψών, καὶ διεσπάραξε τὸν λέοντα ὡς ἔριφον·[6]» καὶ πάλιν· «Ἦλθε Πνεῦμα Κυρίου ἐπὶ Σαμψών, καὶ ἐπῆρε τὴν πόρταν τῆς Γάζης, καὶ ἀνήνεγκεν εἰς τὸ ὄρος.[7]» Καὶ πάντῃ ἐκπορεύεται τὸ Πνεῦμα Κυρίου. Ὅτε δὲ ἐξυρήθη, τὰ μυστήρια τοῦ Θεοῦ ἀναφήνας τῇ Δαλιδᾷ, λέγει· «Καὶ ἀπέστη ἀπὸ Σαμψὼν ὁ Κύρος.[8]» Ὥστε οὖν πεφανέρωται, ὅτι τὸ Πνεῦμα Κύριος· εἰ δὲ Κύριος, πανταχοῦ καὶ Θεός· «Γνῶτε γάρ», φησίν, «ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεός.[9]» Καὶ «Ὅτε ᾠκοδόμησαν οἱ υἱοὶ Γὰδ θυσιαστήριον ἐπὶ τοῦ Ἰορδάνου, καὶ ἀπέστειλαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς αὐτούς, λέγοντες· Διὰ τί ἀποστάται γεγόνατε τοῦ Θεοῦ; ἀπεκρίθησαν ἀπολογούμενοι υἱοὶ Ῥουβὶμ τοῖς χιλιάρχοις Ἰσραήλ, λέγοντες· Ὁ Θεὸς ὁ Θεός ἐστι Κύριος· καὶ Θεὸς Κύριος αὐτὸς οἶδε[10]», καὶ τὰ ἑξῆς. Καὶ ἀλλαχοῦ πάλιν ὁ Παῦλος «Ὁ Θεός, ὁ εἰπών, ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ, ἐν προσώπῳ Χριστοῦ.[11]» Ὁ οὖν Θεός, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, τὸ Πνεῦμά ἐστι. Καὶ πάλιν ὁ αὐτός· «Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν κατὰ Χριστὸν Ἰησοῦν· ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζωμεν τὸν Θεόν, καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.[12]» Τίς οὖν ἐστιν ὁ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως; ὁ διδοὺς ἡμῖν τὸ αὐτὸ φρονεῖν κατὰ Χριστὸν Ἰησοῦν ἵνα ὁμοθυμαδὸν δοξάζωμεν τὸν Θεόν, καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πάντως τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ πάλιν. «Ἐὰν δὲ πάντες προφητεύω-

---

1. Β' Κορ. 3, 18. 2. Β' Θεσσ. 3, 5. 3. Α' Θεσσ. 3, 12-13. 4. Ἐφ. 4, 5. 5. Κριτ. 15, 15. 6. Κριτ. 14, 6. 7. Πρβλ. Κριτ. 16, 3. 8. Κριτ. 16, 20. 9. Ψαλμ. 99, 3. 10. Ἰησ. Ν. 22, 10, 22. 11. Β' Κορ. 4, 6. 12. Ῥωμ. 15, 5-6.

σιν, εἰσέλθῃ δέ τις ἄπιστος, ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων· καὶ οὕτως τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτως, πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων, ὅτι ὄντως ὁ Θεὸς ἐν ὑμῖν ἐστι.[1]» Θεὸν οὖν εἶπε τὸ Πνεῦμα τὸ ἅγιον, τὸ λαλοῦν ἐν αὐτοῖς. Καὶ πάλιν· «Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;[2]» Ἔδειξεν ὅτι ναὸς Θεοῦ ἐσμεν, ὅπου δὲ ναός, ἐκεῖ Θεός· τὸ δὲ Πνεῦμα οἰκεῖ, ὡς ἐν ἰδίῳ ναῷ. Φησὶ γάρ· «Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ;[3] Δοξάσατε οὖν τὸν Θεὸν ἐνοικοῦντα ἐν ὑμῖν.» Εἰ δὲ οὐ δοξάζεις τὸν ἐνοικοῦντα ἐν σοὶ ὡς Θεόν, ἐγένου ναὸς εἰδώλων. Λέγει γάρ· «Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστέ, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;[4]» Καὶ ἀλλαχοῦ λέγει· «Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν· ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη.[5]» Τὸ δὲ Πνεῦμα τὸ ἅγιον λέγεται εἰπεῖν ταῦτα· φησὶ γὰρ ὁ Ἀπόστολος· «Διὸ καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε[6]», καὶ τὰ ἑξῆς. Ἄρα οὖν τὸ Πνεῦμα τὸ ἅγιον ἐπείρασεν ὁ Ἰσραήλ, καὶ ἐδοκίμασεν ἐν τῇ ἐρήμῳ· καὶ εἶδον τὰ ἔργα αὐτοῦ, ἤτοι τὰ θαυμάσια. Ἐν ἄλλῳ δὲ ψαλμῷ λέγει ὁ αὐτός· «Καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ.[7]» Ἄρα οὖν ὁ Θεός, τὸ ἅγιον Πνεῦμά ἐστι. Καὶ ἀλλαχοῦ, ὅτε ἀνελαμβάνετο ὁ Ἠλίας ᾔτει ὁ Ἐλισσαῖος παρ' αὐτοῦ ἐπ' αὐτὸν τὸ Πνεῦμα γενέσθαι διπλοῦν. Ἐπηγγέλλετο οὖν ὁ Ἠλίας ἐὰν ἴδῃ αὐτὸν ἀναλαμβανόμενον.[8] Ἰδὼν οὖν, καὶ λαβὼν τὴν μηλωτήν, ἦλθεν ἐπὶ τὸν Ἰορδάνην· καὶ πατάξαντος αὐτοῦ τῇ μηλωτῇ τὸν ποταμόν, οὐχ ὑπήκουσε τὸ ὕδωρ. Λέγει οὖν· Ποῦ ὁ Θεὸς ἀφφώ; Ἀφφὼ δὲ ἑρμηνεύεται ἄμφω, τουτέστι τὸ Πνεῦμα τὸ διπλοῦν.[9] Ποῦ οὖν ὁ Θεὸς ἀμφώ, ἀντὶ τοῦ, τὸ Πνεῦμα διπλοῦν. Καὶ πάλιν λέγει ὁ Σωτήρ· «Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.[10]» Ἑρμηνεύων δὲ ὁ εὐαγγελιστὴς τί ἐστι, «ὕδατος ζῶντος», ἔφη· «Τοῦτο δὲ ἔλεγε περὶ τοῦ ἁγίου Πνεύματος, ὃ ἤμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν.[11]» Εἰ δὲ τὸ ὕδωρ τὸ ζῶν τὸ ἅγιον Πνεῦμά ἐστιν, ἄρα Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον· λέγει γὰρ ὁ προφήτης· «Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος· καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ μὴ δυνήσονται ὕδωρ συνέχειν.[12]» Καὶ ὁ Δαυΐδ· «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.[13]» Ὁρᾷς ὅτι ὁ Πατὴρ πηγὴ ἐκλήθη, καὶ ὁ Υἱὸς ὁμοίως, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐχ ὅτι τρεῖς εἰσι θεοί·

---

1. Α' Κορ. 14, 24-25. 2. Α' Κορ. 3, 16. 3. Α' Κορ. 6, 19. 4. Α' Κορ. 3, 16. 5. Ψαλμ. 94, 8-10. 6. Ἑβρ. 3, 7. 7. Ψαλμ. 105, 14. 8. Πρβλ. Δ' Βασ. 2, 9-10. 9. Πρβλ. Δ' Βασ. 2, 12-14. 10. Ἰω. 7, 38. 11. Ἰω. 7, 39. 12. Ἰερ. 2, 13. 13. Ψαλμ. 35, 10.

εἷς γὰρ Θεός, καὶ εἷς νόμος, νομοθέτης εἷς, καὶ εἷς Κύριος. Εἷς γὰρ Θεὸς ἐν τρισὶ προσώποις κηρύττεται. Καὶ πῶς, φησί, δύναται λέγεσθαι ὁ Πατὴρ Θεός, καὶ ὁ Υἱὸς Θεός, καὶ τὸ Πνεῦμα τὸ ἅγιον Θεός, καὶ οὐ τρεῖς εἰσι θεοί; ὅπου κοινὰ τὰ τῆς φύσεως, κοινὸν καὶ ὄνομα τῆς ἀξίας· οἷον ὁ Θεὸς τὰ εἰς πλήθη διῃρημένα ἀπὸ μιᾶς φύσεως ἑνὶ ὀνόματι καλεῖ· καὶ ὅτε ὀργίζεται τοῖς ἀνθρώποις, τὸν πάντα ἄνθρωπον τῇ ὀργῇ ὑποκείμενον ἕνα ἄνθρωπον καλεῖ· καὶ ὅτε διαλλάσσεται τῷ κόσμῳ, ὡς ἑνὶ ἀνθρώπῳ διαλλάσσεται· οἷον ἐπάγει κατακλυσμὸν διὰ τὴν ἁμαρτίαν, καὶ λέγει ὁ Θεός· «Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις[1]», «καὶ ἐξαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα.[2]» Καίτοι οὐκ ἦν εἷς, ἀλλὰ μυριάδες ἄπειροι· ἀλλὰ τῷ ὀνόματι τῆς φύσεως τὸν πάντα ἄνθρωπον ἕνα ἐκάλεσεν ἄνθρωπον διὰ τὸ κοινὸν τῆς οὐσίας. Καὶ πάλιν λέγει Δαυίδ· «Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; [3]» Οὐχ ὅτι ἕνα ἄνθρωπον ἐσκέψατο· πᾶσαν γὰρ τὴν οἰκουμένην ἤγειρε. Ἑνὶ δὲ συντόμῳ χρησόμεθα λόγῳ διὰ Μωσέως εἰρημένῳ· Ὅτε ἐξῆλθε Φαραὼ κατὰ τὴν θάλασσαν, καὶ ὑπέσχε τῷ νόμῳ τῷ θείῳ τὴν τιμωρίαν, πίπτων μετὰ μυρίων ἁρμάτων ἐν τῇ θαλάσσῃ, καὶ ἦσαν πολλοὶ ἄνθρωποι οἱ βυθισθέντες μετ' ἐκείνου, καὶ ἵπποι πολλοί· ὁ δὲ Μωσῆς εἰδώς, ὅτι πάντων τῶν βυθισθέντων μία ἐστὶν ἡ φύσις, καὶ περὶ τῶν ἵππων καὶ περὶ τῶν ἀνδρῶν λέγει· «Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν·[4]» τὰ πλήθη τῶν ἵππων ἐκάλεσεν ἵππον ἕνα διὰ τὴν κοινωνίαν τῆς φύσεως, καὶ τὰ πλήθη τῶν ἀνδρῶν ἐκάλεσεν ἕνα ἄνθρωπον· ἵππον γὰρ καὶ ἀναβάτην εἶπε διὰ τὴν κοινωνίαν τῆς φύσεως. Εἰ οὖν ἐν τοῖς ἀνθρώποις, ὅπου συγκέχυται τὰ τῆς φύσεως, ὅπου διάφορα τὰ τῆς μορφῆς, καὶ δυνάμεως, καὶ βουλῆς· οὐ γάρ ἐστιν οὔτε γνώμη ἴση, οὔτε μορφή, οὔτε ἰσχύς· καὶ διάφοροι γλῶτται· διὸ καὶ ἄνθρωποι μέροπες λέγονται· ἀλλὰ διὰ τὸ κοινὸν τῆς φύσεως πᾶσα ἡ οἰκουμένη εἷς ἄνθρωπος ἐκλήθη. Ὅπου δὲ ἀμέριστος ἡ ἀξία, μία βασιλεία, μία δύναμις, καὶ βουλή, καὶ ἐνέργεια, ἰδιάζουσα τὴν Τριάδα ἀπὸ τῆς κτίσεως, ἕνα λέγω Θεόν. Εἰ δέ, διὰ τὸ λέγειν Θεόν, καὶ Θεόν, καὶ Θεόν, τρεῖς λέγω θεούς· καὶ ἐὰν εἴπω Κύριον, καὶ Κύριον, καὶ Κύριον, τρεῖς λέγω Κυρίους· εἰ τοίνυν ὁ Πατὴρ Κύριος, καὶ ὁ Υἱὸς Κύριος, καὶ τὸ Πνεῦμα τὸ ἅγιον Κύριος, πῶς σύ, ὦ Ἀπόστολε, ὁ νομοθέτης τῆς ἀληθείας, ὁ σηνήγορος τῆς εὐσεβείας, Ἐφεσίοις ἐβόας λέγων· «Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα; [5]» Εἷς Κύριος κατὰ τὸν ἁγιασμὸν τῶν σεραφίμ· καὶ γὰρ ἐκεῖνα ἐβόα, «Ἅγιος, ἅγιος, ἅγιος Κύριος.[6]» Εἰ δὲ φιλονεικοῦσιν οἱ αἱρετικοί, καὶ λέγουσιν, ὅτι ἄλλη κυριότης τοῦ Πατρός, ἄλλη τοῦ Υἱοῦ, θαυμάζω, πῶς ἀνέχονται δουλεύειν δυσὶ κυρίοις· τοῦ γὰρ Κυρίου ἐστὶ φωνή,

---

1. Γεν. 6, 3. 2. Γεν. 6, 7. 3. Ψαλμ. 8, 5. 4. Ἐξ. 15, 2. 5. Ἐφ. 4, 5. 6. Ἡσ. 6, 3.

«Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν.[1]» Εἰ ἄλλη κυριότης Πατρός, καὶ ἄλλη κυριότης Υἱοῦ, καὶ μερίζεις τὴν ἐξουσίαν, πῶς λατρεύεις τῇ βασιλείᾳ; Οὐ δύναται λατρευθῆναι δύο ἀξιώματα κατὰ τὸ αὐτοῦ, ἐὰν μὴ ὁμότιμα ᾖ. Οὐδεὶς προσκυνεῖ βασιλέα καὶ ἄρχοντα· ὅπου γὰρ ὁμότιμος ἡ ἀξία, ὁμότιμος καὶ ἡ προσκύνησις. Ἐν τῷ ἴσῳ ἀξιώματι οὐκ ἔστι μάχη. Τὸ ἄνισον ἐγείρει τὴν μάχην· τὸ δὲ ἴσον βραβεύει τὴν εἰρήνην. Οὐ συνεχώρησέ σοι ὁ Χριστὸς μερίσαι τὴν τιμήν, εἰπών· «Τοῦτό ἐστι τὸ θέλημα τοῦ Πατρός μου, «ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα.[2]» Τίμα Πατέρα, ἵνα τιμήσῃς Υἱόν· μᾶλλον δὲ τίμα Υἱόν, ἵνα τιμήσῃς Πατέρα. Ἰδιοποιεῖται τοῦ Υἱοῦ τὴν ὕβριν ὁ Θεός· λέγει γὰρ ὁ Σωτήρ· «Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ.[3]» Μὴ νομίσωσιν αἱρετικοὶ ὅτι τῷ Θεῷ χαρίσονται μείζονα αὐτὸν λέγοντες τοῦ Υἱοῦ αὐτοῦ. Οὐ δέχεται τιμὴν τὴν εἰς ἑαυτὸν ὁ Πατήρ, τοῦ Υἱοῦ αὐτοῦ ὑβριζομένου. Καὶ βλέπε πραγμάτων ἀπόδειξιν ἐναργῆ ἐκ τῆς παλαιᾶς Γραφῆς. Οἱ φίλοι τοῦ Ἰώβ, οἱ ἐλθόντες εἰς παραμυθίαν, ἐνεκάλουν αὐτῷ, ὡς φθεγγομένῳ τολμηρά, καὶ ἐδικαίουν τὸν Θεόν. Ὁ Ἰὼβ ἔλεγε τῷ Θεῷ· «Τίς δώσει κριτὴν ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ἵνα ἴδω «πόσαι εἰσὶν αἱ ἁμαρτίαι μου, ὅτι οὕτως με ἔκρινας;[4]» Οἱ φίλοι τοῦ Ἰὼβ ἐδικαίωσαν τὸν Θεόν, καίτοιγε ἀγνοουμένης τῆς ὑποθέσεως· καὶ τὸν μὲν δίκαιον μᾶλλον κατέκριναν ὡς ἁμαρτήσαντα· τὸν δὲ Θεόν, ὡς δικαίως ἐπάγοντα, ἐπήνεσαν· καὶ λέγουσι τῷ Ἰώβ· «Μεγάλως ἐλάλησας, ὑπερβαλλόντως ἐτόλμησας[5], σὺ κατὰ τοῦ ἱκανοῦ λαλήσας·» καί, «Ὁ Θεὸς μὴ ταράττει τὸ δίκαιον;[6]» Καὶ πάλιν λέγει ὁ φίλος αὐτοῦ· «Κατὰ τὰς ἁμαρτίας σου ἐπήγαγέ σοι. Εἰ δὲ μὴ πολλαί σου ἦσαν αἱ ἁμαρτίαι, οὐκ ἂν ἐμάστιξέ σε.[7]» Καὶ ἐδόκουν τῷ Θεῷ συνηγορεῖν, τὸν δὲ δίκαιον κατακρίνειν· ἄρα ὁ Θεὸς ἐδέξατο τοὺς ὑπὲρ αὐτοῦ λέγοντας παρὰ τὸ δίκαιον; Ἆρα ἐδέξατο τὴν ὑπὲρ αὐτοῦ συνηγορίαν, καὶ ἠτίμασε τὸν δίκαιον; Οὐδαμῶς. Οὐκοῦν οὐ δέχεται τὴν εἰς ἑαυτὸν τιμήν, ἀτιμαζομένου τοῦ Υἱοῦ. Ἴδωμεν δὲ τί λέγει τοῖς φίλοις τοῦ Ἰώβ· «Διὰ τί οὐκ ἐλαλήσατε ὀρθὰ περὶ τοῦ θεράποντός μου;[8]» Εἰ οὖν τοὺς κατὰ τοῦ θεράποντος αὐτοῦ ὀρθὰ μὴ λέγοντας ἀποσείεται, τοὺς κατὰ τοῦ Μονογενοῦς ἀκονῶντας τὴν γλῶτταν δέχεται; Οὐδαμῶς. Ἀπαραίτητος τοίνυν δίκη τοῖς βλασφημοῦσι τὸ Πνεῦμα τὸ ἅγιον· ἄκουε γὰρ τί φησιν ὁ Σωτήρ· «Πᾶσα βλασφημία ἀφεθήσεται· ἡ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημία οὐκ ἀφεθήσεται.[9]»

7. *Ὅτι ἡ Τριὰς ἀποστέλλει ἀποστόλους.*

Περὶ τοῦ Πατρὸς λέγει· «Ἐν γὰρ τῷ ὄρει Σιών, ἥξει ὁ εὐαγγελιζόμενος, καὶ οἱ εὐαγγελιζόμενοι, οὓς ὁ Κύριος προσκέκληται.[10]»

---

1. Ματθ. 6, 24. 2. Ἰω. 5, 23. 3. Ἰω. 15, 23. 4. Ἰὼβ 13, 23. 5. Ἰὼβ. 15, 11. 6. Ἰὼβ 8, 3. 7. Πρβλ. Ἰὼβ 22, 5. 8. Ἰὼβ 42, 8. 9. Ματθ. 12, 31. 10. Ἰωὴλ 3, 5.

Περὶ τοῦ Υἱοῦ· «Ἰδοὺ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα, ἐν μέσῳ λύκων.[1]» Περὶ τοῦ Πνεύματος ἐν ταῖς Πράξεσι λέγει· «Οἱ μὲν οὖν ἀποσταλέντες ὑπὸ τοῦ ἁγίου Πνεύματος ἦλθον εἰς Σελεύκειαν.[2]» Εἰ τοίνυν Θεοῦ τὸ προσκαλεῖσθαι, διὰ τί τὸ Πνεῦμα διὰ τῶν προφητῶν λέγει· «Τάδε λέγει Κύριος;» Καὶ πάλιν τὸ Πνεῦμα τοῖς ἐν Ἀντιοχείᾳ ἁγίοις· «Ἀφορίσατε δή μοι τὸν Παῦλον καὶ Βαρνάβαν εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς;[3]» Μάθε οὖν τὴν δύναμιν τῆς Τριάδος. Ὁ Πατὴρ νομοθετεῖ· ὁ Υἱὸς κελεύει· τὸ Πνεῦμα αὐθεντεῖ. Ἄκουε λέγοντος τοῦ Θεοῦ· «Εὐαγγελιζόμενοι ἥξουσιν, οὓς ὁ Κύριος προσκέκληται.[4]»

8. Ὅτι ἡ ἁγία Τριὰς δείκνυται καθῆσθαι ἐπὶ θρόνου ὑψηλοῦ.

Φησὶν ὁ Ἡσαΐας· «Εἶδον τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ[5]», καὶ τὰ ἑξῆς. Ἀνάγκη, ὅτι ὁ Πατὴρ ὑπολαμβάνεται πρὸ πάντων. Εἶθ' ὑποκαταβὰς λέγει· «Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου, λέγοντος. Τίνα ἀποστελῶ; καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Καὶ εἶπα· Ἰδοὺ ἐγώ, ἀπόστειλόν με. Καὶ εἶπέ μοι· Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπὲ αὐτῷ· Ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψητε, καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου[6]», καὶ τὰ ἑξῆς. Ὁ δὲ Ἰωάννης εἰς τὸν Υἱὸν ἐκλαμβάνει ταῦτα· λέγει γάρ· «Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευσαν εἰς αὐτόν, ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπε· «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;[7]» «Ταῦτα δὲ εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ.[8]» Περὶ τοῦ Πνεύματος δὲ ὁ Παῦλος διαλεγόμενος τοῖς ἐν Ῥώμῃ Ἰουδαίοις, εἶπε· «Καλῶς εἶπε τὸ Πνεῦμα τὸ ἅγιον διὰ Ἡσαΐου τοῦ προφήτου· ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψητε, καὶ οὐ μὴ ἴδητε[9]», καὶ τὰ ἑξῆς.

9. Περὶ τοῦ καθῆσθαι τὸ Πνεῦμα.

Ἐκ τῆς βίβλου Μωσέως οὐ μόνον καθήμενον, ἀλλὰ καὶ συγκαθήμενον τὸ Πνεῦμα τὸ ἅγιον Πατρὶ καὶ Υἱῷ δείκνυται. Ἐκ τῆς οὖν πρεπούσης ἱστορίας. Ὥρμημαι δὲ ἐπὶ Ἀβραάμ· «Ὤφθη ὁ Θεὸς τῷ Ἀβραάμ·[10] καὶ ἰδοὺ ἄνδρες τρεῖς, οὓς καὶ ἐξένισεν ὑπὸ τὴν δρῦν, οἱ ἐξανέστησαν, ἐπιβλέψαντες ἐπὶ πρόσωπον Σοδόμων.[11]» Τὸ δέ, «ἐξανέστησαν», καθισάντων ἐστὶ σημασία. Εἰπὲ οὖν, ἐπὶ τῆς τραπέζης οἱ τρεῖς ἐκάθισαν, ἢ οὔ; Φησίν, Ἐκάθισαν. Τὸ οὖν καθῆσθαι ἐπὶ τὸ αὐτὸ συγκαθίσαι ἐστίν. Ἐν δὲ τῷ Δανιήλ, Σωσάννης ἀπαγομένης θανατωθῆναι,

---

1. Ματθ. 10, 16. 2. Πράξ. 13, 4. 3. Πράξ. 13, 2. 4. Ἰωὴλ 3, 5. 5. Ἡσ. 6, 1-2. 6. Ἡσ. 6, 8-10. 7. Ἰω. 12, 37-38. 8. Ἰω. 12, 41. 9. Πράξ. 28, 25-26. 10. Γεν. 18, 1. 11. Γεν. 18, 16.

λέγει ἡ Γραφή· «Ἐξήγειρεν ὁ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον παιδαρίου, ᾧ ὄνομα Δανιήλ.[1]» Ἡ οὖν «ἐξεγέρσεως» φωνὴ οὐκ ἐπὶ ἑστῶτος λαμβάνεται, ἀλλ' ἐπὶ καθημένου ἢ κοιμωμένου· ὡς καὶ ἐν τῷ ψαλμῷ λέγει· «Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου·[2]» καὶ τό, «Ἐξηγέρθη Κύριος ἐν νεφελῶν ἁγίων αὐτοῦ.[3]» Καὶ ἄλλης ἱστορίας μνημονεύσω τοῦ Πατρὸς τοῦ Κυρίου, πρὸς τὸν Ἰωάννην λέγοντος· «Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτόν.[4]» Ὁ Κύριος εἶπεν· «Εἰ καὶ ὁ Πατήρ, ὁ μένων ἐν ἐμοί, αὐτὸς ποιεῖ τὰ ἔργα.[5]» Εἰπὲ οὖν κατὰ τὰς μαρτυρίας, ὁ Πατὴρ καὶ τὸ Πνεῦμα μένουσιν ἐν τῷ Υἱῷ, ἢ οὔ; Φησί, Μένουσιν. Οἱ οὖν ἐν τῷ Υἱῷ μένοντες, ὁ Πατὴρ καὶ τὸ Πνεῦμα, τοῦ Υἱοῦ καθίσαντος, ἀνάγκη πᾶσα συγκαθῆσθαι αὐτῷ καὶ οἱ μένοντες ἐν αὐτῷ· ὡς οὖν κάθηται, καὶ συγκάθηνται. Εἰ οὖν αὕτη ἐστὶν ἱστορία ἐπὶ Ἀβραὰμ καὶ Λώτ, καὶ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων γέγραπται· «Καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν τὸ Πνεῦμα τὸ ἅγιον.[6]» ὡς καὶ ἐν τῷ ψαλμῷ λέγει· «Ὁ καθήμενος ἐπὶ χερουβίμ·[7]» τῷ μὲν Υἱῷ ἴσμεν ἀφωρισμένην δίαιταν ἐκ δεξιῶν τοῦ Πατρὸς ἰδιάζουσαν. Τῶν γοῦν τριῶν καθισάντων ἐπὶ τοῦ Ἀβραάμ, δῆλον ὅτι ἐξ εὐωνύμων ἐκάθισε τὸ Πνεῦμα τὸ ἅγιον· αὕτη γὰρ αὐτῷ ἀφωρισμένη δίαιτα. Ὥσπερ οὖν πρὸς τὸν ἑαυτοῦ Υἱὸν εἶπε· «Κάθου ἐκ δεξιῶν μου·[8]» ἐκ δὲ τοῦ καθίσαι ἐκ δεξιῶν τὸν Υἱὸν ἔστιν ἐπινοῆσαι, ὅτι κατ' ἐπιτροπὴν εἶπε καὶ τῷ ἑαυτοῦ Πνεύματι, Κάθου ἐξ εὐωνύμων μου. Τοῦ δὲ καθημένου ἡ προσηγορία ἀξιώματός ἐστι σημασία· ὁ γὰρ καθήμενος ἐμπερίγραφός ἐστιν, ἐν ᾧ κάθηται τόπῳ. Ὁ δὲ Θεὸς ἡμῶν ἀπερίγραφός ἐστι φύσει· περιγράφεσθαι δὲ δοκεῖ μετενσωματούμενος· οὐ γὰρ ἀνθρωπίζει ἡ Γραφὴ τὸν Θεόν· ἀλλ' ἐκ τοῦ καθ' ἡμᾶς διαλέγεται, ἵνα τὰ ὑπὲρ ἡμᾶς ἐμφανῇ πράγματα ἐν ποίᾳ φύσει. Ὅτι δὲ ἐν τῷ ἑκατοστῷ ἐνάτῳ ψαλμῷ φησιν· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου·[9]» καὶ καθισάντων αὐτῶν, λέγει ἡ Γραφὴ πρὸς αὐτὸν τὸν Χριστόν· «Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ·[10] καί, «Κύριος ἐκ δεξιῶν σου·[11]» δῆλον οὖν ὅτι τὸ Πνεῦμα ἐκ δεξιῶν ἐστι.

10. Ὅτι ἡ Τριὰς ἤγειρε τὸν Χριστὸν κατὰ τὴν σάρκα ἐκ νεκρῶν.

Περὶ Πατρὸς οὕτως λέγει· «Ὁ δὲ Θεός, καὶ τὸν Κύριον ἤγειρε, καὶ ἡμᾶς ἐγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ.[12]» Περὶ Υἱοῦ· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.[13] Αὐτὸς δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ.[14]» Περὶ δὲ τοῦ Πνεύματος· «Εἰ δὲ

---

1. Δαν. (Σωσ. 45). 2. Ψαλμ. 77, 65. 3. Ζαχ. 2, 17. 4. Ἰω. 1, 33. 5. Ἰω. 14, 10. 6. Πράξ. 2, 3. 7. Ψαλμ. 79, 2. 8. Ψαλμ. 109, 1. 9. Ψαλμ. 109, 1. 10. Ψαλμ. 109, 4. 11. Ψαλμ. 109, 5. 12. Α' Κορ. 6, 14. 13. Ἰω. 2, 19. 14. Ἰω. 2, 21.

τὸ Πνεῦμα, τὸ ἐγεῖραν Ἰησοῦν ἐκ νεκρῶν, οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν.[1]»

11. Ὅτι ἡ Τριὰς ὑφ' ἑαυτῆς δοξάζεται.

Ὁ Υἱὸς δοξάζει τὸν Πατέρα· λέγει γάρ· «Ἐδόξασά σου τὸ ὄνομα ἐπὶ τῆς γῆς·[2]» ὁ Πατὴρ τῷ Υἱῷ λέγει ἐν τῷ Εὐαγγελίῳ· «Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.[3]» Ὅτι δεδόξασται Υἱὸς παρὰ τοῦ Πατρός, καὶ Πατὴρ παρὰ τοῦ Υἱοῦ, λέγει ἐν τῷ Εὐαγγελίῳ· «Πάτερ, δόξασόν σου τὸν Υἱόν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε.[4]» Τὸ Πνεῦμα τὸν Υἱὸν δοξάζει· λέγει γὰρ περὶ τοῦ Παρακλήτου· «Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.[5]» Ὁ Υἱὸς τὸ Πνεῦμα δοξάζει, λέγων· «Πᾶσα ἁμαρτία ἀφεθήσεται· ἡ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημία οὐκ ἀφεθήσεται[6]», διὰ τῆς πρὸς Πατέρα καὶ Υἱὸν κοινωνίας· καὶ ἐν τούτῳ, «ὅτι οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι ἁγίῳ.[7]»

12. Περὶ δοξολογίας Πνεύματος ἁγίου.

«Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου· καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.[8]» Τὸ Πνεῦμα οὖν ἐστι τὸ εἰπόν· «Ἐξελοῦμαί σε, καὶ δοξάσεις με. «Δῆλον ὅτι, αὐτὸ γὰρ εἶπε, «Θῦσον τῷ Θεῷ.»

13. Ὅτι πάρεστι πάντῃ ἡ Τριάς.— Περὶ Πατρός.

«Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος.[9]»

14. Περὶ Υἱοῦ.

«Ὁ ἀναβάς, αὐτός ἐστι καὶ ὁ καταβὰς εἰς τὰ κατώτερα μέρη τῆς γῆς, ἵνα πληρώσῃ τὰ πάντα.[10]»

15. Περὶ Πνεύματος.

«Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει·[11]» Ἄλλο· «Ὑμεῖς δὲ γινώσκετε αὐτόν, καὶ παρ' ὑμῖν μένει.[12]» Καὶ ὁ Ἡσαΐας· «Ὁ στερεώσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ διδοὺς πνοὴν τῷ λαῷ, τῷ ἐπ' αὐτῆς, ἢ καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν·[13]» καί, «Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην·[14]» καί, «Πνεῦμά μου ἕστηκεν ἐν μέσῳ ὑμῶν.[15]» Ὁρᾷς πῶς τὸ Πνεῦμα προτάττεται τοῦ Πατρός;

---

1. Ῥωμ. 8, 11. 2. Ἰω. 17, 4. 3. Ἰω. 12, 28. 4. Ἰω. 17, 1. 5. Ἰω. 16, 14. 6. Ματθ. 12, 31. 7. Α' Κορ. 12, 3. 8. Ψαλμ. 49, 14-15. 9. Ἱερ. 23, 24. 10. Ἐφεσ. 4, 10. 11. Ψαλμ. 138, 7-8. 12. Ἰω. 14, 17. 13. Ἡσ. 42, 5. 14. Σοφ. Σολ. 1, 7. 15. Ἀγγ. 2, 5.

16. Ὅτι οὐδεὶς γινώσκει τὴν Τριάδα.

Λέγει ὁ Σωτήρ· «Πάτερ ἅγιε, κόσμος σε οὐκ ἔγνω· ἐγὼ δέ σε ἔγνων.[1]» Περὶ τοῦ Υἱοῦ ἐν τῷ Εὐαγγελίῳ·» Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.[2]» Περὶ τοῦ Πνεύματος· «Ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ γινώσκει αὐτό.[3]»

17. Ὅτι καὶ ἐν τῇ Παλαιᾷ ἡ Τριὰς τὴν ἐνέργειαν τὴν ἰδίαν ἐνδείκνυται.

«Λάβε», φησί, «τὸ αἷμα τῆς τελειώσεως, καὶ ἐπίθες ἐπὶ τοὺς ἱερεῖς, ἐπὶ τὸ ἄκρον τοῦ ὠτὸς τοῦ δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς τῆς δεξιᾶς.[4]» Καὶ βλέπε τὴν κεφαλὴν τοῦ λαοῦ τρίτον σφραγιζομένην, κατὰ τὸν τύπον τῶν Σεραφὶμ τῶν λεγόντων· «Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ·[5]» καὶ κατὰ τὸν τύπον τῆς σινδόνος, τῆς φανείσης Πέτρῳ ἐν Ἰόππῃ, ἐκ τοῦ οὐρανοῦ χαλασθείσης, διὰ τὸ τρίτον χαλασθῆναι.[6] Καὶ ὅτε ὁ Θεὸς εἶπε τῷ Μωσεῖ εἰπεῖν Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, λέγων· «Οὕτως εὐλογήσετε τοὺς υἱοὺς Ἰσραήλ, λέγοντες αὐτοῖς· Καὶ ἐπιθήσουσι τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐγὼ Κύριος εὐλογήσω αὐτούς. Εὐλογήσει σε Κύριος, καὶ φυλάξει σε· ἐπιφανεῖ τὸ πρόσωπον αὐτοῦ ἐπὶ σέ, καὶ ἐλεήσει σε. Ἐπάρῃ Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σέ, καὶ δῴη σοι εἰρήνην.[7]» Καὶ ἐν τῇ Νέᾳ ὁμοίως περὶ Πατρὸς ὁ Παῦλος· «Ὁ δὲ Θεός ἐστιν ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι.[8]» Περὶ τοῦ Υἱοῦ ὁ αὐτός· «Ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός.[9]» Περὶ τοῦ ἁγίου Πνεύματος· «Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.[10]»

18. Ὅτι ἡ Τριὰς παρακαλεῖ· Παράκλητος γὰρ διὰ τὸ παρακαλεῖν καὶ σῴζειν λέγεται, ὡς Θεὸς καὶ Σωτήρ.

Περὶ τοῦ Πατρὸς ὁ Παῦλος λέγει· «Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν.[11]» Καὶ ὁ Ἡσαΐας πρὸς τὴν Ἱερουσαλήμ· «Παρακαλεῖ σε ὁ ὀνομάσας σε.» Παρακαλεῖ ὁ Υἱός· ὡς ἔλεγε· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με[12], παρακαλέσαι πάντας τοὺς πενθοῦντας.[13]» Ἰωάννης ἐν τῇ Ἐπιστολῇ· «Ἐάν τις ἁμάρτῃ, ἔχομεν Παράκλητον πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτός ἐστιν ἱλασμὸς περὶ ἁμαρτιῶν ἡμῶν.[14]» Περὶ τοῦ Πνεύματος ὁ Σωτὴρ πρὸς τοὺς ἑαυτοῦ μαθητάς· «Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε. Κἀγὼ ἀναβαίνω πρὸς τὸν Πατέρα μου· καὶ παρακαλέσω αὐτόν·

---

1. Ἰω. 17, 25. 2. Ἰω. 1, 10. 3. Ἰω. 14, 17. 4. Ἔξ. 29, 20. 5. Ἡσ. 6, 3. 6. Πρβλ. Πράξ. 10, 10 ἑξ. 7. Ἀριθ. 6, 22-27. 8. Α' Κορ. 12, 6. 9. Κολ. 3, 11. 10. Α' Κορ. 12, 11. 11. Β' Κορ. 5, 20. 12. Ἡσ. 61, 1. 13. Ἡσ. 61, 3. 14. Α' Ἰω. 2, 1-2.

καὶ ἄλλον Παράκλητον πέμψει ὑμῖν, τὸ Πνεῦμα τῆς ἀληθείας.[1]

19. Περὶ τῆς Τριάδος.

«Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ·» (ἰσχὺν λέγει τὸν Υἱόν· ἰσχὺς δὲ δύναμίς ἐστι· «Χριστὸς γὰρ Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία·[2]») καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός[3]», τουτέστι τοῦ Πνεύματος· ὡς ἔλεγεν ὁ Σωτήρ· «Ἰδοὺ δίδωμι ὑμῖν Πνεῦμα σοφίας καὶ συνέσεως·[4]» καὶ πάλιν· «Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν·[5]» καὶ πάλιν· «Εὐλογήσει ὑμᾶς ὁ Θεός, ὁ Θεὸς ἡμῶν· εὐλογήσει ὑμᾶς ὁ Θεός.[6]»

20. Ὅτι τὸ Πνεῦμα ποτὲ ἡ Γραφὴ τοῦ Πατρὸς καλεῖ, ποτὲ τοῦ Υἱοῦ· ποτὲ καθ' ἑαυτὸ αὐτὸ ὀνομάζει· οὐ γὰρ ἐν συγχύσει, ἀλλ' ἀδιαιρέτως κηρύσσεται.

Περὶ Πατρός. «Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ.[7]» Καὶ πάλιν· «Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν ὑμῖν.[8]» Περὶ Υἱοῦ· «Ἐξαπέστειλεν ὁ Θεός, τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον Ἀββᾶ ὁ Πατήρ.[9]» Καὶ πάλιν· «Ὅς Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.[10]» Περὶ τοῦ Πνεύματος ὁ Υἱὸς ἔλεγε· «Μὴ μεριμνήσητε, τί, ἢ πῶς λαλήσετε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε· οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρός μου, τὸ λαλοῦν ἐν ὑμῖν.[11]» Περὶ Πνεύματος· «Διῆλθον δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου Πνεύματος, τὸν Λόγον τοῦ Θεοῦ λαλῆσαι ἐν τῇ Ἀσίᾳ. Ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν, ἐπειρῶντο εἰς τὴν Βιθυνίαν πορευθῆναι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα Ἰησοῦ.[12]» Περὶ τοῦ Πνεύματος· «Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε.[13]» Λέγουσιν οἱ αἱρετικοὶ κατὰ τάξιν καὶ ὑπαρίθμησιν ἑστάναι τὴν θεότητα. Ἐροῦμεν ὅτι γέγραπται· «Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ ὁ ἐπουράνιος.[14]» Καὶ πάλιν· «Πρῶτόν φησι τὸ ψυχικόν, εἶτα τὸ πνευματικόν.[15]» Εἰ τοίνυν τῷ πρώτῳ ὑπαριθμεῖται τὸ δεύτερον, τὸ δὲ ὑπαριθμούμενον ἀτιμότερόν ἐστι τοῦ πρὸς ὃ ἔχει τὴν ὑπαρίθμησιν· ἀτιμότερος καθ' ὑμᾶς τοῦ ψυχικοῦ ὁ πνευματικός, καὶ τοῦ χοϊκοῦ ὁ ἐπουράνιος. Ἄλλο· Οὐδεὶς ἀγνοεῖ, ὅτι Θεὸν Ἀβραάμ, καὶ Θεὸν Ἰσαάκ, καὶ Θεὸν Ἰακώβ, καλεῖ ἡ Γραφή. Ἄλλο· Διὰ τοὺς τρίτῳ τόπῳ τάσσοντας τὸ Πνεῦμα τὸ ἅγιον. Ἀντιστρέφει αὐτοῖς ἐν τῇ Παλαιᾷ Διαθήκῃ, καὶ λέγει (ὅτε ἐν Βαβυλῶνι ἐξώριστο

1. Ἰω. 14, 15-17. 2. Α' Κορ. 1, 24. 3. Ψαλμ. 146. 5. 4. Ἰω. 16, 13. Ἡσ. 11, 2. 5. Ψαλμ. 32, 6. 6. Ψαλμ. 66, 7. 7. Α' Κορ. 2, 12. 8. Ῥωμ. 8, 9. 9. Γαλ. 4, 6. 10. Ῥωμ. 8, 9. 11. Ματθ. 10, 19-20. 12. Πράξ. 16, 6-7. 13. Ἐφεσ. 4, 30. 14. Α' Κορ. 15, 47. 15. Πρβλ. Α' Κορ. 2, 14-15.

ὁ λαός), οὕτως λέγει· «Καὶ μνησθήσομαι τῆς διαθήκης μου τῆς πρὸς Ἰακώβ, καὶ τῆς διαθήκης μου τῆς πρὸς Ἰσαάκ, καὶ τῆς διαθήκης μου τῆς πρὸς Ἀβραάμ.[1]» Ἄλλο· «Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμά· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι.[2]» Καὶ ἄλλο· «Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; [3]»

21. Ὅτι προτάττεται τοῦ Πατρὸς ὁ Υἱός.

Λέγει ὁ Σωτήρ· «Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.[4]» Ἄλλο· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.[5]» Καὶ πάλιν ὁ Ἀπόστολος· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ κοινωνία τοῦ ἁγίου Πνεύματος, μετὰ πάντων ὑμῶν.[6]»

22. Πρὸς τοὺς λέγοντας τό, ἐξ οὗ, καὶ δι' οὗ, διαφέρειν, καὶ διδόντας τὸ μέν, ἐξ οὗ, τῷ Πατρί, τὸ δέ, δι' οὗ, τῷ Υἱῷ, ὡς ἔλαττον.

Εὑρίσκομεν δὲ ἐκ τῶν Γραφῶν, ὅτι καὶ ἐπὶ τοῦ Πατρὸς λέγεται τό, «δι' οὗ», καὶ ἐπὶ τοῦ Υἱοῦ, τό, «ἐξ οὗ», καὶ ἐπὶ Πνεύματος ὁμοίως. Περὶ τοῦ Πατρὸς ὁ Ἀπόστολος λέγει· «Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ.[7]» Ἄλλο· «Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ·[8]» καὶ πάλιν· «Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλ' υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος διὰ Θεοῦ.[9]» Καί τό, «Ὥσπερ ἠγέρθη Χριστὸς διὰ τῆς δόξης τοῦ Πατρός.[10]» Καὶ πάλιν, ὅτε ἐγεννήθη Κάϊν, Εὔα εἰρήκει· «Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ.[11]» Καὶ πάλιν τῷ Ἰωσὴφ εἰς τὴν φυλακὴν οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις δίδοται; [12] Περὶ τοῦ Υἱοῦ ἐκ τῆς προφητείας Ἡσαΐου Παῦλος εἶπεν· «Ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα.[13]» Εἰ δὲ ἀντιλέγει ὁ αἱρετικὸς τῷ Πατρὶ τῷ Θεῷ λελέχθαι τήν, «δι' οὗ», φωνήν, πρέπειν δώσει καὶ τὴν ἴσην ἀξίαν τῷ Υἱῷ· καὶ πάλιν Ἐφεσίοις ὁ Ἀπόστολος· «Ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον [14]», καὶ τὰ ἑξῆς. Καὶ πρὸς Κολοσσαεῖς πρὸς τοὺς οὐκ ἔχοντας τὴν γνῶσιν τοῦ Μονογενοῦς εἴρηται· «Ὅτι ὁ κρατῶν τὴν κεφαλήν», τουτέστι τὸν Χριστόν, «ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἀφῶν, καὶ τῶν συνδέσμων [15]», καὶ τὰ ἑξῆς· καὶ τό, «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.[16]» Καὶ αὐτὸς ὁ Κύριος λέγει· «Ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.[17]» Καὶ πάλιν λέγει· «Ἔγνων δύναμιν ἐξελθοῦσαν

---

1. Πρβλ. Βαρ. 2, 33-35. 2. Α' Κορ. 12, 4-6. 3. Ψαλμ. 138, 7. 4. Ἰω. 14, 23. 5. Ἰω. 10, 30. 6. Β' Κορ. 13, 13. 7. Α' Κορ. 1, 9. 8. Α' Κορ. 1, 1. 9. Γαλ. 4, 7. 10. Ῥωμ. 6, 4. 11. Γεν. 4, 1. 12. Πρβλ. Γεν. 40, 8. 13. Ῥωμ. 11, 36. 14. Ἐφ. 4, 15-16. 15. Κολ. 2, 19. 16. Ἰω. 1, 16. 17. Ἰω. 16, 14.

ἐξ ἐμοῦ.[1]» Περὶ τοῦ Πνεύματος· «Ὁ σπείρων εἰς τὸ Πνεῦμα ἐκ τοῦ Πνεύματος θερίσει ζωὴν αἰώνιον.[2]» Καὶ ὁ Ἰωάννης φησίν· «Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν ὁ Θεός, ἐκ τοῦ Πνεύματος αὐτοῦ, οὗ ἔδωκεν ἡμῖν.[3]» Καὶ ὁ ἄγγελος λέγει· «Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου.[4]» Ὁ Κύριός φησι· «Τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν.[5]» Εἰ δὲ τό, «ἐξ οὗ», ἐπιτάττοντός ἐστι, τουτέστι τοῦ Πατρός, ποῦ τις θήσει τό, «Οὐ γέγονεν ἀνὴρ ἐκ γυναικός, ἀλλ' ἡ γυνὴ ἐξ ἀνδρός; [6]» Ἄρα τὸν ἄνδρα Θεὸν ἐροῦμεν;

23. Ὅτι Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματός ἐστί τινα κοινὰ ὀνόματα, ὥσπερ τό, Θεός, τό, Κύριος, Ἅγιος, Ἀγαθός, Πνεῦμα καὶ ἄλλα τινὰ τοιαῦτα.

Ἐπὶ πόσον οὖν ἐν περινοίᾳ γενέσθαι, Πνεῦμα ὠνόμασται· ὡς, «Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτῷ, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.[7]» Καὶ πάλιν περὶ τοῦ Υἱοῦ· «Πνεῦμα προσώπου ἡμῶν Χριστὸς Κύριος.[8]» Ἅγιος ὁ Πατήρ, καὶ ἅγιος ὁ Υἱός, τὸ δὲ Πνεῦμα οὐχ ἁγιαζόμενόν ἐστι, ἀλλ' ἁγιάζον· ἀγαθόν, ὡς ἀγαθὸς ὁ Πατήρ, καὶ ὁ ἐκ τοῦ ἀγαθοῦ ἀγαθὸς γεννηθεὶς Υἱός· εὐθὲς Πνεῦμα, ὡς εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, τῷ εἶναι αὐτοαλήθεια, δικαιοσύνη διὰ τὸ ἄτρεπτον τῆς οὐσίας· Παράκλητος, ὡς μονογενής· κατὰ τό· «Ἐγὼ παρακαλέσω τὸν Πατέρα μου, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν.[9]» Οὕτω κοινὸν τὸ ὄνομα πρὸς Πατέρα καὶ Υἱὸν τῷ Πνεύματι, ἐκ τῆς κατὰ φύσιν κοινωνίας καὶ οἰκειότητος ἡ προσηγορία τούτων ἥνωται. Πόθεν γὰρ ἄλλοθεν, πάλιν ἡγεμονικόν, πάλιν Πνεῦμα ἀληθείας, πάλιν Πνεῦμα σοφίας ὠνόμασται.;

24. Ὅτι ὅσα ὁ Χριστὸς ποιεῖ, καὶ τὸ ἅγιον Πνεῦμα ποιεῖ.

Ἐνεργήματα δυνάμεων, χαρίσματα ἰαμάτων. Διὰ τοῦ Πνεύματος ἁγίου δαίμονες ἀπηλαύνοντο· ἐν τῷ Πνεύματι τοῦ Θεοῦ διάβολος κατήργητο· συμπαρόντος τοῦ Πνεύματος, ἁμαρτιῶν ἀπολύτρωσις ἐν τῇ χάριτι τοῦ Πνεύματος· «Ἀπελούσασθε γάρ, καὶ ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ.[10]» Ἡ ἐκ νεκρῶν ἐπανάστασις τῇ ἐνεργείᾳ τοῦ Πνεύματος· «Ἐξαποστελεῖς γὰρ τὸ Πνεῦμά σου, καὶ κτισθήσονται· καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.[11]» Καὶ πάλιν λέγει· «Εἰ δὲ τὸ Πνεῦμα, τὸ ἐγεῖραν Ἰησοῦν ἐκ νεκρῶν.[12]» Εἴ τις οὖν τὴν κτίσιν ἐκλαμβάνει ἐπὶ τῆς τῶν διαλυθέντων ἀναβιώσεως, πῶς οὐ μεγάλη τοῦ Πνεύματος ἡ ἐνέργεια, τοῦ οἰκονομοῦντος ἡμῖν τὸν ἐξ ἀναστάσεως βίον, καὶ πρὸς τὴν πνευματικὴν ἐκείνη ζωὴν τὰς ψυχὰς ἡμῶν μεταρρυθμίζοντος;

---

1. Λουκ. 8, 46. 2. Γαλ. 6, 8. 3. Α' Ἰω. 4, 13. 4. Ματθ. 1, 20. 5. Ἰω. 3, 6. 6. Α' Κορ. 11, 8. 7. Ἰω. 4, 24. 8. Θρ. 4, 20. 9. Ἰω. 14, 16. 10. Α' Κορ. 6, 11. 11. Ψαλμ. 103, 30. 12. Ῥωμ. 8, 11.

εἴτε λέγοιτο κτίσις ἡ ἐνταῦθα τῶν ἐξ ἁμαρτιῶν διαπεπτωκότων ἐπὶ τὸ βέλτιον μετακόσμησις· (λέγεται γὰρ καὶ οὕτω κατὰ τὴν συνήθειαν τῆς Γραφῆς, ὅταν Παῦλος λέγῃ· «Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις·[1]» καὶ ὁ ἐνταῦθα ἀνακαινισμός, καὶ ἀπὸ τῆς γηΐνης καὶ ἐμπαθοῦς ζωῆς ἐπὶ τὴν οὐράνιον πολιτείαν μεταβολὴ διὰ τοῦ Πνεύματος ἡμῖν γινομένη, ἐπὶ πᾶσαν ὑπερβολὴν θαυμαστῶς τὰς ψυχὰς ἡμῶν ἄγει·) ἐπὶ τούτοις πότερον φοβηθῶμεν, μὴ τὴν ἁγίαν δόξαν ὑπερθώμεθα τοῦ Πνεύματος ταῖς ὑπερβολαῖς τῶν τιμῶν; ἢ τὸ ἐναντίον, μὴ εἰς ταπεινὸν καταγάγωμεν τὴν περὶ αὐτοῦ ἔννοιαν; Λέγει γὰρ τῷ Ἀνανίᾳ ὁ ἀπόστολος Πέτρος· «Διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.[2]»

25. *Ὅτι ὁ Πατήρ, καὶ ὁ Υἱός, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὡδήγησε τὸν Ἰσραήλ.*

Ὁ μὲν οὖν προφήτης Ἱερεμίας λέγει οὕτως περὶ Πατρός· ὅτι «Αὐτὸς ὡδήγησε τὸν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ.[3]» Καί· «Οὐκ εἴπατε, φησί, Ποῦ ἔστιν ὁ Θεός, ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ὁ καθοδηγήσας ἡμᾶς ἐν τῇ ἐρήμῳ;[4]» καὶ ὁ Δαυὶδ φησιν· «Ὡδήγησας, ὡς πρόβατα, τὸν λαόν σου.[5]» Ὁ δὲ Ἡσαΐας τὸ Πνεῦμα τὸ ἅγιον εἶπεν ὡδηγηκέναι τὸν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ. Ἔστιν οὖν αὐτοῦ ἀκοῦσαι λέγοντος· «Ἤγαγεν αὐτοὺς διὰ τῆς ἀβύσσου, ὡς ἵππον ἐν τῇ ἐρήμῳ, καὶ οὐκ ἐκοπίασαν, καὶ ὡς κτήνη διὰ πεδίου, κατέβη Πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτούς.[6]» Πρὸς δὲ Κορινθίους λέγει ὁ Παῦλος, ὅτι Χριστὸς ἦν· «Ἔπινον» γάρ, φησίν, «ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.[7]» Ἐὰν δὲ εἴπῃ τις, ὅτι τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν, ὥστε οὖν ὅσον ὁ ἱκέτης λείπεται τοῦ εὐεργέτου, τοσοῦτον λείπεται τὸ Πνεῦμα, λέγωμεν αὐτῷ, ὅτι ὁ Μονογενής ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν· «Μὴ οὖν λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον», κατὰ τὸν Παῦλον τὸν λέγοντα· «Ἐν ᾧ, ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.[8]» Καὶ ὁ Στέφανος δὲ λέγει· «Ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν.[9]» Καὶ ὁ Ἡσαΐας λέγει· «Παρώξυναν τὸ Πνεῦμα τὸ ἅγιον.[10]» Καὶ ἑτέρωθι· «Οἶκος Ἰακὼβ παρώργισε τὸ Πνεῦμα Κυρίου.[11]» Ἀλλὰ δοῦλον αὐτὸ λέγεις· «Ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ Κύριος·[12]» «τὸ δὲ Πνεῦμα οὕτως οἶδε τὰ τοῦ Θεοῦ, ὡς τὸ πνεῦμα τοῦ ἀνθρώπου, τὸ ἐν αὐτῷ.[13]»

---

1. Β' Κορ. 5, 17. 2. Πράξ. 5, 3-4. 3. Ἱερ. 2, 6. 4. Ἱερ. 2, 6. 5. Ψαλμ. 76, 21. 6. Ἡσ. 63, 13-14. 7. Α' Κορ. 10, 4. 8. Ἐφ. 4, 30. 9. Πράξ. 7, 51. 10. Ἡσ. 63, 10. 11. Μιχ. 2, 7. 12. Ἰω. 15, 15. 13. Α' Κορ. 2, 11.

26. Ὅτι ὁ Υἱὸς ἀληθινὸς Θεός.

Ὁ Ἰωάννης γράφει ἐν τῇ Ἐπιστολῇ· «Οἴδαμεν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν, καί ἐσμεν ἐν τῷ ἀληθινῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεός, καὶ ἡ ζωὴ ἡ αἰώνιος.[1]»

27. Ὅτι μέγας Θεὸς ἐκλήθη ὁ Υἱός.

Ὁ Ἀπόστολος πρὸς Τῖτον· «Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν.[2]» Ὁ αὐτὸς πρὸς Ῥωμαίους· «Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας.[3]» Ἀμήν.

28. Πρὸς τοὺς ἐκλαμβάνοντας εἰς ὕβριν τό, «Οὐκ ἦλθον ποιῆσαι τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.[4]»

Εἰ αἰσχύνην φέρει τῷ Υἱῷ, τὸ πληροῦν τὸ θέλημα τοῦ Πατρός, αἰσχύνην φέρει καὶ τῷ Θεῷ, καὶ Πατρί, πληροῦν τὸ θέλημα τοῦ δικαίου· «Θέλημα» γάρ, φησὶν ὁ Δαυίδ, «τῶν φοβουμένων αὐτὸν ποιήσει ὁ Κύριος, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται.[5]» Εἰ θνητῆς φύσεως θέλημα πληροῦν ὁ Θεὸς οὐκ αἰσχύνεται, ὁ Υἱὸς διὰ τὴν ἔνσαρκον οἰκονομίαν καὶ τὴν σχέσιν τὴν πρὸς ἡμᾶς, καὶ κατάστασιν τὴν δουλικήν, τὴν δι' ἡμᾶς γενομένην, λέγων· «Οὐκ ἦλθον ποιῆσαι τὸ ἐμὸν θέλημα», τουτέστι τὸ τῆς σαρκός, ἐπειδὴ ἡ σὰρξ ἰδία αὐτοῦ, «ἀλλὰ τὸ τοῦ Πατρός·[6]» τουτέστι τὸ θεϊκόν· μὴ οὖν εἰς εὐτέλειαν ἐκλαμβανέσθω, εἰ καὶ τὰ μάλιστα ἐκλύεται αὐτῶν ἡ ἐπίνοια· «Προσῆλθεν αὐτῷ λεπρός, γονυπετῶν καὶ λέγων· Κύριε, ἐὰν θέλῃς δύνασαί με καθαρίσαι·[7]» μὴ ἀπεσείσατο αὐτὸν ὁ Σωτήρ; μὴ εἶπε, Τί βλασφημεῖς, ἐὰν ἐγὼ θέλω; ἐὰν θέλῃ ὁ Θεός· οὐχὶ δὲ ἐδέξατο τὸ ἀπηρτισμένον τῆς πίστεως; οὐχί, τῷ αὐτῷ λόγῳ ἀντιτρέψας αὐτῷ τὴν συλλαβήν, τὴν σωτηρίαν ἤγαγεν αὐτῷ λέγων· «Θέλω, καθαρίσθητι;[8]» «Θέλων καθαρίζει λεπρόν· θέλων, ζωοποιεῖ νεκρόν· ἠθέλησε, καὶ ἤγειρε Λάζαρον·[9]» καὶ αὐτοῦ ἐστι φωνή· «Ὥσπερ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως καὶ τῷ Υἱῷ ἔδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ·[10]» καὶ πάλιν· «Ὥσπερ ὁ Πατὴρ ζωοποιεῖ τοὺς νεκρούς, οὕτως καὶ ὁ Υἱὸς οὓς θέλει, ζωοποιεῖ·[11]» καὶ τοῦτο Δαυὶδ λέγει· «Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ.[12]»

---

1. Α' Ἰω. 5, 20. 2. Τίτ. 2, 13-14. 3. Ῥωμ. 9, 5. 4. Ἰω. 6, 38. 5. Ψαλμ. 144, 19. 6. Ἰω. 6, 38. 7. Μάρκ. 1, 40. 8. Μάρκ. 1, 41. 9. Πρβλ. Ἰω. 11, 43. 10. Ἰω. 5, 26. 11. Ἰω. 5, 21. 12. Ψαλμ. 29,6.

29. Πρὸς τοὺς λέγοντας, ὅτι εἰπεῖν τὸν Σωτῆρα τῇ μητρὶ τῶν υἱῶν Ζεβεδαίου. Τί θέλεις; ὡς ἀγνοοῦντός ἐστιν.

Εὑρίσκομεν ἐν τῇ Παλαιᾷ Διαθήκῃ λέγοντος τοῦ Θεοῦ Σολομῶνι· «Αἴτησαι παρ' ἐμοῦ, καὶ ποιήσω σοι.[1]» Ἆρ' οὖν πρὶν αἰτῆσαι, οὐκ ᾔδει ἃ εἶχε κατὰ ψυχήν; Ἀλλὰ βούλεται ἡμᾶς μετὰ τῆς γνώσεως τοῦ Θεοῦ φανεροῦν τὰ αἰτήματα, ὥς φησι Παῦλος· «Καὶ τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν·[2]» ἀντὶ τοῦ, Γνωρίζετε αὐτῷ τί θέλετε, οὐχ ὡς ἀγνοοῦντι, ἀλλ' ὡς τὴν καλὴν πρόθεσιν ἀποδεχομένῳ·

30. Πρὸς τοὺς λέγοντας ἐν ὑπηρέτου τάξει κεῖσθαι τὸν Υἱόν, διὰ τὸ προσφέρειν τῷ Πατρὶ τὴν ἀνθρωπότητα.

Ἡ Γραφὴ δείκνυσι τὸν Πατέρα προσάγοντα τῷ Υἱῷ. Ἄκουε γὰρ τοῦ Υἱοῦ λέγοντος. «Οὐδεὶς δύναται πρός με ἐλθεῖν, ἐὰν μὴ ὁ Πατήρ μου ὁ οὐράνιος ἑλκύσῃ αὐτόν.[3]»

31. Πρὸς τοὺς δουλεύοντας λέξεσι, καὶ μὴ τοῖς νοήμασι τῶν θείων Γραφῶν, καὶ ποιοῦντας τὸν Πατέρα Θεόν τοῦ Υἱοῦ.

Ὁ Ἀπόστολος λέγει· «Ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ Πατὴρ τῆς δόξης.[4]» Ἐνταῦθα τὴν οἰκονομίαν διώρισε· καὶ δόξαν μὲν τὸν Μονογενῆ καλεῖ· Ἰησοῦν δὲ Χριστὸν τὸ κήρυγμα τῆς οἰκονομίας. Τῆς μὲν γὰρ οἰκονομίας Θεός, τῆς δὲ δόξης Πατήρ. Εἰ δὲ μὴ πείθει σε τὸ ῥῆμα, ἀλλὰ ἄλλην τινὰ νομίζεις δόξαν εἶναι, ἧς Πατὴρ ὁ Θεός· ἄλλην τινὰ ἐπινόησον φύσιν ἀνωτέραν τοῦ Υἱοῦ· ἵνα ἐκείνης μὲν Πατὴρ κληθῇ, τούτου δὲ Θεὸς ὀνομασθῇ ὁ Πατὴρ τῆς δόξης. Δόξα γὰρ λέγεται ὁ Μονογενής· «Ἐθεασάμεθα γάρ», φησί, «τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός·[5]» ὥστε τό, «Ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[6]», ἀντὶ τοῦ, ὁ Θεὸς τῆς σαρκὸς τοῦ Χριστοῦ· ὁ Πατὴρ τῆς δόξης, ὁ Πατὴρ τῆς θεότητος. Δόξαν γὰρ καὶ ὁ Ἡσαΐας τὸν Σωτῆρα καλεῖ, κατὰ τὸ τῆς θεότητος ἀξίωμα· εἰπὼν γὰρ τὰ ἐν τῇ ἐρήμῳ θαύματα, καὶ εὐαγγελισάμενος τὴν ἔρημον, φησίν· «Ἀγαλλιάσθω τὰ ἔρημα τοῦ Ἰορδάνου καὶ ἀνθείτω ὡς κρίνον· ὅτι ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου. Καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου, καὶ τὸ ὕψος τοῦ Θεοῦ· καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.[7]» Δόξα οὖν ἐστιν ἀπὸ δόξης· ὅθεν καὶ ὁ Παῦλος λέγει· «Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως.[8]» Πατὴρ οὖν ἐστι τῆς δόξης τοῦ Μονογενοῦς, Θεὸς δὲ τῆς σαρκὸς τοῦ Χριστοῦ. Οὐκ ἄλλον δὲ τὸν Χριστὸν λέγω, καὶ ἄλλον τὸν Μονογενῆ· τῇ γὰρ ἐννοίᾳ οὐ τέμνω τὰ μὴ τεμνόμενα τῇ ἑνώσει. Πατὴρ γὰρ τοῦ Μονογενοῦς πρὸ αἰώνων· Θεὸς δὲ τοῦ Μονογενοῦς κατὰ τὴν

---

1. Γ' Βασ. 3, 5. 2. Φιλιπ. 4, 6. 3. Ἰω. 6, 44. 4. Ἐφ. 1, 17. 5. Ἰω. 1, 14. 6. Ἐφ. 1, 17. 7. Ἡσ. 35, 1-2. 8. Ἑβρ. 1, 3.

σάρκα ἐπὶ τέλει τοῦ αἰῶνος· ἀεὶ αὐτοῦ Πατήρ, οὐκ ἀεὶ αὐτοῦ Θεός, ἀλλὰ ἀφ' οὗ σάρκα ἀνέλαβεν. Θεὸς ὁ Πατὴρ αὐτοῦ τῆς θεότητος, ὁ μὲν γὰρ Πατὴρ ἀΐδιος, ὁ δὲ Υἱὸς συναΐδιος· καὶ οὐκ ἔχει τομήν, οὐδὲ διαίρεσιν ἡ δόξα τῆς ἀληθείας. Πότε οὖν ἐκλήθη Θεὸς τοῦ Υἱοῦ ὁ Πατὴρ διὰ τὴν σάρκα; ἀφ' οὗ προῆλθεν ἐκ κοιλίας μητρός. Διὰ τοῦτο ἐν τῷ προφήτῃ, βουλόμενος δεῖξαι ἑαυτοῦ καὶ τὴν θεότητα καὶ τὴν σάρκα ἀληθεύουσαν, ἔλεγεν· «Ἐκ κοιλίας μητρός μου, Θεός μου εἶ σύ.[1]» Εἰ δὲ βούλει τὰ ὑπόλοιπα γνῶναι, ἐν τῷ εἰκοστῷ δευτέρῳ ψαλμῷ διδαχθήσῃ.

32. Πρὸς τοὺς λέγοντας μέγαν Θεὸν εἶναι τὸν Πατέρα, τὸν δὲ Υἱὸν μὴ ἴσον.

Εἰ καὶ τὰ μάλιστα τὴν Τριάδα μίαν θεότητα λέγοντες, εὑρίσκομεν τὸν Υἱὸν ἐν τῇ Γραφῇ, πρὸς τὸ φράξαι τὰ στόματα τῶν ἐναντίων, μέγαν παρὰ τὸν Πατέρα· λέγει γὰρ ὁ Δαυΐδ· «Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός· ἐν τῷ Ἰσραὴλ μέγα τὸν ὄνομα αὐτοῦ·[2]» ἡ δὲ Ἰουδαία περιώριστο τόπῳ φανερῷ. Περὶ δὲ τοῦ Υἱοῦ· «Κύριε ὁ Κύριος ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ![3]» Ἐπειδὴ πᾶσαν ἐπλήρωσε τὴν γῆν ἡ Χριστοῦ προσηγορία· εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἁγίων· καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν· εἰκότως λέγει ὁ ψαλμός· «Θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.» Καὶ τί τὸ ἐπαγόμενον, «Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν;[4]» Πληροῦται δὲ τοῦτο, ὅτε ἀνέβησαν εἰς τὸ ὄρος οἱ μαθηταὶ μετὰ τοῦ Σωτῆρος, μέλλοντος ἀναλαμβάνεσθαι, ἔλεγε πρὸς αὐτούς· «Μείνατε εἰς Ἱεροσόλυμα, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους·[5]» διὰ τὸ ἐπῆρθαι· «Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.» Αὐτῷ οὖν Δαυΐδ προσφωνεῖ λέγων· «Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου.[6]»

33. Ὅτι ὥσπερ ὁ Πατὴρ Κύριος Σαβαώθ, οὕτως καὶ ὁ Υἱὸς ὁμοίως.

Ὁ Ἡσαΐας λέγει· «Καὶ σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ Κυρίου Σαβαώθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών.[7]» Ἐν δὲ τῷ ψαλμῷ· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ.[8]»

34. Πρὸς τοὺς λέγοντας ἧττον εἶναι τὸ Πνεῦμα τοῦ Χριστοῦ, ἐπειδὴ ἀρραβὼν ἐκλήθη, μέρος, φησίν, ἐστί.

Γέγραπται ἐν τῇ πρὸς Ἐφεσίους· «Ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ, ὅ ἐστιν ὁ ἀρραβὼν τῆς κληρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως ἡμῶν,

---

1. Ψαλμ. 21, 11. 2. Ψαλμ. 75, 2. 3. Ψαλμ. 8, 2. 4. Ψαλμ. 8, 2. 5. Πρβλ. Πράξ. 1, 4. 6. Ψαλμ. 8, 4. 7. Ἡσ. 8, 18. 8. Ψαλμ. 2, 6.

εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.[1]» Εὑρίσκομεν δὲ τὸν Πατέρα ἐν τῇ Γραφῇ μέρος καλούμενον· λέγει γὰρ ἐν τῷ ψαλμῷ· «Μερίς μου εἶ ἐν γῇ ζώντων·[2]» καὶ πάλιν ἐν τῷ ἑκκαιδεκάτῳ ψαλμῷ· «Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου.[3]»

35. Πρὸς τοὺς λέγοντας τὸν Υἱὸν μὴ εἶναι τῆς οὐσίας τοῦ Πατρός, ὅτι μία ἐξουσία καὶ δύναμις, καὶ βασιλεία, καὶ θεότης τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

Λέγει ὁ προφήτης· «Ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ ὁ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε.[4]» Θεοῦ οὖν ὁ ναός, καὶ λέγει ἑαυτοῦ εἶναι τὸν ναόν, ὡς μὴ νομισθῆναι ἑτέραν εἶναι τοῦ Πατρὸς τὴν δεσποτείαν, καὶ ἑτέραν τοῦ Υἱοῦ τὴν βασιλείαν. Τὸν ναὸν τοῦ Πατρός, ὃν ἀνέθηκεν ὁ Σολομὼν τῷ Θεῷ, τοῦτον ναὸν τοῦ Υἱοῦ καλεῖ ὁ προφήτης· «Ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ ὁ Κύριος.» Διὰ τοῦτο ὁ Σωτὴρ λέγει· «Ἐκβάλετε ταῦτα ἐντεῦθεν, καὶ μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου·[5]» αὐτὸς λέγει· «Ἐκβάλετε ταῦτα ἐντεῦθεν· ὁ γὰρ οἶκός μου οἶκος προσευχῆς κληθήσεται.[6]» «Ὁ οἶκος, φησί, τοῦ Πατρός μου καὶ οἶκός μου.»

36. Ὅτι ὁ Υἱὸς τὸ ὄνομα τοῦ Πατρὸς ἔχει, ὡς Θεὸς καὶ Κύριος.

Μαρτυρεῖ ὁ Πατὴρ ἐν τῇ Ἐξόδῳ· «Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ἵνα φυλάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε ἐν τῇ γῇ, ἣν ἡτοίμασέ σοι· πρόσεχε σεαυτῷ καὶ εἰσάκουε αὐτοῦ· μὴ ἀπείθει αὐτῷ. Οὐ γὰρ μὴ ὑποστείληταί σε· τὸ γὰρ ὄνομά μού ἐστιν ἐν αὐτῷ.[7]» Ὅθεν ὁ Υἱὸς ἐν τῷ Εὐαγγελίῳ λέγει· «Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐκ ἐδέξασθέ με· ἐὰν ἄλλος ἔλθῃ εἰς τὸ ὄνομα ἑαυτοῦ, ἐκεῖνον δέξησθε.[8]» Καὶ εἰς τὸν ἑκατοστὸν ἑπτακαιδέκατον ψαλμὸν λέγει· «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.[9]» Οἱ οὖν ἅγιοι προφῆται οὐ μόνον Ἥλιον δικαιοσύνης ἐκάλουν τὸν Σωτῆρα, καὶ ὀρθρινὸν φῶς ἀληθινὸν ἀλλὰ καὶ λαμπάδα, καὶ βραχίονα· ὡς μαρτυρεῖ ὁ Θεός, λέγων διὰ Ἡσαΐου τοῦ προφήτου· «Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου παραγενέσθαι· τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται.[10]» Μηδεὶς ἀνθρώπινος λογισμὸς ἑρμηνευέτω τὰ τοῦ Θεοῦ. Οὐκ ἔστιν ἀλήθειαν ἐκμαθεῖν τινα ἢ παρ' αὐτῆς αὐτὴν ἐκμανθάνοντας. Ὅτε ὁ Μονογενὴς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐτέχθη ἐξ ἀπειρογάμου κόρης, εἰς τὸν κόσμον ξένην ὠδῖνα καὶ ξένον τοκετὸν εἰσαγαγὼν εἰς τὸν βίον· ἔτι βρέφος ὄντα τοῦτον βαστάζει ἡ μήτηρ καὶ προσάγει Συμεὼν τῷ ἱερεῖ. Οὗτος λαβὼν εἰς τὰς ἀγκάλας τὸν Σωτῆρα, πρὸς αὐτὸν φθέγγεται καί φησι· «Νῦν ἀπολύεις τὸν δοῦ-

---

1. Ἐφ. 1, 13-14. 2. Ψαλμ. 141, 6. 3. Ψαλμ. 15, 5. 4. Μαλ. 3,1. 5. Ἰω. 2, 16. 6. Ματθ. 21, 13. 7. Ἐξ. 23, 20-21. 8. Ἰω. 5, 43. 9. Ψαλμ. 117, 26. 10. Ἡσ. 62, 1.

λόν σου Δέσποτα κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ. Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου [1]», τουτέστι, τὴν παρουσίαν τοῦ Χριστοῦ. Εἰκότως οὖν ὁ προφήτης ἔλεγεν ἐκ προσώπου τοῦ Θεοῦ· «Καὶ τὸ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται, καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσι.[2]» Βραχίονα γὰρ τοῦ Πατρὸς πάλιν καλεῖ τὸν Μονογενῆ. Βραχίονα δὲ οὐχ ὡς μέρος θεότητος καλεῖ· ἀλλ' ὡς τῇ οὐσίᾳ συνημμένον. Ὥσπερ γὰρ ὁ βραχίων τῆς αὐτῆς ἐστιν οὐσίας ἐκείνου, οὗ ἐστι βραχίων, διὰ τοῦτο βραχίων τοῦ Πατρὸς ὀνομάζεται, ἐπειδὴ συνεργός ἐστι τῆς τοῦ Πατρὸς δημιουργίας. Καὶ ταύτης τῆς ἀποδείξεως μάρτυς ὁ μακάριος Ἰωάννης ὁ εὐαγγελιστής, ὁ ἐπὶ τοῦ στήθους τοῦ Σωτῆρος ἀναπεσών, καὶ ὡς ἐξ ἀεννάου πηγῆς ἀντλήσας τὴν θεολογίαν. Τί γάρ φησιν οὗτος τὸν βραχίονα ἐκλαμβάνων εἰς τοῦ Σωτῆρος οἰκονομίαν, καὶ τὴν αὐτοῦ θεότητα; «Πολλά», φησί, «σημεῖα ποιήσαντος τοῦ Ἰησοῦ ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευσαν εἰς αὐτὸν οἱ Ἰουδαῖοι· ἵνα πληρωθῇ τὸ εἰρημένον διὰ Ἡσαΐου· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; [3]»

37. Ὅτι οἱ Ἰουδαῖοι υἱοὶ σκότους ἐκλήθησαν.

Λέγει ὁ προφήτης τοῖς υἱοῖς Ἰσραήλ· «Τάδε λέγει Κύριος· Νυκτὶ ὡμοίωσα τὴν μητέρα σου.[4]» Καὶ ἑρμηνεύων, τίς ἡ νύξ, ἐπήγαγεν· «Ὡμοιώθη ὁ λαός μου, ὡς μὴ ἔχων ἐπίγνωσιν.[5]» Οὐκοῦν ὅπου γνῶσις, τὸ φῶς, ὅπου ἀγνωσία τὸ σκότος· κατὰ τὸν λέγοντα Δαυΐδ· «Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται.[6]» Ὁ τοίνυν Ἀπόστολος οὐχ ὡς κατ' ἐχθρῶν θρασύνεται, ἀλλὰ τῇ ἀληθείᾳ συνίσταται· διὰ τοῦτο ἔλεγεν· «Οὐκ ἐσμὲν υἱοὶ νυκτός, οὐδὲ σκότους· ἀλλὰ υἱοὶ φωτὸς καὶ ἡμέρας.[7]»

38. Ὅτι τὸ φῶς τῶν Ἰουδαίων ἀφῃρέθη ἀπ' αὐτῶν.

Λέγει ὁ προφήτης Ἱερεμίας· «Ὁ λόγος, ὁ γενόμενος πρὸς Ἱερεμίαν ἐπὶ πάντα τὸν λαὸν Ἰούδα.[8]» Εἶτα ἐπιφέρει λέγων· «Καὶ ἀφελῶ ἀπ' αὐτῶν ὀσμὴν μύρου, καὶ φῶς λύχνου.[9]»

39. Ὅτι εἰώθασιν οἱ αἱρετικοὶ λέγειν, ὅτι τὰ λεγόμενα διὰ τῶν προφητῶν ὡς ἐκ προσώπου τοῦ ἁγίου Πνεύματος εἴρηται· ὅθεν νομίζουσι τὸ Πνεῦμα τὸ ἅγιον ποιεῖν ἧττον τοῦ Θεοῦ, κακῶς· διὰ τὸ λέγειν τὸν ψαλμόν· «Δεῦτε, προσκυνήσωμεν αὐτῷ [10]», ὡς ἂν προσκυνοῦντος τοῦ Πνεύματος σὺν τοῖς ἀνθρώποις.

Ἀποκρινόμεθα αὐτοῖς τὰ ἀκόλουθα. Τί οὖν λέγει, ὅτι καὶ «Κλαύσωμεν ἐναντίον Κυρίου; [11]» Οὐκοῦν καὶ κλαίει τὸ Πνεῦμα, ὡς σὺ

---

1. Λουκ. 2, 29-30. 2. Πρβλ. Ἡσ. 62, 1-2. 3. Ἡσ. 53, 1. Ἰω. 12, 37. 4. Ὠσ. 4, 5. 5. Ὠσ. 4, 6. 6. Ψαλμ. 81, 5. 7. Α' Θεσ. 5, 5. 8. Ἱερ. 25, 1. 9. Ἱερ. 25, 10. 10. Ψαλμ. 94, 6. 11. Ψαλμ. 94, 6.

φάσκεις; Καὶ ἀλλαχοῦ, ἵνα δειχθῇ ἡ κυριότης τοῦ Πνεύματος, λέγει· «Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός.[1]» Καὶ ἐν ἄλλῳ λέγει· «Γνῶτε, ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεός·[2]» καὶ πάλιν· «Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός.[3]» Ἐλέγχων δὲ εἰς τὰς βασιλείας λέγει· «Πνεῦμα ἐλάλησεν ἐν ἐμοί[4]», οὐ δι' ἐμοῦ. Καὶ ἵνα μαρτυρήσῃ Παῦλος, τίς ἦν ὁ λαλῶν διὰ τῶν προφητῶν, ἀνάγνωθι τὰ γραφέντα παρ' αὐτοῦ ἐν τῇ πρὸς Ἑβραίους· «Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ.[5]» Οὐκοῦν πεφανέρωται, ὅτι Θεός ἐστι τὸ Πνεῦμα τὸ ἅγιον. Πάλιν ἴδωμεν, πῶς ἔχει ὁ χρηματισμός, ὃν ἐχρημάτισεν ὁ Θεὸς πρὸς τὸν Ἠλίαν. Τότε γὰρ ὁ Ἠλίας κατενετύγχανεν τῷ Θεῷ, λέγων· «Τὰ θυσιαστήριά σου κατέσκαψαν, καὶ τοὺς προφήτας σου ἀπέκτειναν· κἀγὼ περιελείφθην μόνος· καὶ ζητοῦσι τὴν ψυχήν μου ἆραι.[6]» Ἀποκρίνεται αὐτῷ ὁ χρηματισμός, «Ἐξελεξάμην ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ.[7]» Ἴδωμεν οὖν, εἰ καὶ τὸ Πνεῦμα ἔχει χρηματισμόν. Τῷ Συμεών, ἱερεῖ ὄντι καὶ γέροντι, ἐχρηματίσθη αὐτῷ ὑπὸ τοῦ Πνεύματος, ὅτι «Οὐ μὴ ἀποθάνῃς, πρὶν ἂν ἴδῃς τὸν Χριστόν.[8]» Καὶ ὅτε παιδίον εἰσηνέχθη εἰς τὸ ἱερόν, καὶ ἐβάστασεν αὐτὸν ἐν ταῖς ἀγκάλαις αὐτοῦ, τότε ἀποκρίνεται Συμεών· «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ.[9]» Οὐκοῦν Κύριος καὶ δεσπότης τὸ Πνεῦμα.

40. Ὅτι λέγουσι τὸ Πνεῦμα ἁγιαστικὸν εἶναι.

Εἰ μὲν ἐδόθη αὐτῷ τὸ ἁγιάζειν κατὰ χάριν, εὑρίσκεται ἱερέων ποιοῦν ἔργον. Οὐ γὰρ δύναται καὶ δεσπότης εἶναι καὶ ὑπουργός. Καὶ εἰ μὲν ὑπουργός, περιττὸν τὸ βαπτίζεσθαι ἡμᾶς εἰς τὸ ὄνομα τοῦ ὑπουργοῦ. Καὶ γὰρ ὁ ἱερεὺς οὐ τὸ ὕδωρ ἁγιάζει, ἀλλὰ τὴν δέουσαν ὑπηρεσίαν ἀποπληροῖ, εἰληφὼς παρὰ τοῦ Θεοῦ κατὰ χάριν. Εἰ οὖν τὸ αὐτὸ ποιεῖ τὸ Πνεῦμα, ὃ καὶ ὁ ἱερεύς, εἰ ἐδόθη αὐτῷ τὸ ἁγιάζειν ὡς σὺ φῄς, διὰ τί ὁ Πατὴρ ἁγιάζει; Βασιλεὺς γάρ, ἐπιτάττων τινὶ ἔργον, ἐκείνῳ συγχωρεῖ, ᾧ ἐπιτάττει ποιεῖν· καὶ οὐκ αὐτὸς ἐργάζεται.

41. Πάλιν ὁ αἱρετικός, θέλων δεῖξαι, ὅτι τὸ Πνεῦμα Κύριον καλεῖ τὸν Λόγον τοῦ Θεοῦ, λέγει.

«Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου.[10]» Θέλων δὲ ὁ Σωτὴρ δεῖξαι ὅτι οὐ μόνον τὸ Πνεῦμα Κύριον καλεῖ τὸν Χριστόν, ἀλλὰ καὶ αὐτὸς ὁ Χριστὸς Κύριος καὶ Θεός ἐστιν, ἐξετασθεὶς παρὰ Ἰουδαίου λέγοντος· «Ἐπιστάτα, ποία ἐστὶ πρώτη ἐντολή; λέγει αὐτῷ· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης καρδίας σου· καὶ γὰρ γέγρα-

---

1. Ψαλμ. 80, 11. 2. Ψαλμ. 99, 3. 3. Ψαλμ. 84, 9. 4. Β' Βασ. 23,2. 5. Ἑβρ. 1, 1-2. 6. Γ' Βασ. 19, 10. 7. Γ' Βασ. 19, 18. 8. Λουκ. 2, 26. 9. Λουκ. 2, 29. 10. Ψαλμ. 109, 1.

πται· Κύριος Θεὸς εἷς ἐστιν. Ἡ δευτέρα ἐντολή· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Τότε ἀπεκρίθη ὁ Ἰουδαῖος· Ὀρθῶς εἶπας, ἐπιστάτα, ὅτι ὁ Θεὸς εἷς ἐστι.[1]» Τοῦτο δὲ ἔλεγεν, ἵνα τὴν θεότητα τοῦ Υἱοῦ ἀρνήσηται. Ὁ δὲ Σωτήρ, βουλόμενος τὴν κυριότητα αὐτοῦ συνάψαι τῇ τοῦ Πατρός, ἐξετάζει αὐτόν· «Περὶ τοῦ Χριστοῦ τί λέγετε; τίνος ἐστὶν υἱός; Λέγουσι, Τοῦ Δαυίδ.» Ἀποκρίνεται ὁ Σωτήρ· «Πῶς οὖν Δαυὶδ ἐν Πνεύματι ἁγίῳ Κύριον αὐτὸν καλεῖ; Εἰ οὖν Υἱὸς αὐτοῦ ἐστι, πῶς αὐτὸν Κύριον καλεῖ; [2]» Πάλιν ἔλεγον αὐτῷ, ὅτε ἐξέβαλλε τὰ δαιμόνια· «Οὗτος ἐν Βεελζεβούλ, ἄρχοντι τῶν δαιμονίων, ἐκβάλλει τὰ δαιμόνια.[3]» Εἶτα λέγει· «Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω, τὰ τέκνα ὑμῶν ἐν τίνι ἐκβάλλουσιν; [4]» Αἰνίττεται δὲ αὐτοὺς τέκνα, λέγων γεννηθέντας μὲν ἐξ αὐτῶν τοὺς ἀποστόλους, ἐκβάλλοντας δὲ τὰ δαιμόνια ἐν ὀνόματι Ἰησοῦ τοῦ Ναζωραίου, ὥς φησιν· Εἰ τὰ τέκνα ὑμῶν πρὸς τὸ ἀπελάσαι δαίμονας ἀρκοῦνται τῷ ὀνόματί μου, ἐγὼ εἰς τὸ ὄνομα Βεελζεβοὺλ οὐκ ἐκβάλλω τὰ δαιμόνια.

42. Πρὸς τοὺς λέγοντας ὅτι αἰτεῖ ὁ Υἱός.

Κατασκευάζει ὁ αἱρετικός, καὶ λέγει ἔλαττον εἶναι τὸν αἰτοῦντα διδόντος. Ἐὰν οὖν τὸν Πατέρα αἰτοῦντα παρὰ ἀνθρώπων εὕρωμεν ἐν τῇ Παλαιᾷ Διαθήκῃ, τί λέγεις; «Καὶ νῦν, Ἰσραήλ, τί Κύριος αἰτεῖ παρὰ σοῦ, ἀλλ᾽ ἢ τὸ φοβεῖσθαι αὐτόν; [5]»

43. Περὶ τοῦ ὁμοιοτρόπως δεδόσθαι τὸν νόμον ὑπὸ τοῦ Πνεύματος, ὅτε ἐδόθη ὁ νόμος τῇ Πεντηκοστῇ, ὡς ἐν τῷ ὄρει Σινᾶ.

Μαρτυρεῖ Μωσῆς λέγων· «Καὶ ἦν ἡ δόξα τοῦ Θεοῦ Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾶ, ὡς πῦρ καιόμενον· [6]» ἵνα πληρωθῇ τό· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν [7]», πῦρ οὐκ ἀφανιστικόν, ἀλλὰ καθαρτικόν. Διὰ τοῦτο τῷ Ἡσαΐᾳ δίδοται ἐν τοῖς χείλεσι.[8] Καὶ λέγει· «Ἰδοὺ ἀφῆκα τὰς ἁμαρτίας σου· [9]» οὕτω τότε ἐφάνη τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῇ Πεντηκοστῇ ἐν εἴδει πυρός. Ἐμερίσθησαν γὰρ γλῶσσαι ὡσεὶ πυρός, καὶ ἐκάθισεν ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν.[10] Καὶ ὥσπερ ἐν τῇ Παλαιᾷ, ἐπιφαινομένου τοῦ Θεοῦ, πολλὰ ἦν τὰ δορυφοροῦντα φόβητρα, γνόφος, καὶ θύελλα, καὶ σάλπιγξ, καὶ βρονταί, περιηχοῦντα τὸ ὄρος, ἅτινα ἦν προπαρασκευάζοντα τὸν λαὸν εἰς φόνον τοῦ νομοθέτου [11], οὕτως καὶ τοῦ ἁγίου Πνεύματος μέλλοντος ἐπιφοιτᾶν· ἵνα μάθωσι τοῦ Πνεύματος τὴν ἀξίαν ἐπιφοιτῶσαν. Ὥσπερ ἐν τῷ ὄρει γνόφος καὶ θύελλα προέδραμεν, οὕτω καὶ ἐπὶ τοῦ Πνεύματος ἐγένετο· «Ἐν τῷ συμπληροῦσθαι

---

1. Μάρκ. 12, 28-32. Δευτ. 6, 5. 2. Ματθ. 22, 42-45. 3. Λουκ. 11, 15. 4. Λουκ. 11, 19. 5. Δευτ. 10, 12. 6. Ἔξ. 24, 16-17. 7. Λουκ. 12, 49. 8. Πρβλ. Ἠσ. 6, 7. 9. Πρβλ. Λουκ. 5, 23. 10. Πράξ. 2, 1-3. 11. Πρβλ. Ἔξ. 19, 18-19.

τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἐγένετο ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ τότε ὤφθη τὸ Πνεῦμα, καὶ συνέσεισε τὸν οἶκον.[1]»

44. Ὅτι λέγουσιν οἱ αἱρετικοί, ὅτι τὸ Πνεῦμα δῶρόν ἐστι παρὰ Θεοῦ.

Ἡμεῖς λέγομεν δῶρον ζωῆς (ἠλευθέρωσε γὰρ ἡμᾶς· ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσεν ἡμᾶς[2]), καὶ δῶρον δυνάμεως· «Λήψεσθε γὰρ δύναμιν, ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς.[3]» Ἡμεῖς δὲ καὶ Υἱὸν καὶ υἱοθεσίαν δεικνύομεν, ὅτι ἐχαρίσατο τὸ Πνεῦμα τὸ ἅγιον τοῖς ἀνθρώποις· καὶ μετ' ὀλίγα· «Πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσηται;[4]» καὶ ἑτέρωθι· «Ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν.[5]» Περὶ τοῦ μυστηρίου τῆς ἀνθρωπήσεως λέγων ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, παραθεὶς Παῦλος τὴν φάσκουσαν λέξιν· «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός·» ἐπεργάζεται περὶ Χριστοῦ λέγων· «Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν· ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον.[6]» Παῖδας δὲ αὐτοῦ ἐν τούτοις τοὺς ἀποστόλους ὀνομάζει, ἐφ' ὧν σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ ποιήσειν Κύριον Σαβαώθ, τὸν κατοικοῦντα ἐν τῷ ὄρει Σιών, διδάσκει. Τούτους δὲ αὐτοὺς φανερούς φησιν ἔσεσθαι, τὸ πρόσωπον σφραγιζομένους τῇ τοῦ Χριστοῦ σφραγῖδι, παιδευομένους τε μηκέτι τὸν Μωσέως νόμον μανθάνειν, τῷ μηκέτι συνιστάναι αὐτόν, καὶ τὸν καλούμενον οἶκον Ἰακὼβ καταλελεῖφθαι ὑπὸ Θεοῦ.

45. Ὅτι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὴν συμφωνίαν ἀπολογεῖται ὁ Θεὸς Λόγος.

Καὶ μὴ νομίσῃς εὐτελείας εἶναι τὰ ῥήματα, ἀλλὰ φιλανθρωπίας· εὐτελείας μὲν γὰρ τὸ σχῆμα, φιλανθρώπου δὲ τὸ ἐπάγγελμα· Χριστὸς γὰρ ὁ πάντων Κύριος, οὗτος αὐτὸς ὁ λέγων Ἰουδαίοις· «Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;[7]» Υἱός ἐστι τοῦ λέγοντος διὰ τοῦ προφήτου Μιχαίου· «Λαός μου, τί ἠδίκησά σε, ἢ τί παρηνώχλησά σοι; ἀποκρίθητί μοι·[8]» καὶ ὁ διὰ τῶν Εὐαγγελίων εἰπών· «Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ[9]», ὁ Υἱός ἐστι τοῦ λέγοντος πρὸς Ἱερεμίαν· «Εἶπον τῇ κατοικίᾳ Ἰσραήλ· Τί εὗρον ἐν ἐμοὶ οἱ πατέρες ὑμῶν πλημμέλημα ἢ ἀδίκημα, ὅτι ἀπέστησαν ἀπ' ἐμοῦ μακράν;[10]» Ὦ τῆς φιλανθρωπίας ἐκείνης, ἐν ᾗ ἀγαθότης τὴν φύσιν, μᾶλλον δὲ οὐ τὴν φύσιν, ἀλλὰ τὴν ἡμετέραν ἐνθύμησιν.

46. Πῶς ἡ ἀγαθότης τοῦ Θεοῦ ἐνδείκνυται.

Λέγει τῷ Μωσεῖ· «Ἐγὼ ὁ Θεὸς ὁ ἀποδιδοὺς ἁμαρτίας πατέρων

---

1. Πράξ. 2, 1-2. 2. Ῥωμ. 8, 2. 3. Πράξ. 1, 8. 4. Ῥωμ. 8, 32. 5. Α' Κορ. 2, 12. 6. Ἑβρ. 2, 13-14. 7. Ἰω. 8, 46. 8. Μιχ. 6, 3. 9. Ἰω. 18, 23. 10. Ἱερ. 2, 5.

ἐπὶ τέκνα.[1]» Καὶ μέχρι τίνος; «Ἐπὶ τρίτην καὶ τετάρτην γενεάν.[2]» Πρόσεχε πῶς τὴν τιμωρίαν ἥπλωσεν ἐπὶ τέσσαρας γενεάς. Τὴν δὲ φιλανθρωπίαν ἕως τίνος; «Καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με.[3]»

47. Ὅπως πάντες οἱ προφῆται, ὁμοῦ συναχθέντες, τὴν μνήμην οἰκονομίας ἐπλήρωσαν.

Μωσῆς τὸν τύπον τοῦ σταυροῦ ἐποίησε καὶ μαρτυρεῖ ὁ Σωτήρ, λέγων· «Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ[4], οὕτως δεῖ ὑψωθῆναι τὸν Υἱὸν τοῦ ἀνθρώπου.[5]» Ὁμοίως καὶ Ἰωνᾶς ἐποίησε τὴν μνήμην τοῦ θανάτου.[6] Κατῆλθε γὰρ εἰς τὸ κῆτος, καὶ διὰ τριῶν ἡμερῶν ἀνεδόθη, καὶ ἐγίνετο τύπος τῆς ἀναστάσεως, Τοῦτο πάλιν καὶ ὁ Σωτὴρ ἀναλαβών, τὸν τύπον εἰς ἀλήθειαν ἐκφέρει λέγων· «Καὶ καθὼς ἐποίησεν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως δεῖ ποιῆσαι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς.[7]»

48. Ὅτι ἡ Τριὰς ὁμοούσιος.

Τί ἐστι Θεός; Ἡ πάντων ἀρχὴ κατὰ τὸν Ἀπόστολον λέγοντα· «Εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα.[8]» Καὶ γὰρ ὁ Λόγος ἐξ αὐτοῦ γεννητῶς, καὶ τὸ Πνεῦμα ἐξ αὐτοῦ ἐκπορευτῶς. Εἶτα πᾶσα ἡ κτίσις διὰ τοῦ Λόγου ἐν Πνεύματι συνέστη δημιουργικῶς.

49. Ὅτι τὸ βλασφημῆσαι εἰς τὸν Υἱὸν εἰς τὴν ἁγίαν Τριάδα βλασφημῆσαί ἐστι.

Πολλοῖς τῶν ἐπὶ γῆς φοβερὸς ὁ Κυρίου λόγος καθέστηκεν, ὁ φάσκων. «Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὐδὲ ἐν τούτῳ τῷ αἰῶνι, οὐδὲ ἐν τῷ μέλλοντι.[9]» Διὰ τοῦτο παραινεῖ πᾶσιν ὁ θεῖος Ἀπόστολος, λέγων, ὅτι τὸ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. Πολλὰ γὰρ τῶν θείων Γραφῶν ἐὰν κατὰ τὸ γράμμα νοήσωμεν, εἰς ἀθέσμους βλασφημίας περιπίπτομεν· οἷόν ἐστι καὶ τὸ προκείμενον ἡμῖν τοῦ Κυρίου λόγιον, ὅπερ ἐὰν κατὰ ξηροῦ τὰς λέξεις ἐκλάβωμεν, οὐ μόνον εἰς ἀθεμίτους ἐννοίας περιπεσούμεθα, ἀλλὰ καὶ αὐτὸν τὸν Κύριον ἐναντιούμενον ἑαυτῷ εὑρήσομεν. Ἐὰν γὰρ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ, ἀφεθήσεται αὐτῷ, πῶς αὐτὸς ὁ Υἱὸς εἶπεν· «Ὁ ἀπαρνησάμενός με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀπαρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ·[10]» καὶ πάλιν, ἐὰν πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, καὶ ὑπὲρ

---

1. Ἔξ. 20, 5. 2. Ἔξ. 20, 5. 3. Ἔξ. 20, 6. 4. Πρβλ. Ἀριθ. 21, 9. 5. Ἰω. 3, 14. 6. Πρβλ. Ἰων. 2, 1. 7. Ματθ. 12, 40. 8. Α' Κορ. 8, 6. 9. Ματθ. 12, 31-32. 10. Λουκ. 12, 9.

ἀργοῦ λόγου ἀπολογίαν δώσομεν, πῶς ὁ λέγων τὸν ἀδελφὸν αὐτοῦ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός [1], πῶς δὲ καὶ ὁ ἀπόστολος Παῦλός φησι· «Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὐ λοίδοροι, οὐ μέθυσοι, οὐχ ἅρπαγες, βασιλείαν Θεοῦ κληρονομήσουσι.[2]» Καὶ εἰ ταῦτα οὕτως ἔχει, πῶς λοιπόν, εἰπέ μοι, ὅτι πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις; Καὶ ἐὰν πάλιν τοῦτο ἀληθές, διὰ τί λοιπὸν ἐγκαλεῖται ὁ ἄθλιος Ὠριγένης, τέλος κηρύττων τῆς κολάσεως, ἐν οἷς φησι συγχώρησιν πάσης ἁμαρτίας γενέσθαι καὶ τοῖς ἀνθρώποις καὶ τοῖς δαίμοσι παρὰ Θεοῦ; Πάλιν τε, ἐὰν ἡ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημία οὐκ ἔχῃ συγχώρησιν, τί μέμφεται ἡ Ἐκκλησία Νουάτον ἀποβαλλόμενον τὴν μετάνοιαν; Τὸ δὲ σκοτεινότερον καὶ δυσκατάληπτον ἐκεῖνό ἐστιν, ὅτι ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Πνεύματος, οὐκ ἀφεθήσεται αὐτῷ· ὥστε ἐλάττων ἐστὶν ὁ Υἱὸς παρὰ τὸ Πνεῦμα τὸ ἅγιον καὶ τὸν Πατέρα. Καὶ πῶς Υἱὸς λέγει, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν [3]», καί, «Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα; [4]» Καὶ πάλιν ἐνταῦθά φησιν, ὅτι «Ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ, ἀφεθήσεται αὐτῷ; [5]» Ἆρα οὖν, εἰπέ μοι, συγχωρηθήσεται ἡ εἰς τὸν Υἱὸν βλασφημία τοῖς Ἀρειανοῖς, καὶ Σιμωνιανοῖς, καὶ Σαβελλιανοῖς, καὶ Φωτεινιανοῖς, καὶ τοῖς λοιποῖς πᾶσι, τοῖς εἰς τὴν τοῦ Υἱοῦ σάρκωσιν βλησφημήσασιν; Ἄπαγε τῆς ἀτοπίας! Εἰ γὰρ ὁ λέγων τὸν ἀδελφόν αὐτοῦ, Μωρέ, ἔνοχός ἐστιν εἰς τὴν γέενναν τοῦ πυρός [6], εἰς ποίαν λοιπὸν εἰπέ μοι, γέενναν γεέννης ἐκβληθήσεται ὁ λέγων τὸν Θεὸν αὐτοῦ κτίσμα, καὶ οὐχὶ Θεοῦ Υἱόν, ἀλλὰ δοῦλον, καὶ ὑπουργόν, καὶ μικρόν; Καὶ εἰ, ὅστις εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ ἀφεθήσεται αὐτῷ, πῶς αὐτὸς ὁ Υἱὸς εἶπεν, ὅτι «Ὁ μὴ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα οὐκ ἔχει ζωὴν αἰώνιον; [7]» Πῶς δὲ καὶ δύναταί τις, ἀτιμάζων τὸν Υἱόν, μὴ βλασφημεῖν εἰς τὴν Τριάδα; Ὁ δὲ εἰς αὐτὴν βλασφημῶν δηλονότι ἀπαρνεῖται τὸ ἅγιον βάπτισμα. Ὁ δὲ τὸ ἅγιον βάπτισμα ἀπαρνούμενος δῆλον ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἀποδύεται. Καὶ ὥσπερ ἐπὶ τοῦ αἰσθητοῦ ἡλίου, ἐὰν τὴν θέρμην ἢ τὴν ἀκτῖνα αὐτοῦ καθυβρίσῃς, εἰς ὅλην τὴν φύσιν αὐτοῦ ἀνατρέχει ἡ ὕβρις, οὕτως καὶ ἐπὶ τοῦ τρισηλίου τῆς ἁγίας Τριάδος φωτὸς καὶ μυστηρίου, τῇ τῆς μιᾶς ὑποστάσεως ἀτιμίᾳ παντὸς τοῦ πληρώματος τῆς θεότητός ἐστιν ἡ βλασφημία. Τί οὖν ἐστιν ὑπὸ τοῦ Κυρίου πρὸς Ἰουδαίους λεγόμενον, ὅτι «Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Πνεύματος ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὐδὲ ἐν τῷ νῦν αἰῶνι, οὐδὲ ἐν τῷ μέλλοντι; [8]» Νουνεχῶς ἀκούσωμεν, καὶ μὴ πλανηθῶμεν. Διττὸν εἶναι τὸν Χριστὸν μετὰ τὴν ἄφραστον ἕνωσιν, φημὶ

1. Πρβλ. Ματθ. 5, 22. 2. Α' Κορ. 6, 9-10. 3. Ἰω. 10, 30. 4. Ἰω. 5, 23. 5. Ματθ. 12, 32. 6. Πρβλ. Ματθ. 5, 22. 7. Ἰω. 6, 54. 8. Ματθ. 12, 31-32.

δὴ ἐκ θεότητος καὶ ἀνθρωπότητος, αἱ ἱεραὶ ἡμῖν διαβοῶσι Γραφαί· «Ὁ γὰρ Λόγος σὰρξ ἐγένετο.[1]» Τὴν γοῦν τοῦ Λόγου θεότητα αὐτὸς Χριστὸς Πνεῦμα ἅγιον ὀνομάζει· καθὰ καὶ πρὸς τὴν Σαμαρεῖτιν ἔλεγεν ὅτι «Πνεῦμα ὁ Θεός·[2]» τὴν δὲ ἀνθρωπότητα αὐτοῦ Υἱὸν ἀνθρώπου· καθὼς πάλιν ἀλλαχοῦ περὶ τῆς ἰδίας σαρκὸς αὐτοῦ φησι· «Νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου.[3]» Εἰ οὖν ἀεὶ τῷ Θεῷ προσκρούοντες Ἰουδαῖοι διττὴν πρὸς Χριστὸν τὴν βλασφημίαν ἐκέκτηντο. Οἱ μὲν τῇ σαρκὶ αὐτοῦ, ἤγουν τῷ Υἱῷ τοῦ ἀνθρώπου, προσκόπτοντες, προφήτην αὐτόν, ἀλλ' οὐ Θεὸν εἶναι ἐνόμιζον· οἷς καὶ συγγνώμην ἔδωκεν· ἀρχὴ γὰρ ἦν τοῦ κηρύγματος, καὶ οὕτω ἦν χωρῶν ὁ κόσμος, Θεὸν πιστεύειν, φαινόμενον ἄνθρωπον· διὸ καί φησιν ὁ Χριστός, ὅτι «Ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου», εἴτ' οὖν τοῦ σώματος αὐτοῦ, «ἀφεθήσεται αὐτῷ.[4]» Τολμῶ γὰρ λέγειν, ὅτι οὐδὲ αὐτοὶ οἱ μακάριοι αὐτοῦ μαθηταὶ τὸ τέλειον περὶ τῆς αὐτοῦ θεότητος εἶχον φρόνημα, ἕως τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῖς τῇ Πεντηκοστῇ ἐπεφοίτησεν. Ἐπεὶ καὶ μετὰ τὴν ἀνάστασιν ἰδόντες αὐτόν, οἱ μὲν προσεκύνησαν, οἱ δὲ ἐδίστασαν· ἀλλ' οὐκ ἐκ τούτου κατεκρίθησαν. Οἱ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, εἴτ' οὖν εἰς τὴν τοῦ Χριστοῦ θεότητα βλασφημήσαντες, καὶ λέγοντες, ὅτι «Ἐν Βεελζεβούλ, τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια·[5]» τούτοις, φησίν, «οὐκ ἀφεθήσεται οὐδὲ ἐν τῷ νῦν αἰῶνι, οὐδὲ ἐν τῷ μέλλοντι.[6]» Καὶ πάλιν σημειώσασθαι χρή, ὅτι οὐκ εἶπεν ὁ Χριστός· Τῷ βλασφημήσαντι καὶ μετανοήσαντι οὐκ ἀφεθήσεται· ἀλλὰ τῷ βλασφημοῦντι, εἴτ' οὖν, τῷ ἐν τῇ βλασφημίᾳ ἐπιμένοντι· ἐπειδήπερ οὐκ ἔστιν ἁμαρτία ἀσυγχώρητος παρὰ τῷ Θεῷ τοῖς γνησίως καὶ κατ' ἀξίαν μετανοοῦσιν.

50. Τί ἐστιν Εὐαγγέλια;

Τοῦ Θεοῦ Λόγου Κυρίου Ἰησοῦ Χριστοῦ παρουσία, πρὸς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων σαρκωθέντος, ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας, τῆς ἀειπαρθένου.

51. Περὶ ἀγγέλων.

Τί ἐστιν ὅρος οὐσίας ἀγγέλου; Ἄγγελος γὰρ ζῷον λογικόν, ἄϋλον, ὑμνολογικόν, ἀθάνατον.

52. Τί δὲ ἔργον τῶν ἐπουρανίων δυνάμεων ὑπάρχει;

Ὕμνος ἄληκτος, καὶ ἔρως ἄπαυστος τῆς μεγαλοπρεπείας τοῦ Θεοῦ· τάχα δὲ καὶ εὐχὴ ἔμμονος ὑπὲρ σωτηρίας ἡμῶν. Ἐπειδὴ δὲ καὶ αὗται αἱ τάξεις καὶ στρατιῶται λέγονται, δεῖ λοιπὸν ἐννοεῖν τάξιν διδασκαλικήν, τάξιν ἐπιτρεπτικήν, τάξιν τιμωρητικήν, τάξιν ψυχῶν χαριστι-

1. Ἰω. 1, 14. 2. Ἰω. 4, 24. 3. Ἰω. 13, 31. 4. Ματθ. 12, 32. 5. Λουκ. 11, 15. 6. Ματθ. 12, 32.

κήν, τάξιν ἐν ἀνθρώποις παραμονητικήν. Ὥσπερ δὲ καὶ τάξεως διαφορὰν ἐν ταῖς ἄνω δυνάμεσιν ἔγνωμεν, οὕτω καὶ στάσεως καὶ γνώσεως. Οἱ μὲν θρόνοι, καὶ τὰ σεραφίμ, καὶ τὰ χερουβίμ, ἀμέσως παρὰ Θεοῦ μανθάνουσιν, ὡς πάντων ἀνώτερα καὶ Θεῷ πλησιάζοντα· ταῦτα δὲ διδάσκει τὰ κατώτερα τάγματα, καὶ οὕτως ἐφεξῆς τὰ ἀνώτερα διδάσκει τὰ κατώτερα. Τὸ δὲ κατώτερον τάγμα εἰσὶν οἱ ἄγγελοι, οἱ καὶ τῶν ἀνθρώπων ὄντες διδάσκαλοι.

53. Τί ἐστιν ἄνθρωπος;

Ἄνθρωπός ἐστι ζῷον νοερόν, αἰσθητικὸν θείου νοῦ, καὶ ζωῆς αἰωνίου δεκτικόν, καὶ τῇ ταύτης στερήσει θνητόν. Τούτου οὖν τοῦ ἀνθρώπου τοῦ κατὰ τὴν γηγενῆ πλάσιν.

54. Ὅτι σύνθετος ὁ ἄνθρωπος, καὶ οὐχ ἁπλοῦς, οὐδὲ ἐξ ὁμοειδῶν μερῶν, ἀλλ' ἐξ ἀσωμάτου νοῦ, καὶ σώματος τοῦ ἐπιθυμητικοῦ, ἤτοι ἐμψύχου.

Ὡς ἐδίδαξεν ὁ Παῦλος, σαρκὸς μὲν τὸ ἐπιθυμητικὸν τῇ ψυχῇ προσνείμας, ὃ καὶ σάρκα προσεῖπεν ἅμα τῷ ἑαυτῆς θελήματι τὴν ἀνθρώπου σάρκα, ἣν καὶ στρατεύεσθαι ἔφη κατὰ τοῦ πνεύματος· οὐ στρατεύεται δὲ τὸ μὴ κίνησιν ἔχον, μηδὲ θέλησιν ἰδίαν. Ταύτην δὲ τὴν σάρκα, πρὸς τὸ πνεῦμα ἔφη διαμάχεσθαι, οὐ τὴν ἀκίνητον, οὐδὲ τὴν ἄψυχον. Φυσικὸν γὰρ ἐνέσπαρται ταύτῃ κίνημα παθητικόν, μεθ' οὗ σὰρξ ὀνομάζεται, ὡς ἐν τῇ πρὸς Ῥωμαίους ἔτι σαφέστερον ἡρμήνευσε, τὸ ἐν τῇ σαρκὶ διασαφήσας κίνημα, διαμαχόμενον πρὸς νοῦν καὶ ἀντιπάσχον, ὡς οὐ ταὐτὸν δήπου, ἀλλ' ἕτερον ὂν τῷ νῷ· «Συνήδομαι γάρ», φησί, «τῷ νόμῳ τοῦ Θεοῦ, κατὰ τὸν ἔσω ἄνθρωπον· βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με.[1]» Τοῦτο δὲ τὸ θέλημα καὶ ψυχὴν ἰδίως ὁ Παῦλος ἐκάλεσεν, χωρίσας ἀπὸ τοῦ πνεύματος, ὅτε φησίν· «Ὁ Θεὸς ἁγιάσῃ ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχή, καὶ τί τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη·[2]» ἐν δὲ τούτῳ τὸ πνεῦμα, καὶ ψυχήν, καὶ σῶμα, τὸν ὁλοτελῆ ἄνθρωπον ἑρμηνεύσας, καὶ ὑπευξάμενος αὐτὸν ἁγιασθῆναι, καὶ ἀμέμπτως τηρηθῆναι. Πνεῦμα μὲν οὖν ἔδειξε τὸ ἁγιαζόμενον, ὅπερ ἐστὶν ὁ νοῦς ὁ ἀνθρώπινος· ψυχὴν δὲ μετὰ τοῦτο τὸ ἐπιθυμητικόν, καὶ σῶμα σκῆνος τὸ γήϊνον· ὥστε κατὰ ταύτην τὴν διαίρεσιν τρία εἶναι τὸν ἄνθρωπον τὸν γηγενῆ· τὸ νοερόν, τὸ ἐπιθυμητικόν, τὸ σωματικόν. Τοῦτο τὸ θέλημα, ἤτοι ἡ ψυχή, τὸ ἐπιθυμητικόν, ἥνωται τῷ νῷ τῷ τοῦ ἀνθρώπου καὶ τῷ σώματι. Ἐπικρατοῦντος οὖν τοῦ νοεροῦ, τὸ ὅλον ἐστὶ νοερὸς ἄνθρωπος· καίτοιγε συμπεπληγμένον ἔχων

---

1. Ῥωμ. 7, 22-23. 2. Α' Θεσ. 5, 23.

ἐν ταῖς σαρκικαῖς ἐπιθυμίαις, κατὰ τὴν πρόδηλον διαφορὰν καὶ μάχην λογικοῦ τε καὶ ἀλόγου, τοῦ ἐν τῷ ἀνθρώπῳ, ἀλλ' οὐκ ἐπικρατοῦντος, ἀλλὰ ἐπικρατουμένου. Ἡγεμονικὸν δὲ λέγεται, καθὼς ὁ νοῦς ἡγεῖται τοῦ ζωτικοῦ σώματος. Ἄνθρωπος οὖν καθ' ἡγεμονίαν νοῦ μετέσχε θεότητος, νοερὸν ζῷον ὤν· διὰ τοῦτο λέγει· «Ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν.[1]»

1. Α' Κορ. 6, 17.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΕΛΕΓΧΟΣ ΤΗΣ ΥΠΟΚΡΙΣΕΩΣ ΤΩΝ ΠΕΡΙ ΜΕΛΕΤΙΟΝ, ΚΑΙ ΕΥΣΕΒΙΟΝ ΤΟΝ ΣΑΜΟΣΑΤΕΑ ΚΑΤΑ ΤΟΥ ΟΜΟΟΥΣΙΟΥ.*

Ἄνθρωπος καθ' ὁμοίωσιν Θεοῦ γέγονε, καὶ ἔστιν οὐ Θεὸς ὁ ἄνθρωπος, τὸ γὰρ ὅμοιόν τινι οὐκ ἔστιν αὐτὸ ἐκεῖνο, ᾧ ὁμοιοῦται. Ὡς καὶ τό, ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ καὶ σπέρματι, καὶ οὐδὲν τούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν· καί, ὅμοιος ἀνθρώπῳ οἰκοδεσπότῃ ὁ μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἀλλ' οὐκ οἰκοδεσπότης οὗτος· καὶ ἕτερα τοιαῦτα πολλά. Ὅμοια δὲ καὶ ἐν τοῖς σώμασι, λύκος κυνί, ἀλλ' οὐ κύων ἐστί· καὶ κασσίτερος ἀργύρῳ, ἀλλ' οὐκ ἄργυρος· χαλκὸς χρυσῷ, ἀλλ' οὐ χρυσός· καὶ κόκκινον αἵματι, ἀλλ' οὐχ αἷμα· καὶ γύψος χιόνι, ἀλλ' οὐ χιών· καὶ ἄλλα διάφορα τοιαῦτα θεωρεῖται. Θεῷ οὖν οὐχ ὅμοιος ὁ Υἱός, Θεὸς ὤν, ἀλλ' ἓν καὶ τοῦτο· ὡς γέγραπται· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.[1]» Καὶ θεότητα ἡρμήνευσε τὴν ἑνότητα· θεότητα δὲ οὐχ οἵαν τῶν θεοποιηθέντων· ἅτε δὴ ἀντιτιθεὶς αὐτὴν πρὸς ἐκείνην, ὡς ἔχει τὸ λόγιον τοῦ Κυρίου· Θεὸς γάρ ἐστιν, οὐχ ὡς ἄνθρωπος ὁ καθ' ὁμοίωσιν Θεοῦ γενόμενος· καὶ Θεὸς ὀνομαζόμενος τῇ ὁμοιώσει, οὐ τῇ φύσει· ὁμοιωμένην ἔχων Θεῷ τὴν οὐσίαν· καὶ δὴ καὶ προκόπτων ἐν τῇ ὁμοιότητι· καθ' ἣν ἤδη φύσιν, «Τέκνα Θεοῦ ἐσμεν[2]», καὶ «Ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα.[3]» Ὅπου δὲ οὐσία ἡ αὐτή, οὐ προκόπτει οὐσία εἰς τὸ μᾶλλον καὶ ἧττον, ἀλλὰ ἄνθρωπος μὲν οὕτως, ὁ δὲ Κύριος ὁ αὐτὸς ἀεί· καὶ οὐ ποτὲ μὲν ἥττων, ποτὲ δὲ μείζων, ὡς Θεός· «Ἰησοῦς», φησίν, «χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.[4]» Ὁ τοίνυν ἀναιρῶν, τὸ εἶναι τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρί, λέγων δὲ ὅμοιον, ἀναιρεῖ τὸ εἶναι Θεόν. Ὡσαύτως δὲ καὶ ὁ ἐξηγούμενος τὸ ὁμοούσιον, ὡς ὅμοιον τῇ οὐσίᾳ, ἑτέραν τὴν οὐσίαν λέγει, Θεῷ δὲ ὁμοιωμένην. Οὐ τοίνυν οὐδὲ τὸ ἐκ τῆς οὐσίας εἶναι πρεπόντως λέγει, μὴ φρονῶν ὁμοούσιον, ὡς ἄνθρωπος ἐκ τῆς ἀνθρώπου οὐσίας. Εἰ δὲ μή, ὡς ἄνθρωπος ἐξ ἀνθρώπου κατ' οὐσίαν, ἐκ Θεοῦ ὁ Υἱός, ἀλλ' ὡς ἐν ὁμοιώματι, καθάπερ ἀνδριὰς ἀνθρώπῳ, ἢ ὡς ἄνθρωπος Θεῷ· δῆλός ἐστιν ὁ τοιοῦτος ὁμοούσιον μὲν λέγων, ὁμοούσιον δὲ οὐ φρονῶν· οὐ γὰρ κατὰ τὴν συνήθειαν βούλεται τὸ ὁμοούσιον ἀκούεσθαι, ὅπερ ἐστίν, ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς οὐσίας, ἀλλὰ

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 85.

1. Ἰω. 10, 30. 2. Ῥωμ. 8, 16. 3. Α' Ἰω. 3, 2. 4. Ἑβρ. 13, 8.

παρὰ τὴν συνήθειαν· καὶ ἵνα διαβάλλῃ ταύτην, Ἑλληνικὴν ῥῆσιν εἰρηκέναι, τὸ ὁμοούσιον ῥῆμα τοῦ ἐν Ἕλλησιν ἔθους ἐπ᾽ οὐδενὶ ἑτέρῳ κείμενον, ἢ ἐπὶ τῷ τὴν αὐτὴν φύσιν παραστῆσαι· ὅπερ δεῖ πιστεῦσαι ἐπὶ Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Ἅμα τε οὖν τὸ ὁμοούσιον οὗτος ἐκτρέπει, καὶ τὸ τῆς οὐσίας νόθως ὀνομάζει· ὡς ἔργον νοῶν, οὐχ ὡς γέννημα, καὶ διὰ τοῦτο καὶ τὸ ἀπαθῶς προστίθησι πιθανῶς· οὐχ ἵνα πάθους ἀφέλῃ διαβολήν· τίς γὰρ λέγει Θεοῦ πάθος; ἀλλ᾽ ἵνα ποιητὸν ἐκ Θεοῦ λέγῃ, καὶ μὴ γεννητὸν ἐκ Θεοῦ περοεληλυθότα· ὡς τῆς τοιαύτης προόδου παθητικῆς οὔσης· καθὰ δὲ λέγειν εἰώθασιν οἱ τὴν μὲν ἐκ τῆς οὐσίας πρόοδον ὡς πάθος ἐκβάλλοντες, ἣν δὲ λέγουσιν ἐκ τῆς οὐσίας ποίησιν ὡς ἀπαθῆ συνιστῶντες. Ὥσπερ εἰ καὶ τῆς ποιήσεως, εἰ ἀνθρωπίνως λαμβάνοιτο, κίνησιν ἐχούσης, καὶ τὸν ἐκ τῆς κινήσεως κάματον· ἅπερ ἀλλότρια δημιουργοῦντος Θεοῦ· ὅμως γοῦν, ὡς γέννησιν ἀπαθῆ διὰ τοιαύτης ἐξηγήσεως τὴν τοῦ Υἱοῦ νοοῦντες πρόοδον, τὸ Πνεῦμα ἀλλοτριοῦσι Πατρὸς καὶ Υἱοῦ· ὅτι μὴ γεννήσει ἡ τούτου πρόοδος, ἀλλὰ πνεύσει ὁμοιοῦται διὰ τὴν μετάληψιν, ὡς πνοῆς ἐκ στόματος ἐρχομένης καὶ τὸν μεταλαμβάνοντα ἁγιαζούσης, καθὰ δὴ λέγεται πνεύματος. Ἦν δὲ ἀδύνατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ Πνεῦμα δοξάζεσθαι, μὴ προδικῶς ὂν ἐκ Θεοῦ δι᾽ Υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονός, ὡς λέγουσιν. Οὐ γὰρ συνδοξάζεται ποίημα ποιητῇ, οὐδὲ δοῦλος δεσπότῃ· οὐδὲ ἡ τῆς ἀλλοτρίας Θεοῦ οὐσίας μέθεξις ἂν εἴη Θεοῦ· «Ἐν τούτῳ γάρ», φησὶν ὁ Ἰωάννης «γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν, ἐκ τοῦ Πνεύματος, οὗ ἔδωκεν ἡμῖν.»

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΠΕΡΙ ΤΗΣ ΣΑΡΚΩΣΕΩΣ ΤΟΥ ΘΕΟΥ ΛΟΓΟΥ.*

1. Ἐλύπει μὲν τὴν ἁγία σύνοδον Παύλου τοῦ Σαμοσατέως ἡ καινοτομία, τὸ μέγα μυστήριον, τὸ κατὰ Χριστόν, ἀνατρέπειν ἐπιχειροῦσα, λυπεῖ δὲ καὶ νῦν τοὺς ἀντεχομένους τῆς ἁγίας πίστεως ἡ περὶ τῶν αὐτῶν βλασφημιῶν βλάπτουσα τοὺς πολλούς· μάλιστα τοὺς ἡλαττωμένους περὶ τὴν σύνεσιν. Τὰ γὰρ μεγάλα, καὶ δυσκατάληπτα τῶν πραγμάτων, πίστει τῇ πρὸς τὸν Θεὸν λαμβάνεται· ὅθεν οἱ περὶ τὴν γνῶσιν ἀδυνατοῦντες, ἀποπίπτουσιν, εἰ μὴ πεισθεῖεν ἐμμένειν τῇ πίστει, καὶ τὰς περιέργους ζητήσεις ἐκτρέπεσθαι. Διὰ τοῦτο ὁ μακάριος Παῦλος ἔλεγεν· «Ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν Πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.[1]»

2. Ἐπεὶ τοίνυν ἠκούσαμεν παρ' ἡμῖν τινας ταράττεσθαι, καὶ ζητεῖν γράμματα παρ' ἡμῶν περὶ τῆς κοινῆς καὶ ἐξ ἀποστόλων εἰσαχθείσης πίστεως, γράφομεν, ὅτι τὴν μὲν ἀκρίβειαν αὐτῆς ἐπιζητεῖν ὀλίγων ἐστί, τὴν δὲ πίστιν κατέχειν ἁπάντων τῶν πρὸς τὸν Θεὸν εὐπειθῶν, οἳ καὶ μέγιστον ἔπαινον ἀποφέρονται τῆς ἐπιθυμίας. Ὁ μὲν γὰρ ζητῶν τὰ ὑπὲρ ἑαυτὸν ἐπικίνδυνος· ὁ δὲ τοῖς παραδοθεῖσιν ἐμμένων ἀκίνδυνος. Παραινοῦμεν δὲ ὑμῖν ὅπερ καὶ ἑαυτοῖς παραινοῦμεν, τὴν παραδοθεῖσαν πίστιν φυλάττειν, ἐκτρέπεσθαι δὲ τὰς βεβήλους καινοφωνίας, καὶ τοῦτο πᾶσι παρεγγυᾶν φοβεῖσθαι τὴν περὶ τοῦ τηλικούτου μυστηρίου ζήτησιν· ὁμολογεῖν δέ, ὅτι πεφανέρωται Θεὸς ἐν σαρκὶ κατὰ τὴν ἀποστολικὴν παράδοσιν, καὶ τὴν δικαιοσύνην, ἣν ἔσχεν ὁ Κύριος ἐν Πνεύματι, τουτέστιν, οὐκ ἀνθρωπίνῃ τροπῇ, ἀλλὰ θεϊκῇ τῇ καθαρότητι· ἀδύνατον γὰρ ἑτέρως τὸ καθαρὸν καὶ ἀναμάρτητον ἐπ' ἀνθρωπίνης φύσεως παραδεχθῆναι, εἰ μὴ Θεὸς ἐν σαρκὶ πιστεύοιτο εἶναι ὁ τὴν ἀναμάρτητον δικαιοσύνην εἰς τὸν κόσμον εἰσαγαγών, ἧς μετέχοντες ζησόμεθα καὶ σωζόμεθα Τὸ γάρ, «Οὐκ ἔστι δίκαιος ἐπὶ τῆς γῆς, ὃς ποιήσει τὸ ἀγαθόν, καὶ οὐχ ἁμαρτήσεται[2]», κοινὸν δήπου κατὰ πάντων ἀνθρώπων ἐστίν· ὅθεν, «Ἐξ οὐρανοῦ καταβέβηκε», φησίν, «ὁ τὴν ἄχραντον δικαιοσύνην παρ' ἑαυτοῦ δωρούμενος Λόγος.» Καὶ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 89.

1. Α' Τιμ. 3, 16. 1. Ἐκκλησ. 7, 20.

λέγει σαφῶς· «Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου·[1]» καὶ πάλιν· «Ἐὰν θεωρῆτε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν τὸ πρότερον·[2]» καί, «Ἐγώ εἰμι ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς[3]», «ὁ ζῶν καὶ διδοὺς ζωὴν τῷ κόσμῳ·[4]» σαφῶς διὰ τούτων ἐκδιδάσκων ἡμᾶς τὴν θεότητα τὴν ἑαυτοῦ, οὐκ ἀναιρῶν τὸ κατὰ σάρκα προσειληφέναι, ἀλλ᾽ ἑνῶν ἑαυτὸν πρὸς τὴν σάρκα· ἐπειδὴ κατὰ Παῦλον ἐν ὁμοιώματι ἀνθρώπων γέγονε, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος.[5] Ὁ δὲ ἄνθρωπος ἓν πρόσωπον, καὶ ζῷον ἕν, ἀπό τε πνεύματος καὶ σαρκός· κατὰ δὲ τὸ ὁμοίωμα αὐτοῦ νοητέον τὸν Χριστὸν ἕνα, καὶ οὐ δύο πρόσωπα, ὅπερ ἡ νῦν ἀπιστία βιάζεται, σαφῶς ἀπολειπομένη τοῦ μεγέθους τῆς θείας χάριτος, καὶ τῷ Ἑλληνικῷ σκανδάλῳ περιπίπτουσα. Ἐπειδὴ γὰρ οὐ πιστεύει δυνατὸν εἶναι τὸν Θεὸν ἄνθρωπον γενέσθαι κατὰ τὴν ἐξ ἀρχῆς φωνὴν Ἰωάννου, λέγοντος, ὅτι «Ὁ Λόγος σὰρξ ἐγένετο[6]», διὰ τοῦτό φησιν ἄνθρωπον μὲν εἶναι ἐκ τῆς Παρθένου τεχθέντα, καὶ μηδὲν ἔχειν τῇ φύσει θεϊκόν· Θεὸν δὲ εἰς αὐτὸν καταβεβηκέναι. Οἱ δὲ ταῦτα λέγοντες, αὐτὰ τὰ ἐναντία λέγουσιν, ὥσπερ ἀντιλέγοντες τῷ Λόγῳ, ὅτι οὐχὶ καταβεβηκὼς ἐξ οὐρανοῦ Υἱὸς ἀνθρώπου, ἀλλ᾽ ἐκ γῆς ἀναστάς, ὑπεδέξατο τὸν ἐξ οὐρανοῦ Θεόν.

3. Ἡμᾶς οὖν καλῶς ἔχει τοῖς θείοις ἕπεσθαι ῥήμασι, καὶ μὴ λογισμῶν γυμνασίαις προδιδόναι τὰ σαφῶς οὕτως κεκηρυγμένα. Ὅτ᾽ ἂν οὖν μόνον ἕτερον ἄνθρωπον λέγωσιν οἱ τοῦ Σαμοσατέως, ἕτερον δὲ τὸν Θεόν, μὴ παραδεχώμεθα. Εἰ γὰρ καὶ Θεὸν ἐνοικεῖν ἐν τῷ ἀνθρώπῳ λέγοιεν, μὴ παραδεχώμεθα· ἐνοικεῖ δὲ ἐν ἡμῖν, καθὼς γέγραπται· «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω.[7]» Οὐδὲν οὖν διαφέρει ἡμῶν κατὰ τὸν αὐτῶν λόγον· ὥστ᾽ εἰ συμπροσκυνεῖς τὸν ἄνθρωπον τῷ Θεῷ Λόγῳ κατὰ τὴν ἐνοίκησιν, συμπροσκύνει καὶ τοῖς ἁγίοις διὰ τὸν ἐνοικοῦντα ἐν αὐτοῖς. Καὶ πῶς οὐκ ἄτοπον; Τὸ δὲ καὶ πρὸ ἁγίου Πνεύματος, τουτέστι πρὸ Θεοῦ, δοξασθῆναι ἄνθρωπον τῆς ἐσχάτης ἐστὶν ἀσεβείας. Ἡμεῖς οὖν τῷ Πνεύματι Θεόν, καὶ ἄνθρωπον τῇ σαρκὶ τὸν Κύριον ἡμῶν εἶναι πεπιστεύκαμεν, κἂν χλευάζωσιν οἱ ἄπιστοι τὴν ἐκ γυναικὸς γέννησιν, τῆς σαρκὸς εἶναι ταύτην, καὶ οὐ τῆς θεότητος. Φαμὲν οὖν ἡνῶσθαι τῇ σαρκὶ τὸν Θεόν, καὶ κατὰ τοῦτο ἐκ γυναικὸς πεπλάσθαι, καὶ γεγεννῆσθαι, ἕνα ὄντα, ὡς ὁ Ἀπόστολος ἐδίδαξεν· «Ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γεννώμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ.[8]» Καὶ τὸν θεῖον σταυρὸν χλευάζουσιν ὁμοίως Ἕλλησιν. Ἡμεῖς δὲ τῆς σαρκὸς ἕνεκεν τοῦτόν φαμεν, οὐ κεχωρισμένης τοῦ Θεοῦ, οὐδ᾽ εἰς ἕτερον πρόσωπον διῃρημένης· οὐ γὰρ δυνατὸν εἶναι Κύριον τῆς δόξης ψιλὸν ἄνθρωπον· «Ὁ» δὲ «Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δό-

1. Ἰω. 3, 13. 2. Ἰω. 6, 62. 3. Ἰω. 6, 51. 4. Πρβλ. Ἰω. 6, 51, 53. 5. Πρβλ. Φιλιπ. 2, 7. 6. Ἰω. 1, 14. 7. Λευϊτ. 26, 12. 8. Γαλ. 4, 4-5.

ξης·[1]» Κύριον τῶν δυνάμεων φοβούμενοι λέγειν ἄνθρωπον τὸν τὴν αὐτὴν ἡμῖν ἔχοντα φύσιν, καὶ μεῖζον οὐδέν, Θεὸν κατὰ τὴν ἀποστολικὴν φωνὴν ὁμολογοῦμεν εἶναι τὸν Κύριον τῆς δόξης τὸν ἐσταυρωμένον· καὶ τῷ σταυρῷ τροπαίῳ χρώμεθα κατὰ τοῦ διαβόλου· καὶ ἡ σφραγὶς ἡμῶν τοῦ Χριστοῦ δύναμίς ἐστιν εἰς σωτηρίαν. Καὶ τῷ Χριστῷ συνεσταυρῶσθαι τοῦτο σωτήριον ὑπὲρ νόμον καὶ τὴν ἐκ νόμου δικαιοσύνην, τοῦτο ἁγιάζει τὸν κόσμον. Καὶ διὰ τοῦτο εἰς τὸν θάνατον αὐτοῦ βαπτιζόμεθα, ὅτι ὁ θάνατος ἐκείνου οὐχ ἁμαρτίας ἦν ἐπιτίμιον, οὐδὲ ἴσος τῷ θανάτῳ τοῦ Ἀδάμ· ἀλλὰ λυτήριος τῆς ἁμαρτίας, καὶ τοῦ διὰ ταύτην θανάτου.

4. Σαφὲς τοίνυν τὸ κήρυγμα τῶν ἀποστόλων ἐκκείσθω, καθάπερ βούλεσθε, ὅπερ καὶ παρὰ τῶν ἁγίων πατέρων παραδέδοται· περὶ μὲν τῆς θεότητος, ὅτι μία φύσις ἡ Τριάς, καὶ κατὰ τοῦτο μίαν οὐσίαν καὶ αἱ νῦν σύνοδοι γράφουσιν ἀποστολικῶς· ὁ δὲ τοῦ Θεοῦ Λόγος δημιουργὸς τῶν ἁπάντων, πρὸς ὁμοιότητα τὴν ἑαυτοῦ κτίσας τὸν ἄνθρωπον ἐξ ἀρχῆς, εἰς ὁμοίωσιν τὴν πρὸς αὐτὸν ἐπανάγει πάλιν, ὁμοιωθεὶς τῷ ἰδίῳ ποιήματι, διὰ τὸ σεσαρκῶσθαι ἐξ ἁγίας Θεοτόκου Μαρίας Παρθένου, καὶ ἄνθρωπος γεγενῆσθαι, μένων Θεός, ἵνα τοὺς ἀνθρώπους θεοὺς ἀποδείξῃ μένοντας ἀνθρώπους. Πρόσωπον ἓν καὶ πρὸ τῆς σαρκώσεως, καὶ μετὰ τὴν σάρκωσιν ἀπερίληπτος σαρκὶ Θεός, ἀμέριστος εἰς σάρκα, ἀπαθὴς ἐν τοῖς παθήμασι τῆς σαρκός, νικήσας θάνατον καὶ ἀναστὰς τῇ ἡμέρᾳ τῇ τρίτῃ· ἀνελθὼν εἰς τὸν οὐρανὸν ἐν δόξῃ φυσικῇ, καὶ οὐκ ἐν χάριτι· ἐρχόμενος ἐν τῇ ἑαυτοῦ θεότητι ἐμφανῶς, ἐκλάμπων ἐκ τοῦ ἐκ Μαρίας σώματος αὐτοῦ τοῦ ἁγίου τὴν δόξαν τὴν ἀπόρρητον, ὡς καὶ ἐπὶ τοῦ ὄρους ἔδειξεν ἀπὸ μέρους, διδάσκων ἡμᾶς, ὅτι καὶ πρότερον καὶ νῦν ὁ αὐτός ἐστι, καὶ οὐχ ὕστερον ἀποθεωθείς· ὡς ἡ νῦν βλασφημία βιάζεται· οὐδὲ παυσάμενος τοῦ εἶναι Υἱὸς ἀνθρώπου, οὐδὲ ἀποθέμενος τὴν σάρκα. Καὶ γὰρ ὅτε ἄρχεται εἶναι Υἱὸς ἀνθρώπου ὁ Μονογενὴς ἀποστέλλων ἐστὶ τοὺς ἀγγέλους αὐτοῦ, ἀναλλοίωτος ὢν ἀεί, καὶ μεταβολὴν οὐδεμίαν ἔχων περὶ τὴν θεότητα, κατὰ δὲ τὴν σάρκα σχηματισθεὶς ἡμῖν καὶ συσχηματίζων ἡμᾶς ἑαυτῷ.

---

1. Ψαλμ. 23, 10.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΠΕΡΙ ΤΗΣ ΑΪΔΙΟΥ ΥΠΑΡΞΕΩΣ ΤΟΥ ΥΙΟΥ ΚΑΙ ΤΟΥ ΠΝΕΥΜΑΤΟΣ ΣΥΝ ΘΕΩ, ΚΑΙ ΠΡΟΣ ΤΟΥΣ ΣΑΒΕΛΛΙΖΟΝΤΑΣ.*

1. Ἰουδαϊσμὸς ἀντίκειται πρὸς Ἑλληνισμόν, καὶ οὐδέτερος εὐσεβής, ἀλλ' ἀμφότεροι τῆς ἀληθείας ἐκτός. Ἐπεὶ καὶ Βαβυλώνιοι πεπολεμήκασιν Αἰγυπτίους, καὶ ἄλλοι πολλοὶ ἀσεβεῖς ἀσεβέσιν ἠναντιώθησαν. Οὐ τοίνυν ἐξαρκεῖ τὸ πρὸς ἀσέβειαν ἀνθίστασθαι, εἰ μὴ δι' εὐσέβειαν ἡ πρὸς τὴν ἀσέβειαν ἀντίστασις γίγνηται. Πολλὰ καὶ μεγάλα κατὰ τῶν εἰδωλολατρούντων ἔχουσι λέγειν οἱ Ἰουδαῖοι, καὶ δίκαια λέγουσι κατηγοροῦντες αὐτῶν τῇ κτίσει λατρευόντων παρὰ τὸν κτίσαντα. Ἀλλ' οὐχ ὅτι δυσσέβειαν ἐλέγχουσι, διὰ τοῦτο εὐσεβεῖν ὁμολογηθήσονται, τὸν Υἱὸν τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα γέγονεν, ἀρνούμενοι, καὶ τοῖς δι' αὐτοῦ τὸν Πατέρα σεβομένοις ἐγκαλοῦντες πολυθεότητα. Διόπερ ἐξεληλύθαμεν ἐξ Ἑλλήνων, καὶ ἀφωρίσμεθα, πρὸς τὸ μὴ ταῖς ἀκαθάρτοις εἰδωλολατρείαις ἀναμίγνυσθαι· ἐξεληλύθαμεν δὲ καὶ ἐκ τῆς τῶν Ἰουδαίων βλασφημίας, τὸν Υἱὸν ὁμολογήσαντες τοῦ Θεοῦ, καὶ φυγόντες τὴν ὀλέθριον ἄρνησιν τοῦ Κυρίου ἡμῶν, τοῦ λέγοντος· «Ὃς δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.[1]» Ὁμολογοῦμεν δὲ τὸν Υἱὸν ἐκ Πατρός, καὶ ἀεὶ μετὰ τοῦ Πατρός, πιστεύοντες αὐτῷ λέγοντι καὶ ἐπαγγελλομένῳ· «Πᾶς ὅστις ὁμολογήσειεν ἐμὲ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.[2]»

2. Τοῦτο ὁρῶντες τὸ παράδειγμα, καὶ νῦν ἀπηλλοτριώθημεν τῶν Ἑλληνιζόντων ἐπ' ὀνόματι Χριστινισμοῦ, τῶν ἔργων Θεοῦ τολμώντων θεολογεῖν τε καὶ προσκυνεῖν. Χωριζόμεθα δὲ καὶ τῶν Ἰουδαϊζόντων καὶ τὸν Χριστιανισμὸν ἐν Ἰουδαϊσμῷ παραφθειρόντων· οἵ, τὸν ἐκ τοῦ Θεοῦ Θεὸν ἀρνούμενοι, Θεὸν ἕνα παραπλησίως Ἰουδαίοις λέγουσιν· οὐχ ὅτι μόνος ἀγέννητος· καὶ μόνος πηγὴ θεότητος, διὰ τοῦτο φάσκοντες αὐτὸν εἶναι μόνον Θεόν· ἀλλ' ὡς ἄγονον Υἱοῦ καὶ ἄκαρπον ζῶντος Λόγου καὶ σοφίας ἀληθινῆς. Λόγον γὰρ οἷον τὸν ἐκ καρδίας ἀνθρώπου νομίζουσι τὸν τοῦ Θεοῦ, καὶ σοφίαν ὁποίαν τὴν ἐν ψυχῇ· καὶ διὰ τοῦτο πρόσωπον ἓν τὸν Θεὸν ἅμα τῷ Λόγῳ φασίν· ὥσπερ καὶ τὸν ἄνθρωπον

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 96.

1. Ματθ. 10, 33. 2. Ματθ. 10, 32.

ἅμα τῷ ἑαυτοῦ Λόγῳ ἄνθρωπον ἕνα, οὐδὲν πλέον Ἰουδαίων δοξάζοντες, τῶν οὐκ ἀποδεξαμένων τὸν εὐαγγελιστὴν τὸν εὐθὺς ἐξ ἀρχῆς βοῶντα· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος.[1]» Εἰ γὰρ ἐν καρδίᾳ Λόγον ὁ Θεὸς ἔχει μὴ γεγεννημένον ἐξ αὐτοῦ κατὰ ἀλήθειαν, ὡς Θεὸν ἐκ Θεοῦ, πῶς ἂν εἴη πρὸς τὸν Θεὸν ὁ Λόγος; καὶ πῶς ἂν εἴη Θεός; Οὐ γὰρ ὁ λόγος τοῦ ἀνθρώπου ἄνθρωπός ἐστι πρὸς ἄνθρωπον, ἐπεὶ μήτε ζῶν ἐστι, μήτε ὑφεστώς, ἀλλὰ ζώσης καρδίας καὶ ὑφεστώσης κίνημα μόνον· καὶ λέγεται παραχρῆμα, καὶ οὐκ ἔστι, καὶ πολλάκις λαλούμενος οὐδέποτε διαμένει. Τὸν δὲ τοῦ Θεοῦ Λόγον ἄνωθεν ὁ ψαλμῳδὸς ἐκεκράγει λέγων· «Εἰς τὸν αἰῶνα, Κύριε, ὁ Λόγος σου διαμένει ἐν τῷ οὐρανῷ·[2]» καὶ σύμφωνος αὐτῷ ὁ Θεὸν εἶναι τὸν Λόγον ὁμολογῶν εὐαγγελιστής, φανερωθέντα τε αὐτὸν εὐαγγελίζεται, καὶ παραγενόμενον μηνύει, καὶ σαρκωθέντα κηρύττει, οὐ συμπεριλαμβάνων τῇ τοῦ Λόγου σαρκώσει τὸν Πατέρα· «Ὁ Λόγος», γάρ φησι, «σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός, πλήρης χάριτος καὶ ἀληθείας.[3]» Μονογενῆ τὸν Λόγον ὄντα ὁρᾷς ἐν κόσμῳ φανερούμενον, ἐν ἀνθρώποις σκηνοῦντα, δόξαν αὐτῷ κηρυσσομένην, ὡς Μονογενοῦς παρὰ Πατρός· οὐχ ὡς Πατρὸς αὐτοῦ ὄντος, οὐδ' ὡς τοῦ Πατρὸς ἅμα τῷ Λόγῳ πεφηνότος, ὥσπερ ὁ ἄνθρωπος ἅμα τῷ ἑαυτοῦ φαίνεται λόγῳ, καὶ οὐκ ἔστι φανῆναι τὸν λόγον, εἰ μὴ καὶ ὁ λαλῶν αὐτὸν παρείη καὶ φθέγγοιτο. Τίσιν οὖν πιστεύομεν; Πότερον τοῖς εὐαγγελιζομένοις ἡμῖν Υἱὸν παρὰ Πατρὸς ἐπιδεδημηκότα, ἢ τοῖς ἓν πρόσωπον ἅμα τῷ Λόγῳ τὸν Πατέρα φάσκουσιν εἶναι; Εἰ γὰρ ἓν πρόσωπον, πῶς τὸ μὲν ἀποστέλλει, τὸ δὲ ἀποστέλλεται, καὶ θεωρεῖται διὰ σαρκός; «Θεὸν» γὰρ «οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο[4]», καὶ παραγεγονὼς αὐτὸς φθέγγεται τῇ ἁγίᾳ φωνῇ, παρέχων τὴν ἑαυτοῦ θεωρίαν, καὶ διὰ ταύτης τὴν τοῦ Πατρὸς ἐπίγνωσιν ὑποτιθέμενος· «Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα[5]», οὐχ ἑαυτὸν εἶναι τὸν Πατέρα φάσκων, πῶς γάρ, τὸν ἀόρατον; ἀλλὰ τοιοῦτον οἷον τὸν Πατέρα· προειρήκει γάρ· «Εἰ ἐγνώκειτέ με, καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε[6]», τὴν δυάδα τῶν προσώπων ἄντικρυς ἡμῖν ἐξηγούμενος, ἀπαραλλάκτῳ γνωριζομένην θεότητι. Διόπερ ὁ τῆς τοῦ Υἱοῦ καταξιούμενος θεωρίας οὐκ ἀπεστέρηται τῆς τοῦ Πατρός. Οὐ γὰρ ἀλλοῖον ὁ γεννήτωρ ἐγέννα, ἀλλὰ τοιοῦτον οἷος αὐτός. Εἰ γοῦν ἕν τι μόνον εἶναι πρᾶγμα νομίζεις, δύο δὲ ὄντα κατὰ ἀλήθειαν, ἀγνοεῖς τὸν Πατέρα καὶ τὸν Υἱόν. Τίς οὖν σοι πρὸς τὴν ἐκκλησιαστικὴν διδασκαλίαν ἐστὶ κοινωνία; Πῶς δὲ τὰς τοῦ δεσπότου δέξῃ φωνάς, «Ἐγώ», φησί, «καὶ ὁ Πατὴρ ἕν ἐσμεν;[7]» Καὶ πάλιν περὶ τοῦ Πατρὸς διαλεγόμενος, «Παρ' αὐτοῦ εἰμί», φησί, «κἀκεῖ-

1. Ἰω. 1, 1, 2. Ψαλμ. 118, 89. 3. Ἰω. 1, 14. 4. Ἰω. 1, 18. 5. Ἰω. 14, 9. 6. Ἰω. 14, 7. 7. Ἰω. 10, 30.

νος ἐμὲ ἀπέστειλε·[1]» προστίθησι δὲ καὶ τὸ τρίτον· «Ἐγώ», φησί, «παρακαλέσω τὸν Πατέρα μου, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν.[2]»

3. Ὅταν οὖν περὶ μὲν ἑαυτοῦ λέγῃ τό, «Ἐγώ», περὶ δὲ τοῦ Πατρός, «Ἐκεῖνος», περὶ δὲ τοῦ Πνεύματος, «ἄλλος·» πῶς οὐκ ἀποστασία σαφὴς ἀρνεῖσθαι τὰ τρία, καὶ μόνον εἶναι λέγειν τὸν φάσκοντα· «Οὐκ εἰμὶ μόνος, ὅτι ὁ πέμψας με Πατὴρ μετ' ἐμοῦ ἐστι.[3]» Χρῆται δὲ καὶ νομικῇ φωνῇ, καὶ διὰ ταύτης δύο παρίστησιν ὄντας αὐτόν τε καὶ τὸν Πατέρα· «Ἐν τῷ νόμῳ», γάρ φησι, «τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. Ἐγώ», φησίν, «εἰμὶ ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ.[4]» Ἰδοὺ γὰρ δύο πρόσωπα, καὶ εἰ μὴ λέγεις δύο εἶναι κατὰ ἀλήθειαν, τοῦτο λέγων οὐδὲ τὴν μαρτυρίαν ἐᾷς συνίστασθαι οὖσαν ἀληθινήν. Τοῦτο γὰρ πιστοῦται τὴν μαρτυρίαν, τὸ μὴ ὑφ' ἑνὸς γίνεσθαι μόνου, ἀλλ' ὑπὸ δύο. Καὶ γὰρ μεμαρτύρηκεν ὁ Πατὴρ ἐξ οὐρανοῦ λέγων· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός·[5]» καὶ Υἱὸς Θεοῦ εἶναι ὁ μονογενὴς Υἱὸς μαρτυρεῖ, καὶ τῷ Πατρὶ διείλεκται σαφῶς ἐν ἀκοαῖς ἀνθρώπων λέγων· «Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναὶ ὁ Πατήρ· ὅτι οὕτως εὐδοκία ἐγένετο ἔμπροσθέν σου. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου.[6]» Ἀλλὰ τί πρὸς ταῦτα ἀπολογοῦνται οἱ τῆς Ἰουδαίων ἀρνήσεως ὑπηρέται, ὑπὲρ τοῦ μὴ σαφῶς ἐλέγχεσθαι τοῖς Εὐαγγελίοις ἀντιπράττοντες τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ οὕτως δύο ὑποστάσεις φαίνεσθαι, ἕνα τὸν Πατέρα Θεόν, ἕτερον δὲ τὸν Υἱὸν ἄνθρωπον; Φεῦ τῆς ἀσεβείας! Καὶ τί τοῦτο διαφέρει τῆς Σαμοσατέως ἀπολογίας; εἰπάτωσαν δὲ πῶς ἄνθρωπος περὶ ἑαυτοῦ ταῦτα φθέγγεσθαι τολμᾷ. «Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα;[7]» Πῶς δὲ ὁ εὐαγγελιστὴς περὶ αὐτοῦ ταῦτα φθεγγομένου μαρτυρεῖ, ὅτι Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ; Οὐκ ἄνθρωπος ἴσος τῷ Θεῷ, ἀλλ' ὁ ἐκ τοῦ Θεοῦ Θεὸς ἴσα ἕξει τῷ γεγεννηκότι κατὰ τὴν φύσιν, ὡς καὶ Παῦλος μαρτυρεῖ, οὐ περὶ τῆς ἐνανθρωπήσεως, ἀλλὰ τὰ πρὸς τῆς ἐνανθρωπήσεως ἐξηγούμενος· «Ὅς, ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ.[8]» Ἴσμεν καὶ ἀνθρωπίνως πολλάκις τὸν Σωτῆρα φθεγγόμενον· ἀλλ' οὐχ ὅτε φησίν· «Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ.[9]» Οὐ γὰρ ἄνθρωπος ὁ πεμφθεὶς εἰς τὸν κόσμον, ὁ λέγων· «Ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω·[10]» ὁ λέγων· «Οὕτως γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον·[11]» ὁ λέγων· «Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ

---

1. Ἰω. 7, 29. 2. Ἰω. 14, 16. 3. Ἰω. 8, 16. 4. Ἰω. 8, 17-18. 5. Ματθ. 3, 17. 17, 5. 6. Ματθ. 11, 25-27. 7. Ἰω. 14, 9. 8. Φιλιπ. 2, 6. 9. Ἰω. 8, 18. 10. Ἰω. 16, 28. 11. Ἰω. 3, 16.

ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με.[1]» Ἀλλ' εἰ θέλεις αὐτῷ ἀνθρωπίνως ἀκοῦσαι, ἁρμοζόντως τῇ ὁρωμένῃ κατὰ σάρκα μορφῇ, καὶ τῇ νομιζομένῃ ψιλῇ παρὰ τοῖς ἀκούσασιν ἀνθρωπότητι, ἄκουε λέγοντος αὐτοῦ· «Εἰ ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθὴς οὐκ ἔστι·[2]» κατὰ τὸ μὴ ἀξιόπιστον εἶναι, μηδὲ νομίζεσθαι ἄνθρωπον ἑαυτῷ μαρτυροῦντα· ὅτε δέ φησι· «Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν, ὅτι οἶδα πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω.[3]» Ὅτε, ἀριθμῶν τὸν Πατέρα καὶ αὐτόν, δύο φησὶν εἶναι τοὺς περὶ τῆς δόξης αὐτοῦ μάρτυρας, οὐκ ἀνθρώπινα φθέγγεται, ἀλλ' ὑπὲρ πᾶσαν ἀνθρωπίνην ἀξίαν· καὶ τί λέγω ἀνθρωπίνην; ὑπὲρ ἀγγελικήν, ὑπὲρ ἀρχάς, ὑπὲρ δυνάμεις, ὑπὲρ κυριότητας. Ποία γὰρ ἀνθρώπου καὶ Θεοῦ συναρίθμησις; τίς ἐγγύτης, ἢ τίς κοινωνία; ἀλλὰ λέγων· «Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς[4]», ἄνθρωπος εἶναί σοι δοκεῖ, καλῶς· καὶ γὰρ ἔχει τὸ ἀνθρώπινον ἀναμεμιγμένον ἡ παραγενομένη θεότης εἰς τὸν κόσμον.

4. Ἀλλὰ μὴ διὰ τὸ κάλυμμα τῆς σαρκὸς ἀγνόει τὸν Θεόν, τὸν εὐθὺς ἐπάγοντα περὶ ἑαυτοῦ, καὶ φάσκοντα· «Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.[5]» Ἀπέκλεισέ σοι τὴν συκοφαντίαν ὁ Κύριος· Θεὸν παραστήσας ἑαυτὸν καὶ ἐπὶ τῆς ἀνθρωπίνης μορφῆς ὑπὸ τοῦ Πατρὸς γινωσκόμενον μόνον, καὶ γινώσκοντα τὸν Πατέρα, καὶ τοῖς καταξιουμένοις ἀποκαλύπτοντα τὴν ἑαυτοῦ γνῶσιν καὶ τὴν τοῦ Πατρός, προσκαλεῖται ἡμᾶς πρὸς ἑαυτόν, ἀνάπαυσιν ἐπαγγελλόμενος παρὰ ἑαυτῷ, καὶ ζυγὸν ἑαυτοῦ βαστάσαι παρακελευόμενος. Ταῦτα λέγων ἀπαμφιέννυσι τὴν θεότητα, ἑρμηνεύει τὸ κεκαλυμμένον διὰ τῆς μικρᾶς μορφῆς ὑπερβάλλον μέγεθος, τὴν ὑπερουράνιον ἐξουσίαν ἐπιδείκνυσι γηΐνῳ παραπεπετασμένην σώματι. Καὶ τί με δεῖ καταλέγειν μυρίας οὔσας θεϊκὰς φωνὰς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; δι' ὧν ἐκβάλλεται μὲν εἰκότως ἡ τοῦ Σαμοσατέως καινοτομία περὶ τοῦ Σωτῆρος, ὡς ὄντος ἀνθρώπου ψιλοῦ, συνεκβάλλεται δὲ καὶ ἡ τῶν μιμουμένων ἐκεῖνον ἀλόγιστος φλυαρία. Φέρε γάρ, ἵν' ὀλίγων ἐπιμνησθῶμεν μαρτυριῶν, τίς ὁ τὰ τοιαῦτα λέγων· «Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν;[6]» Οὐκ ἀνθρώπου τὸ ῥῆμα, ἀλλὰ Θεοῦ δεικνύοντος τὴν γνησίαν ἀπὸ Πατρὸς γέννησιν, καὶ διὰ

1. Ἰω. 6, 38. 2. Ἰω. 5, 31. 3. Ἰω. 8, 14. 4. Ματθ. 11, 25.
5. Ματθ. 11, 27-30. 6. Ματθ. 7, 21.

τοῦτο τὴν κυριολογίαν οὐκ ἀρνουμένου τὴν περὶ ἑαυτοῦ. Κύριος γὰρ ὁ ἐκ τοῦ μόνου γεγεννημένος Κυρίου, ὡς καὶ παρὰ Μωϋσῇ λέλεκται τό· «Ἔβρεξε Κύριος θεῖον, καὶ πῦρ παρὰ Κυρίου.[1]» Καὶ ἄλλοτε πρὸς τοὺς ἀποστόλους φησὶν ὁ Σωτήρ· «Φωνεῖτέ με ὁ Διδάσκαλος καὶ ὁ Κύριος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ·[2]» καὶ πάλιν, Δεσπότην τῆς πατρῴας οἰκίας ἑαυτὸν ἀποφαίνων, ὡς ἂν μονογενὴς Υἱός· «Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐπεκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ.[3]» Οὐκοῦν ὅτι μὲν Θεὸς ὁ Κύριος τῶν ὅλων Ἰησοῦς Χριστός, ὡς ὢν ἐκ τοῦ Θεοῦ γεγεννημένος, δῆλον ἅπαντι· εἰπὼν δέ· «Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν[4]», ἐπιφέρει καὶ τὸν Πατέρα σαφῶς ἡμῖν ἑρμηνεύων· «Ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου, τοῦ ἐν οὐρανοῖς.[5]»

5. Ἔχεις οὖν Υἱόν, ἔχεις Πατέρα· μὴ φοβοῦ τὴν δυάδα· τῇ φύσει γὰρ οὐ διώρισται, οὐδ' ὁ τὰ δύο λέγων ἀπηλλοτρίωσε τοῦ γεννήσαντος τὸ γέννημα· οὐδὲ διὰ τὴν ἑτέραν μανίαν τῶν ἀρνησαμένων μίαν εἶναι τὴν τῶν δύο θεότητα, διὰ τοῦτο καὶ δύο λέγειν φευκτέον. Εἷς Θεός, ὅτι καὶ Πατὴρ εἷς· Θεὸς δὲ καὶ Υἱός, ταὐτότητα ἔχων, ὡς Υἱὸς πρὸς Πατέρα· οὐκ αὐτὸς ὢν ὁ Πατήρ, ἀλλ' ἡνωμένος πρὸς τὸν Πατέρα τῇ φύσει· δύο μὲν ἀριθμῷ, μία δὲ οὖσα οὐσία τελεία· δύο, οὐκ ἐκ δύο μερῶν. Τέλειος ὁ Υἱὸς ἥκει παρὰ τελείου Πατρός, ὢν ἐξ ὄντος, χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως, οὐ ῥῆμα ἀνυπόστατον, ἀλλὰ ζῶσα δύναμις, καὶ τοῦ ζῆν αἰτία τοῖς πᾶσιν, οὐχ οἷα ἀνθρώπου δύναμις, δι' ἣν ἄνθρωπός ἐστι δυνατός· οὐ γὰρ γέννημα ἀνθρώπου ἢ υἱός, ἡ δύναμις αὐτοῦ· Θεοῦ δὲ Υἱὸς ἡ δύναμις, ὥστε δυνατὸς μὲν ὁ Πατὴρ τελείως, ὅτι Πατὴρ δυνάμεως, δύναμις δὲ ὁ Υἱὸς τελεία, ὅτι γέννημα αὐτοῦ. Καὶ σοφία τοῦ Πατρὸς ὁ Υἱός, ἀλλ' οὐχ ὡς ἡ τοῦ ἀνθρώπου, δι' ἧς ὁ ἄνθρωπος σοφός, ἀλλ' ἀπὸ σοφοῦ σοφία· περὶ οὗ λέγεται· «Μόνῳ σοφῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.[6]» Ἀλλ' οὐκ ἐγέννησεν ὁ Πατήρ. Πῶς οὖν Πατήρ, καὶ τίνος; Εἰ δὲ ἐγέννησεν, ὁ ὢν ἐστιν ὁ γεγεννημένος. Κἀγώ, φησίν, ὁμολογῶ γέννησιν· γεννᾶται γὰρ ὁ λόγος, ὅτε καὶ λαλεῖται καὶ γινώσκεται. Καὶ ποσάκις ὁ αὐτός, εἰπέ μοι, γεννηθήσεται; ἢ πολλοὺς ἐρεῖς τοῦ Θεοῦ Λόγους ἑκάστοτε γεννωμένους; καὶ ποτὲ μὲν σιωπῶντα φαντασθήσῃ τὸν Θεόν, ποτὲ δὲ λαλοῦντα, καὶ μεταβαλλόμενον ἀπὸ σωπήσεως εἰς λαλιάν, καὶ χείλεσιν ἀνοιγομένοις, ἢ καρδίᾳ κινουμένῃ; Οὐκ ἄνθρωπος ὁ Θεός· ὑπέλαβες, ἄνομε, ὅτι ἔσται σοι ὅμοιος ὁ Θεός; Ὦ ἄνθρωπε, κἂν ὀφθαλμοὺς ἀκούσῃς Θεοῦ, κἂν τὰ ἄλλα μέλη τὰ σωματικά, μὴ σαρκικῶς νόει· ἀλλὰ δι' ὁμοιότητος τῶν σωματικῶν ἐννόει τὸ ἀσώματον. Καὶ γὰρ εἴρηταί σοι. Πνεῦμα ὁ Θεός· οὕτω καὶ ὁ Λόγος οὐκ ἀνθρώπινος, οὐδὲ οἷος

---

1. Γεν. 19, 24. 2. Ἰω. 13, 13. 3. Ματθ. 10, 25. 4. Ματθ. 7, 21. 5. Ματθ. 7, 21. 6. Ῥωμ. 16, 27.

ὁ σός· Θεὸς γάρ ἐστι, κἂν μή σοι δοκῇ, καὶ οὐκ εἰσὶ δύο Θεοί, ὅτι μηδὲ δύο Πατέρες, μηδὲ ἑτερούσιος τοῦ γεννήσαντος ὁ γεγεννημένος.

6. Ὁ μὲν γὰρ ἀρχὰς εἰσάγων δύο, δύο κηρύττει Θεούς. Αὕτη Μαρκίωνος ἡ δυσσέβεια, Θεὸν λέγοντος δίκαιον ἰδίου Χριστοῦ Πατέρα. Πάλιν καὶ Θεὸν ἀγένητον εἶναι λέγων, ἄλλον δὲ Θεὸν γενητόν, δύο καὶ αὐτὸς λέγει Θεούς, διὰ τὴν τῆς οὐσίας διαφοράν, ἣν βλασφήμως εἰσάγει. Ὅπου δὲ μία μὲν ἡ ἀρχή, ἓν δὲ τὸ ἐξ αὐτῆς γέννημα, εἰκὼν ἀκριβεστάτη καὶ φυσική· διότι καὶ γεννητὴ ἐξ αὐτοῦ· εἷς Θεός, τελείας μὲν ἐν Πατρὶ τῆς θεότητος νοουμένης, τελείας δὲ καὶ ἐν Υἱῷ τῆς πατρικῆς θεότητος ὑπαρχούσης. Ἐπεὶ καὶ διὰ τοῦ μικροῦ τούτου παραδείγματος, ὅπερ ἡ θεία Γραφὴ δεδήλωκεν εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου τὸν Χριστὸν ὀνομάσασα, δύνασαι καταλαβεῖν τὸ λεγόμενον· φύγωμεν πάλιν καὶ ἐνταῦθα τὸ ἀνόμοιον τὸ ἐν τῷ παραδείγματι, τὸ τεχνίτην καὶ ἑτερούσιον εἶναι τὴν τοῦ Θεοῦ εἰκόνα, γεννητὴν δὲ καὶ ὁμοούσιον ὁμολογῶμεν. Ὅμως δὴ οὖν ὁ τὴν εἰκόνα τοῦ βασιλέως ὁρῶν τὸν βασιλέα ὁρᾷ, καί φησιν. Ἰδού, οὗτος ὁ βασιλεύς, καὶ οὐ δύο πεποίηκε βασιλεῖς, οὐδὲ μέρος τοῦ βασιλέως τὴν εἰκόνα, ἢ τῆς εἰκόνος τὸν βασιλέα. Οὕτω τοίνυν εἷς Θεὸς ὁ Πατήρ, καὶ μία θεότης Πατρὸς καὶ Υἱοῦ. Ὡς δὲ σὺ λέγεις, εἷς ἔσται σύνθετος ἐκ δύο μερῶν ἀτελῶν. Πρὸς δὲ ταύτην τὴν ἀσέβειαν ἀποκλεῖσαι καλὸν τὰς ἀκοάς, καὶ ἀπονίψασθαι τὴν ψυχήν· οὔτε γὰρ Υἱὸν οὔτε Πατέρα ὁ τοῦτο φανταζόμενος ὁμολογεῖ· ἐπεὶ μήτε Πατέρα, μήτε Υἱὸν ἀτελῆ νοεῖν ἐγχωρεῖ.

7. Ἀλλ' εἴρηται, φησίν· «Ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί·[1]» οὐκ ἔστι δὲ Λόγος ἐν καρδίᾳ τοῦ Υἱοῦ ὁ Πατήρ· οὐ τοίνυν οὐδὲ ὁ Υἱὸς Λόγος ἐν καρδίᾳ τοῦ Πατρός, ἀλλὰ Λόγος ζῶν ἀπὸ ζῶντος Πατρὸς Θεοῦ, ἀιδίῳ γεννήσει πεφηνώς, ἀνάρχως τῷ Πατρὶ συνών· ὡς μηδέποτε μόνον ἐπινοεῖσθαι τὸν Πατέρα. Ἀεὶ γὰρ Τριὰς ἡ Τριάς, καὶ προσθήκην θεότητος οὐ λαμβάνει. Οὐδ' ὁ μὴ πρότερον ὢν σὺν τῷ Πατρὶ προστίθεται ὕστερον ὁ Υἱός, οὐδὲ τῷ Υἱῷ τὸ Πνεῦμα ἐπιγίνεται. Τὰ γὰρ ἀπό τινος ἀρχῆς γεγενημένα καὶ ποιήματά ἐστι καὶ δοῦλα, καὶ τῇ Τριάδι συναριθμεῖται οὐδαμῶς· «Πορευθέντες γάρ», φησί, «μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.[2]» Ἀρχὴν δὲ οὔτε μίαν, οὔτε ἐξουσίαν, οὔτε δύναμιν συνηρίθμησεν· ἀιδίῳ γὰρ τὰ μὴ ἀίδια συναριθμεῖσθαι ἀδύνατον, καὶ τῇ θεότητι τὰ μὴ μετέχοντα τῆς θεότητος οὐ συντάττεται. Πῶς οὖν ἐν τῷ γεγεννηκότι ὁ γεγεννημένος; καὶ πάλιν ὁ γεννήτωρ ἐν τῷ γεννήματι; πῶς οὗτος ἐν ἐκείνῳ, κἀκεῖνος ἐν τούτῳ; Ὅτι καὶ αὐτὸς τοιοῦτός ἐστιν οἷος κἀκεῖνος, κἀκεῖνος οἷος οὗτος. Οὕτω καὶ ἓν τὰ δύο, τῷ μὴ διαλλάτειν, μηδὲ

1. Ἰω. 14, 10. 2. Ματθ. 28, 19.

ἀπεσχοινίσθαι, μηδὲ καθ' ἕτερον εἶδος καὶ ξένον χαρακτῆρα νοεῖσθαι τὸν Υἱόν, ἀλλ' εἶναι Θεόν, ὥσπερ καὶ ὁ Πατήρ. Ἐπεὶ καὶ εἰπόντος αὐτοῦ· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν[1]», ἠγανάκτουν οἱ Ἰουδαῖοι λέγοντες, «Ὅτι σύ, ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν.[2]» Καὶ ὁ Σωτὴρ ἀπεκρίνατο βεβαιῶν τὸ εἰρημένον ὑπ' αὐτῶν, ὡς οὐδὲν ἄλλο ἢ τοῦτο δεδηλωκὼς ἐν τῷ φάσκειν· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν», τὸ εἶναι καὶ αὐτὸν Θεὸν ὄντα Θεοῦ· «Εἰ ἐκείνους θεοὺς εἶπε, πρὸς οὓς ὁ Λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ Γραφή, ὃν ὁ Πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε, Ὅτι βλασφημεῖς· ὅτι εἶπον, ὅτι Υἱὸς Θεοῦ εἰμι; εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ θέλητε πιστεύειν, τοῖς ἔργοις πιστεύετε· ἵν' εἰδῆτε, καὶ γινώσκητε, ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί.[3]» Οὐκοῦν ἐν τῷ Πατρὶ τὸν Υἱὸν εἶναι, καὶ τὸν Πατέρα ἐν τῷ Υἱῷ, τοῦτό ἐστι καὶ οὐδὲν ἕτερον, τὸν Υἱὸν εἶναι Θεοῦ τὸν ἐκ τοῦ Θεοῦ γεγεννημένον, Θεὸν ὄντα κατὰ τὴν φύσιν, ὅπερ ὁ Πατήρ, καὶ δεικνύντα τὸ πατρῷον εἶδος ἐν ἑαυτῷ, καὶ δεικνύμενον ἐπὶ τῆς πατρικῆς ὑποστάσεως.

8. Εἷς οὖν, καὶ εἷς, καὶ ἡ δυὰς οὐ μεμέρισται τῇ φύσει, ἀνενδεὴς οὖσα τῇ τελειότητι, ὅλον μὲν τὸ πλήρωμα τῆς θεότητος ὁ Πατήρ, ὡς Πατήρ, ὅλον δὲ τὸ πλήρωμα τῆς θεότητος ὁ Υἱός, ὡς Υἱός. Ἐπειδὴ δι' ἀμφοτέρων ἓν εἶδος νοεῖται, ὁλοκλήρως ἐν ἀμφοτέροις δεικνύμενον. Μηδεὶς ἀρνείσθω τὴν φανερωθεῖσαν ἐν τῷ κόσμῳ ζωήν· «Ἥτις ἦν», φησί, «πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν.[4]» Καὶ πρὸ τῆς φανερώσεως τοῦτο ἔδοξεν εἶναι, ἡνίκα πεφανέρωται. Γεγέννηται γὰρ ἀιδίως, καὶ ὑπάρχει μετὰ τοῦ ἰδίου Πατρός. Μηδεὶς ἀρνούμενος τὰ τρία τὴν μονάδα εὑρίσκειν νομιζέτω· ἀλλ' ἐν τῇ Τριάδι νοείτω τὸ ἕν, ἔχων τὸ κεφάλαιον τῆς πίστεως ἐν τῷ βαπτίσματι, καὶ ἐν ταῖς τρισὶν ἁγίαις σφραγῖσι, δι' ὧν εἰς σωτηρίαν ἀναγεγέννηται, μεμνημένος τοῦ Ἀποστόλου λέγοντος· «Εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα·[5]» μεμνημένος τοῦ λέγοντος Πατρός· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε[6]», τοῦ τε Υἱοῦ μαρτυροῦντος, ὅτι ἦν πρὸ τοῦ κόσμου παρὰ τῷ Πατρί, τὴν δόξαν ἔχων τὴν τῆς θεότητος· «Δόξασόν με γάρ», φησί, «Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί·[7]» τὴν μὲν κατὰ ἄνθρωπον δόξαν αἰτῶν, τὴν δὲ κατὰ Θεὸν ἔχων πρὸ τοῦ κόσμου μαρτυρῶν. Εἶχε δὲ τὴν δόξαν ὢν καὶ ὑπάρχων· οὐδὲ γὰρ ὁ μὴ ὢν δεδόξασται. Εἰ δὲ ἦν, καὶ γεγέννητο· οὐ γάρ ἐστιν υἱὸς μὴ γεγεννημένος· ἀλλ' εἰ γεγέννηται, φησίν, ἐκτός ἐστι τοῦ γεννήσαντος, καὶ διῄρηται· ἀδιαίρετον δὲ χρὴ εἶναι Λόγον ὄντα ἐν Θεῷ καὶ μὴ φαινόμενον ἔξω τοῦ Θεοῦ. Ποῦ γὰρ ἂν καὶ φανείη ἐκτός, πάντα τοῦ

---

1. Ἰω. 10, 30. 2. Ἰω. 10, 33. 3. Ἰω. 10,35-38. 4. Α' Ἰω. 1,2. 5. Α' Κορ. 8, 6. 6. Ψαλμ. 109, 3. 7. Ἰω. 17, 5.

Θεοῦ πεπληρωκότος, κατὰ τὸ γεγραμμένον· «Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος;[1]»

9. Τοιαύταις φαντασίαις ἀναιρεῖν ἐπιχειροῦσι τὴν γέννησιν τοῦ Υἱοῦ, καὶ τὴν ἀπὸ τοῦ Πατρὸς ἀίδιον πρόοδον, καὶ τὴν μετὰ τοῦ Πατρὸς ὕπαρξιν, καὶ τὸ τελείως μὲν ὑφεστάναι Πατέρα καθ' ἑαυτόν, τελείως καὶ τὸν Υἱὸν καθ' ἑαυτὸν ὑφεστάναι. Μαθέτωσαν οὖν, ὅτι μὴ νοοῦσι, «μήτε ἃ λέγουσι, μήτε περὶ ὧν διαβεβαιοῦνται[2]», τόπῳ Θεὸν περιγράφοντες, καὶ τὸν Υἱὸν αὖ πάλιν ἐν ἑτέρῳ φανταζόμενοι τόπῳ, καὶ μεμερίσθαι, τὸν μὲν ἐκεῖ, τὸν δὲ ἐνθάδε νομίζοντες, ἐὰν γεγεννημένος καὶ πεφηνὼς καθ' ἑαυτὸν ἀπὸ τοῦ Πατρὸς ὁ Υἱὸς ὁμολογῆται. «Τίς τόπος τῆς καταπαύσεώς μου;[3]» φησὶν ὁ Θεὸς διὰ τοῦ προφήτου. «Ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι[4]», Σολομὼν λέγει πρὸς τὸν Θεόν· τεκμηρίῳ μεγίστῳ πείθων τοὺς ἀνθρώπους ὁ Θεός, ὅτι μηδεὶς αὐτοῦ τόπος δεκτικός. «Ἡ γὰρ χείρ μου», φησίν, «ἐποίησε ταῦτα πάντα.[5]» Οὐ τοίνυν περιέχει τὰ ποιήματα τὸν πεποιηκότα, ὃς καὶ πρὸ τούτου ἦν, καὶ τούτοις παρέχει τὸ εἶναι, καί αὐτῇ τῇ δυνάμει τοῦ πεποιηκότος ἐπιστηρίζεται. Διό φησι Παῦλος· «Ἐξ οὗ τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, καὶ εἰς ὃν τὰ πάντα·[6]» καὶ πάλιν· «Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.[7]»

10. Ἄνελε δή μοι τὸν ἐν τόπῳ ἐστηριγμένον, ὅτι διανοῇ περὶ Θεοῦ, καὶ τοῦ Λόγου, καὶ τοῦ Πνεύματος· ἄνελε τοπικοὺς χωρισμούς, καὶ μὴ ἀλλαχοῦ τὸν Πατέρα ὄντα, ἀλλαχοῦ δὲ τὸν Υἱὸν ἐκπέμπειν ἐκ τοῦ γεννᾶν ὑποπτεύσῃς. Οὗτοι γὰρ οἱ ψευδεῖς, μᾶλλον δὲ καὶ ἄθεοι λογισμοί, περὶ τὴν ὕπαρξιν τοῦ Υἱοῦ σε σκανδαλίζουσι. Συνεξήρνηται δέ σοι μετὰ τοῦ Υἱοῦ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τοῦ ὑφ' ἑνὸς προκατέχεσθαι πάντα τοῦ Πατρός. Μὴ ζητεῖτε μέγεθος τόπου τοσοῦτον, ὃς δυνήσεται χωρῆσαι μέγεθος Θεοῦ· οὐ γάρ ἐστι τὸ ἀμέτρητον ἐπὶ τῷ μεμετρημένῳ, ἀλλὰ σπιθαμῇ μὲν αὐτοῦ μετρεῖ τὸν οὐρανόν, ὡς ὁ προφήτης παραβολικῶς ἑρμηνεύει· μεμέτρηκε δὲ καὶ τὸ ὕδωρ τῇ χειρί, καὶ τὴν γῆν πᾶσαν δρακί.[8] Ὧ δ' οὕτως ἐλάχιστα πάντα, ὡς ἡ προφητικὴ παραβολὴ μετρίως ὑποδείκνυσι, πῶς ἂν τῇ μικρᾷ καὶ ἐλαχίστῃ κτίσει συμπαρεκτείνεσθαι δόξειεν; Οὐ συμπαρεκτεινόμενος τοῖς πᾶσι πεπλήρωκε τὰ πάντα ὁ Θεός· σωματικὸν γὰρ τοῦτο, ὥσπερ εἰ τὸν ἀέρα φαίη πεπληρωκέναι τις τὸν μεταξὺ γῆς καὶ οὐρανοῦ· ἀλλ' ὡς δύναμις συνέχει τὰ πάντα· δύναμις γὰρ ἀσώματος, ἀόρατος, οὐ κυκλοῦσα, οὐ κυκλουμένη. Τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ Υἱοῦ, καὶ περὶ τοῦ ἁγίου Πνεύματος· διὰ γὰρ Υἱοῦ καὶ ἐν Πνεύματι τὰ πάντα ὁ Θεὸς καὶ συνεστήσατο, καὶ συνέχων διαφυλάττει. Ἀσεβὲς τοίνυν καὶ ζητεῖν καὶ ἐννοεῖν τὸ ποῦ ποτέ ἐστιν ὁ Θεός, ἢ ὁ Λόγος τίνα τόπον εἴληχεν, ἢ τὸ Πνεῦμα τίνα οἴκησιν ἐκληρώσατο. Εἰ δὲ διὰ

---

1. Ἱερ. 23, 24. 2. Α' Τιμ. 1, 7. 3. Ἡσ. 66, 1. 4. Γ' Βασ. 8, 27
5. Ἡσ. 66, 2. 6. Α' Κορ. 8, 6. 7. Πράξ. 17, 28. 8. Πρβλ. Ἡσ. 40,12

τοῦτο τὸν Υἱὸν οὐκ εἶναί τι οὐδὲ γεγεννῆσθαι λέγοι, ὅτι τόπος αὐτοῦ τῆς οὐσίας ἀνεπινόητος καὶ ἀνεύρητος, ὁ τοιοῦτος οὐδὲ τὸν Πατέρα φαίη εἶναι καθάπαξ, οὐδ' ὑπάρχειν Θεόν· ἐπεὶ μηδὲ τόπος τις εὑρίσκεται Θεοῦ. «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός.[1]» Ἄφρονες ὡς ἀληθῶς οἱ τοιοῦτοι, κεναῖς φαντασίαις ἑαυτοὺς παραλογιζόμενοι· νηπίων καὶ παντάπασιν ἀνοήτων τὰ ῥήματα, ὀφθαλμῷ λαμβάνεσθαι τὸ ἀσώματον καὶ τόπῳ περιλαμβάνεσθαι βουλομένων.

11. Δῶμεν δὲ αὐτοῖς βραχείας τινὰς εἰκόνας ἐκ τῶν ἐνδεχομένων ἀσωμάτων, τινῶν ἐπιμνησθέντες πραγμάτων, ἃ δὴ καθ' ἡμᾶς ὄντα, καὶ ἐπὶ τῆς κτίσεως φαίνεται, εἴ πως δυνηθεῖεν διὰ τούτων ἀναβαίνοντες ἐννοῆσαί πως τὸ ἀσώματον τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· καὶ μηκέτι φαντάζεσθαι τόπους αὐτῶν, μηδὲ τοπικὰς διαιρέσεις τῆς Τριάδος ἐπινοεῖν. Ἀσώματος καὶ πνευματικὸς ὢν ὁ νόμος, ἔστιν ἐν τῇ τοῦ νομομαθοῦς διανοίᾳ· ἐν τῇ αὐτῇ δὲ καὶ οἱ προφῆται, Εὐαγγέλια καὶ ἀπόστολοι· καὶ εἴρηται περὶ τῶν νομικῶν καὶ προφητικῶν λόγων. «Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας.[2]» Καὶ ὁ Σωτὴρ τὸν ἔχοντα παλαιὰ καὶ καινὰ ῥήματα ἐπὶ τῆς ἑαυτοῦ διανοίας ἐοικέναι φησὶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις προσφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. Ἐδέχετο δὲ ὁ Μωϋσέως νοῦς σοφίαν τε πᾶσαν Αἰγυπτιακήν, καὶ τὴν ἐκ τοῦ Θεοῦ δοθεῖσαν αὐτῷ. Καὶ Δανιήλ, σύνεσιν πᾶσαν τὴν Χαλδαίων ὑποδεξάμενος, ἐχώρει καὶ τὰ ποικίλα τῆς θείας σοφίας νοήματα, ὅπερ σημαίνει δι' Ἰεζεκιὴλ ὁ Θεός. «Μὴ σὺ σοφώτερος εἶ τοῦ Δανιήλ; πᾶν κρύφιον οὐχ ὑπεδείχθη σοι.[3]» Ἀναρίθμητος δὲ ἡ τοῦ Σολομῶνος φρόνησις, καὶ τὸ χύμα τῆς καρδίας αὐτοῦ, ὡς ἄμμος, ἡ παρὰ τὴν θάλασσαν. Τὸ δὲ τοσοῦτον πλῆθος τῶν σοφιῶν περὶ μίαν ὁρῶντες διάνοιαν, ἐνθυμείσθωσαν αὐτὰς οὐκ οὔσας ἐν τόπῳ. Πόσος γὰρ ἂν τῷ μεγέθει γενόμενος ἄνθρωπος, ἐξήρκεσεν εἰς τὴν τοσούτων ὑποδοχήν, εἰ τόποις μεμερισμένοις τῶν θεωρημάτων ἕκαστα εἶχεν; Ὅταν οὖν τὰ ἐνταῦθα πνευματικὰ μὴ δέηται πλειόνων τόπων πλείονα ὄντα, ἀλλὰ περὶ τὸν ἕνα καὶ τὸν αὐτὸν στρέφηται νοῦν, ἐννοήσωμεν καὶ τὰ ὑπὲρ ἡμᾶς, καὶ καθ' ἑαυτὰ ὄντα ἀσώματα, τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα μὴ τόπων δεόμενα, μηδὲ τόποις διαιρούμενα· καὶ μὴ διὰ τοῦτο ἀνύπαρκτον ἢ τὸν Πατέρα τις, ἢ τὸν Υἱόν, ἢ τὸ Πνεῦμα τὸ ἅγιον ὑποτίθεσθαι τολμάτω· ὅτι μηδὲ ἔστι τόπον ἀφορίζειν καὶ κατανέμειν ἑκάστῳ. Ἀλλ' ἔστι μὲν ὁ Πατὴρ τέλειον ἔχων τὸ εἶναι καὶ ἀνελλιπές, ῥίζα καὶ πηγὴ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος· ἔστι δὲ ὁ Υἱὸς ἐν πλήρει τῇ θεότητι, ζῶν Λόγος, καὶ γέννημα τοῦ Πατρὸς ἀνενδεές· πλῆρες δὲ καὶ τὸ Πνεῦμα τοῦ Υἱοῦ, οὐ μέρος ἑτέρου, ἀλλ' ὁλόκληρον ἐφ' ἑαυτοῦ. Καὶ οὕτως ἡ Τριάς, ἀληθινῶς οὖσα, συνῆπται μὲν ἀδιαστάτως. Τὸ γὰρ διορίζον οὐδέν, σύνεστι δὲ ἀιδίως· αἰὼν γὰρ οὐ-

1. Ψαλμ. 13, 1. 2. Λουκ. 16, 29. 3. Ἰεζ. 28, 3.

δεὶς μεταξὺ παρεμπίπτει. Μορφὴν δὲ προφαίνει μίαν καὶ τὴν αὐτήν, Πατρὸς μὲν ἐν Υἱῷ θεωρουμένου, Υἱοῦ δὲ ἐν Πνεύματι καὶ νοουμένου καὶ μετεχομένου ὑπὸ ἀνθρώπου. «Ἡμεῖς γάρ», φησί, «πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, αὐτὴν εἰκόνα μετεμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος.»

12. Μὴ τοίνυν ὡς ἐνσώματα ἀδιαίρετα μέρη φανταζώμεθα τρία. Δυσσεβὴς γὰρ ὁ λογισμός, ἀλλότριος ἀσωμάτων τελείων. Ἀδιαίρετον δεχώμεθα συνουσίαν συνόντων ἀλλήλοις ἀδιαστάτως, καὶ τριῶν γε κατὰ ἀλήθειαν ὑφεστώτων, ἓν τὸ εἶδος ἐννοῶμεν, ἀρχόμενον μὲν ἐκ Πατρός, λάμψαν δὲ ἐν Υἱῷ, καὶ φανερούμενον διὰ Πνεύματος. Διὰ τοῦτο καὶ οἱ τὸ Πνεῦμα φοροῦντες φοροῦσι Χριστόν· «Εἰ γάρ τις», φησί, «Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. Εἰ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν διὰ ἁμαρτίαν», καὶ τὰ ἑξῆς· Καὶ ὁ Ἰωάννης· «Ἐκ τούτου γινώσκομεν, ὅτι ἐν ἡμῖν ἔστιν, ἐκ τοῦ Πνεύματος, οὗ ἔδωκεν ἡμῖν.» Καὶ ναὸν μὲν ἁγίου Πνεύματος τὰ σώματα ἡμῶν ὁ Παῦλος ὀνομάζει. Χριστὸν δὲ ἐν ἡμῖν λέγει. Χριστοῦ δὲ οἰκοῦντος εἰς τὸν ἔσω ἡμῶν ἄνθρωπον, κατὰ τὸ γεγραμμένον, Θεός ἐστιν ἐν ἡμῖν κατοικῶν· «Οὐκ οἴδατε», γάρ, φησίν, «ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν.» Οὕτως μοι τὸ τῆς θεότητος ἀδιαίρετον εὐσεβῶς ἐκ τῶν θείων λόγων καταμάνθανε, ἐν τρισὶν ἓν εἶδος κατανοῶν, οὐχ ἓν ἐκ τριῶν πρᾶγμα συντιθείς. Ἀχώριστα δὲ καὶ εἰς τὰ τῆς ἐνεργείας θεωρούμενα, ἀκούοντες τοῦ Ἀποστόλου μυσταγωγοῦντος καὶ φάσκοντος· «Διαίρεσεις δὲ χαρισμάτων εἰσί, τὸ δὴ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσί, καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι.[1]» Καὶ καταλέξας τὰ χαρίσματα ἐπιφέρει· «Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται.[2]» Ὅταν δὲ τὰ πάντα ἐνεργῆται ὑπὸ τοῦ Θεοῦ διὰ Χριστοῦ ἐν ἁγίῳ Πνεύματι, ἀχώριστον ὁρῶ ἐνέργειαν τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

13. Ἀλλ' οὐ διὰ τοῦτο συμπλέξας τὸ ἐξ οὗ, καὶ δι' οὗ, καὶ ἐν ᾧ, βιάζομαι τὴν Τριάδα μονάδα ποιεῖν· οὐδὲ ἄνθρωπον ἐκ τριῶν ὑπονοῶν σύνθετον, πνεύματος, ψυχῆς, σώματος, οὕτω καὶ Θεόν, καθάπερ κἀκεῖνοι τολμῶσιν, οὐδὲ ἐπὶ τῆς τοιαύτης ἀσεβοῦς ὑπονοίας προΐεμαι τὸ ἀχώριστον. Οὐδὲ εἰ λέγοι τις ὡς τὸν ἐνδιάθετον λόγον, ἢ τὸν ἐν φωνῇ τοῦ νοοῦντος καὶ λαλοῦντος ἀχώριστον, οὕτω τοῦ Πατρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα. Τὰ γὰρ τοῦ συνθέτου μέρη, καὶ τὰ τοῦ κινουμένου κινήματα, πρὸς τὴν ἀσύνθετον καὶ ἀναλλοίωτον φύσιν οὐδεμίαν ἔχει κοινωνίαν. Ἐπεὶ καὶ πῶς ἀποστέλλει τὸ μέρος ἢ τὸ κίνημα αὐτοῦ ὁ Πατήρ, ἀποστέλλων τὸν Υἱὸν ἢ τὸ Πνεῦμα τὸ ἅγιον

1. Α' Κορ. 12, 4-6. 2. Α' Κορ. 12, 11.

ὁ Υἱὸς ἐκπέμπων εἰς τὸν κόσμον; Ἢ οὐκ ἀπεστάλη μὲν ὑπὸ τοῦ Πατρὸς ὁ Υἱός; Διαμαρτύρεται πανταχοῦ, καὶ ἀποστέλλειν τὸ Πνεῦμα τὸ παράκλητον ἐπαγγέλλεται, καὶ δὴ καὶ ἀποστέλλει κατὰ τὴν ὑπόσχεσιν. Ἀλλ' οἱ τὴν Τριάδα μονάδα ποιοῦντες νοθεύειν καὶ τὴν ἀποστολήν, ὥσπερ τὴν γέννησιν, ἐπιχειροῦσιν. Εἴσω γὰρ ὄντα φασὶ τοῦ Πατρὸς τὸν Υἱὸν ἁγιασμὸν ἀνθρώπου ἐργάζεσθαι, τουτέστιν, αὐτὸν τὸν ἕνα καὶ μόνον Θεόν, οὕτως ἀπεστάλθαι τὸν ἄνθρωπον οὐ Θεὸν παρὰ Θεοῦ. Πῶς γὰρ καὶ ἀπέσταλται, φασίν, ὁ Λόγος, μὴ διαιρούμενος, μηδὲ χωριζόμενος, οὗ Λόγος ἐστίν; Ὅτι μὲν οὖν σάρκωσις τοῦ Λόγου βοῶντος· «Ὁ Λόγος σὰρξ ἐγένετο[1]», καὶ ὅτι καταβέβηκεν ἐξ οὐρανοῦ κεκραγότος αὐτοῦ τοῦ Σωτῆρος, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις; Καὶ μὴν ὅτι οὐκ ἄνθρωπος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ἀπόστολος Παῦλος πρὸς Γαλάτας διισχυρίζεται. Ἀλλ' εἰ καὶ ἄνθρωπος ὁμώνυμος ἡμῖν, δεύτερος ἄνθρωπος, καὶ οὐχ οἷος ὁ πρότερος γηγενής, καὶ ὁ μὲν ψυχὴ ζῶσα, ὁ δὲ Πνεῦμα ζωοποιοῦν.

14. Ταῦτα γὰρ θεῖά τε καὶ ἀποστολικὰ ῥήματά τε καὶ δόγματα, καὶ τὰ ἔργα τῇ θεότητι μαρτυρεῖ μετ' ἐξουσίας οὐρανίου πραττόμενα, ὅτι κελεύει μὲν στοιχείοις, ἐπιτιμᾷ δὲ πνεύμασι, δυνάμει δὲ πηρώσεις ἀποκαθίστησι, καὶ θελήματι νόσους ἰᾶται, καὶ λέγει τὴν ἐξουσίαν, καὶ οὐκ ἀποκρύπτεται, καὶ καταργεῖται δι' αὐτοῦ θάνατος, φωτίζεται δὲ ζωὴ καὶ ἀφθαρσία, καὶ δημιουργεῖται δεύτερον ἡ φθαρεῖσα τῶν ἀνθρώπων φύσις, καὶ κόσμος ἀνακαινοῦται διὰ τῆς παρουσίας αὐτοῦ, καὶ κτίσις ἀναφαίνεται καινὴ διὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ, μεταμορφουμένου μὲν τοῦ σώματος τῆς ταπεινώσεως ἡμῶν εἰς συμμορφίαν τοῦ σώματος τῆς δόξης αὐτοῦ·[2] τῆς δὲ κτίσεως ὅλης ἐλευθερουμένης ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.[3] Ὅτι δὲ ὁ σαρκωθεὶς Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Πατὴρ οὐκ ἔστιν, οὐδ' ὡς ἐκεῖνοι φαῖεν, ὁ μόνος Θεός, ἅπασαι μαρτυροῦσιν αἱ θεῖαι Γραφαί, Υἱὸν τοῦ Θεοῦ τὸν παραγεγονότα κηρύττουσαι, καὶ περὶ Πατρὸς ἀεὶ διαλεγόμενον ἐπιδεικνύουσαι, παρὰ Πατρὸς ἐληλυθέναι φάσκοντα, καὶ πρὸς Πατέρα ἀπιέναι. Καί οὐδὲν δεῖ μηκύνειν παρατιθέμενον μαρτυρίας· πάντα γάρ, ὡς εἰπεῖν, τὰ Εὐαγγέλια, καὶ αἱ τῶν ἀποστόλων γραφαὶ εἰς τοῦτο συντείνουσιν.

15. Ἄλλας τε Ἑλληνικὰς ἡμῖν ἀντιλογίας κινοῦσι, καὶ τὰς ἐξ Ἰουδαίων βλασφημίας ἐπιφέρουσι, χλευάζοντες τὸ μυστήριον τῆς ἀποστολῆς τοῦ Λόγου καὶ σαρκώσεως. Εἰ γὰρ ἀποστέλλεται, καὶ καταβαίνει, φασίν, οὐκ ἔσται μετὰ τοῦ ἀποστέλλοντος, οὐδὲ τῷ ἄνω μένοντι σύνεστι. Μαθέτωσαν δὴ τὸ ἄνω καὶ τὸ ἐν ὕψει μὴ σωματικῶς ἀκούειν μόνον, ἀλλὰ δή τι καινότερον ἐνθυμείσθωσαν. Τὸ γάρ, «Ὑ-

---

1. Ἰω. 1, 14. 2. Πρβλ. Φιλιπ. 3, 21. 3. Πρβλ. Ῥωμ. 8, 21.

ψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος[1]», καὶ τό, «Ὑψώσω σε, Κύριε[2]», καὶ τό, «Αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας[3]», οὐκ ἐν τόπῳ τινὶ καὶ μετεώρῳ τὸν Κύριον ὄντα παρίστησιν, οὐδ' ὑπὸ ἀνθρώπων μετεωριζόμενον ὑπογράφει τὸν Θεόν, οὐδ' ὑπὸ τῶν ἄλλων τῶν ὑμνούντων αὐτόν, ἀλλὰ τὸ μεγαλοπρεπὲς τῆς ἀοράτου θεότητος ὕψος καλεῖ. Καὶ ὁ λέγων· «Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων[4]», οὐ τόπον οἰκήσεως ἀποκληροῖ τῷ Κυρίῳ τὸν οὐρανόν, ἀνθρώποις δὲ τὴν γῆν· ἀλλὰ τὴν ὑπεροχὴν τοῦ Θεοῦ καὶ μεγαλοπρέπειαν ἐπιδείκνυσιν. Ὅταν οὖν τὸ μὲν σεμνὸν καὶ μεγαλοπρεπὲς ἐπουράνιον εἶναι λέγηται, τούτῳ δὲ ἀντικειμένως τὸ ταπεινὸν γηΐνως τε καὶ ἐπὶ γῆς εἶναι λέγηται, κατάβασις εὑρίσκεται τοῦ Λόγου ἡ ἐκ τῆς ἀσωμάτου μεγαλοπρεπείας εἰς τὸ τοῦ σώματος εὐτελὲς ἐπίδοσις, ἐπιδεδωκότος ἑαυτὸν εἰς σωματικὴν μόρφωσιν διὰ φιλανθρωπίαν καὶ τὴν τοῦ παντὸς σωτήριον πρόνοιαν. Ἀπεσταλμένος τε κατὰ τοῦτο νοηθήσεται, ὅτι ἀρρήτῳ βουλήσει τοῦ ἀσωμάτου Πατρὸς σώματι δέδωκεν ἑαυτόν. Μὴ τοίνυν αἱ σωματικαὶ φωναί, τουτέστιν ἡ κατάβασίς τε καὶ ἀποστολὴ πρὸς ἄρνησιν τῆς σαρκώσεως αὐτοῦ προσαγέσθωσαν, ὅτι μὴ καταβαίνει τοπικῶς μηδὲ ἀποστέλλεται Θεός· ἀλλ' ἀκουέτωσαν τοῦ Ἀποστόλου φράζοντος τὸ πρᾶγμα, καὶ ἅμα τῶν τοιούτων ὁμοιώσεων, ὅτε φησίν. «Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος.[5]» Τοῦτο ἦν τὸ καταβῆναι, τοῦτο τὸ ἀποσταλῆναι εἰς ἔνδυμα ταπεινότερον τῆς ἀξίας αὐτοῦ, ὑπόβασις ἡ τῆς ἀνθρωπίνης μορφῆς ἐπαμφίασις, κατὰ τὸ βούλημα τοῦ Πατρὸς ἐπιτελουμένη. Εἰ δὲ τόπῳ καὶ σώματι ὁ Λόγος μὴ περιγράφεται, οὐκ ἀποσπασθήσεται τοῦ ἀσωμάτου Πατρὸς διὰ τὴν πρὸς σῶμα ἀνάκρασιν· δέδεκται γὰρ αὐτὸν τὸ σῶμα βουληθέντα, ὡς πεφύκει ἡ σαρκίνη φύσις Θεὸν ὑποδέξασθαι. Μένει δὲ οὐδὲν ἔλαττον ἐπὶ τῆς ἑαυτοῦ φύσεως, ἣ καὶ πρὸ τῆς σαρκώσεως. Ὥστε ἡ ἐξ οὐρανοῦ κατάβασις οὐκ ἦν μετάβασις ἐξ οὐρανοῦ, οὐδὲ ἡ ἀποστολὴ χωρισμὸς ἀπὸ τοῦ πέμποντος Πατρός.

---

1. Ψαλμ. 112, 4. 2. Ψαλμ. 29, 1. 3. Δαν. 3, 52 (Προσ. Ἀζαρίου 29). 4. Ψαλμ. 113, 24. 5. Φιλιπ. 2, 6, 7.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΟΤΙ ΕΙΣ Ο ΧΡΙΣΤΟΣ.*

1. Ἔδει μὲν τοὺς ἅπαξ ἀποπηδήσαντας τῆς Ἑλληνικῆς πλάνης, καὶ ἐπιγνόντας τὸν ἕνα καὶ μόνον ἀληθῶς τῶν ἁπάντων Θεόν, μηκέτι προσεῖναι τῇ κτίσει, μηδὲ θεοποιεῖν καὶ λατρεύειν τῇ κτίσει, παρὰ τὸν κτίσαντα, «ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν.[1]» Ὁμοίως δὲ καὶ τοὺς Ἰουδαϊκῆς ἀναχωρήσαντας ἀπιστίας, καὶ καταγνόντας ἐκείνων ὡς ἀφρόνων καὶ ἀχαρίστων καὶ πιστεύσαντας εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ συνιέντας αὐτὸν Θεὸν μαρτυρούμενον πάντοθεν, καὶ ἐπιγινωσκόμενον ἐκ τῆς ἐξουσίας, καὶ ἐκ τῶν σημείων καὶ θεϊκῶν ἔργων καὶ τῆς Κυριακῆς ἐπιστασίας, μηκέτι καταπίπτειν εἰς κοινὸν καὶ ψιλὸν ἄνθρωπον διὰ τῆς ἔξωθεν ὄψεως· μηδὲ κατὰ τὸ ὁρώμενον σχῆμα, καὶ τὴν ἀόρατον αὐτοῦ φύσιν ὁρίζειν· μηδὲ διὰ τὸ σῶμα, καὶ τὰ σωματικὰ πάθη, ψιλὸν αὐτὸν ἄνθρωπον εἶναι νομίζειν, καὶ ὡς ἕνα τῶν καθ' ἡμᾶς παθητόν. Ταῦτα γὰρ ἦν τὰ Ἰουδαίων κακά. Ταῦτα τὴν πίστιν ἐκείνων ἀφείλετο, καὶ θεομάχους ἀπέδειξε· ταῦτα καὶ νῦν ζηλοῦσί τινες Ἑλληνικὴν καὶ Ἰουδαϊκὴν νόσον νοσοῦντες, καὶ μὴ παραδεχόμενοι, μηδὲ πιστεύοντες ὅλως σωματοῦσθαι Θεόν, ἀλλὰ λογισμοῖς ἀνθρωπίνοις, καὶ φιλονεικίᾳ, καὶ φιλοσοφίᾳ Ἑλληνικῇ γνῶναι, καὶ καταλαβεῖν μᾶλλον βουλόμενοι τὰ μεγάλα καὶ ἀκατάληπτα, πῶς γεννᾶται τὸ ἀσώματον, πῶς δὲ καὶ πρόεισι, καὶ ποῦ ὁ πανταχοῦ ὤν, καὶ πάντα περιέχων, καὶ τὰ πάντα πληρῶν. Καὶ ἐκ τοῦ πῶς, καὶ ὅπως, εἰς ἀπιστίαν ἐχώρησαν, καὶ ἀντὶ γεννήσεως ἐπλάσαντο ποίησιν, καὶ ἀντὶ προόδου κτίσιν καὶ πάροδον κατεσκεύασαν.

2. Οὕτω πάλιν καὶ ἐπὶ τῆς σαρκώσεως· πῶς σαρκοῦται Θεός, πῶς σωματοῦται, πῶς συντίθεται πρὸς σῶμα βραχὺ ὁ ἀχώρητος· πῶς δὲ ἑνοῦται τὸ ἄκτιστον τῷ κτιστῷ, καὶ τῷ περιγραφομένῳ τὸ ἀπερίγραπτον· πῶς ἐν μέρει ὁ μέγας ἐκεῖνος καὶ ἀμέτρητος, καὶ ἀμέριστος. Ἢ γὰρ τὸ μέγα εἰς μικρὸν συνεστάλη χωρίον, ἢ τὸ μικρὸν γέγονε μέγα, ἢ μέρος τῆς θεότητος, καὶ οὐ τὸ πᾶν ὑπεδέξατο, ὅπερ ἐστὶν ἀσεβές. Καὶ ἐχώρησαν ἐκ τοῦ πῶς, καὶ ποίῳ τρόπῳ, καὶ ποίᾳ ἀκολουθίᾳ, εἰς ἀπιστίαν καὶ οὗτοι· καὶ ἐνοίκησιν ἀντὶ σαρκώσεως

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 121-132.

1. Ῥωμ. 1, 25.

κατεσκεύασαν· καὶ ἀντὶ ἑνώσεως καὶ συνθέσεως ἐνέργειαν ἀνθρωπίνην, καὶ ἀντὶ μιᾶς ὑποστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύο ὑποστάσεις καὶ πρόσωπα· καὶ ἀντὶ τῆς ἁγίας Τριάδος τετράδα ἀπρεπῶς καὶ παρανόμως φρονήσαντες· ἀπρεπῶς μέν, ὅτι Θεῷ συνάπτουσιν ἄνθρωπον, καὶ δοῦλον συναριθμοῦσι Δεσπότῃ, καὶ κτιστὸν πρόσωπον ἀκτίστοις προσώποις συντάττουσι· παρανόμως δέ, ὅτι τὴν μίαν ὑπόστασιν δύο ποιοῦσιν, ἐπεισάγοντες τῇ Τριάδι τετάρτην ὑπόστασιν, ξένην παντάπασι καὶ ἀλλόφυλον, καὶ πάντων τῶν λογικῶν κτισμάτων τὸ τελευταῖον καὶ ἔσχατον καὶ μικρόν. Ἐὰν δὲ ἀκριβῶς πάλιν ἐννοήσῃς, καὶ τῷ πράγματι προσέχειν θελήσῃς, εὑρήσεις αὐτοὺς ἔξω τῆς ἁγίας Τριάδος βάλλοντας τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὡς δοῦλον, ὡς ἄνθρωπον ἀπροσκύνητον, τὸν προσκυνητόν· προσκυνοῦντα δὲ μᾶλλον, καὶ σέβοντα μετὰ πάντων, καὶ ὑποτασσόμενον τῇ ἁγίᾳ Τριάδι, ὡς Μάρκελλος καὶ ὁ Σαμοσατεὺς Παῦλος παρεξηγοῦνται, τὸ θεϊκὸν καὶ ἀποστολικὸν γράμμα εἰς τὴν ἰδίαν αὐτῶν ἕλκοντες ἔννοιαν· «Ὅταν» γάρ, φησί, «ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱός», τουτέστιν ὁ ἀναληφθεὶς ἄνθρωπος «ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵν' ᾖ ὁ Θεός[1]», φησίν, ὡς καὶ πρὸ τῆς σαρκώσεως, «ἐν πᾶσιν», ἀσώματος ὤν, καὶ σῶμα μὴ ἔχων· καὶ ὁ ἀναληφθεὶς ἄνθρωπος, μετὰ πάντων καὶ τοῖς πᾶσι συναριμθούμενος προσιών, ὑποτασσόμενος καὶ λατρεύων Θεῷ. Σκοπήσατε, εἰς ὅσην κατέπεσον ἀφροσύνην οἱ δοκησίσοφοι, εἰς ὅσην μανίαν καὶ ἀπιστίαν, καὶ ἐπινοεῖν τὰ μὴ ὄντα, καὶ πλάττεσθαι, καὶ μυθολογεῖν.

3. Οὐ μόνον δὲ τῇ πίστει προσελθεῖν οὐκ ἠθέλησαν, ἀλλὰ καὶ ἀπάτας ἐξεῦρον, καὶ κακουργίας ἐμηχανήσαντο, ἐπλάσαντο μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις, εἰς πλάνην πολλῶν καὶ ἀποστασίαν παράνομον σκοπήσαντες. Εἰ γὰρ προσεδόκων τὸ μέλλον, εἰ Θεοῦ ἐπιδημίαν καὶ κρίσιν ἐπίστευον, εἰ κόλασιν ἐφοβοῦντο, τῇ πίστει προσήρχοντο, Εὐαγγελίοις ἐπείθοντο, καὶ ἀποστόλοις ἠκολούθουν μᾶλλον ἢ λογισμοῖς ἀνθρωπίνοις. Χριστὸν γὰρ εὐθέως ἐκήρυξαν ἐξελθόντες οἱ ἀπόστολοι συμφώνως καὶ ἀκολούθως τὸν Υἱὸν τοῦ Θεοῦ. Τοῦτον τὸν ἐν Βηθλεὲμ γεννηθέντα ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, τὸν ὁμοιωθέντα ἀνθρώποις, καὶ σταυρωθέντα ὑπὲρ ἀνθρώπων ἐπὶ Ποντίου Πιλάτου, αὐτὸν εἶπον Θεόν, αὐτὸν ἄνθρωπον, αὐτὸν εἶπον Υἱὸν Θεοῦ, αὐτὸν Υἱὸν ἀνθρώπου, αὐτὸν ἐξ οὐρανοῦ, αὐτὸν ἀπὸ γῆς, αὐτὸν ἀπαθῆ, αὐτὸν παθητόν, οὐκ ἄλλον, οὐ πρόσωπα δύο, οὐχ ὑποστάσεις, οὐ προσκυνήσεις δύο. Τίς χρεία ζητεῖν καὶ λογομαχεῖν; Πιστεύειν συμφέρει, καὶ σέβειν, καὶ προσκυνεῖν σιωπῇ. Οἶδα αὐτὸν Θεὸν ἀληθῶς ἐξ οὐρανοῦ ἀπαθῆ· οἶδα αὐτὸν ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, ἄνθρωπον ἀπὸ γῆς παθητόν. Οὐ ζητῶ, πῶς παθητὸς καὶ

1. Α' Κορ. 15, 28.

ἀπαθὴς ὁ αὐτός, πῶς Θεὸς καὶ πῶς ἄνθρωπος, ἵνα μή, τὸ πῶς περιεργαζόμενος καὶ τὸν τρόπον ἀναζητῶν ἐκπέσω τοῦ προκειμένου ἡμῖν ἀγαθοῦ. Πιστεύειν γὰρ πρῶτον χρή, καὶ δοξάζειν, καὶ δεύτερον ἄνωθεν τὴν σύστασιν τούτων αἰτεῖσθαι, καὶ μὴ κάτωθεν ταύτην πορίζεσθαι ἐξ αἵματος καὶ σαρκός, ἀλλ' ἐξ ἀποκαλύψεως θείας καὶ οὐρανίου. «Μακάριος» γὰρ «εἶ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς·[1]» καί, «Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.[2]» Πιστὸς ὁ λόγος, καὶ ἀσάλευτος ἡ ὑπόσχεσις, καὶ ἡ Ἐκκλησία ἀήττητος, κἂν ᾅδου πύλαι ἐπιγένωνται, κἂν ὁ ᾅδης αὐτὸς κινηθῇ, κἂν οἱ ἐν αὐτῷ κοσμοκράτορες τοῦ σκότους. Θάρσει τῷ εἰρηκότι· «Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον[3]», καὶ τοῖς παθήμασιν ὁμοίως νενίκηκα· ἐπειδὴ καὶ ὁ ταύτης Δεσπότης, παθὼν μᾶλλον ἐνίκα, καὶ σταυρούμενος ἔσῳζε, καὶ ἀποθνήσκων ἐζωοποίει. Ὁρᾷς καὶ ἀκούεις τὸν αὐτὸν ἅμα Θεὸν καὶ ἄνθρωπον. Εἰ γὰρ Θεὸς μόνον ἦν, πῶς ἔπασχε, πῶς ἐσταυροῦτο, καὶ ἀπέθνησκεν; ἀλλότρια γὰρ ταῦτα Θεοῦ. Καὶ εἰ ἄνθρωπος μόνον, πῶς διὰ πάθους ἐνίκα, ἔσῳζεν, ἐζωοποίει; Ταῦθ' ὑπὲρ ἄνθρωπον ἦν. Ὁ δὲ αὐτὸς καὶ πάσχει, καὶ σῴζει, καὶ διὰ τοῦ πάθους ἐνίκα. Ὁ αὐτὸς Θεός, ὁ αὐτὸς ἄνθρωπος, τὸ συναμφότερον ὡς ἕν, ἑκάτερον ὡς μόνον.

4. Ἀλλ' ἴσως ἐρεῖ τις τῶν σοφῶν καὶ γενναίων παρελθὼν ἐν μέσῳ ἀκριβὴς ζητητής. Μέρος οὖν τοῦ Λόγου τὸ σῶμα, συμπληρωτικὸν τῆς τοῦ Υἱοῦ ὑποστάσεως, ἵν' ᾖ εἷς Υἱὸς τοῦ Θεοῦ ἐξ ἀμφοτέρων συγκείμενος, καὶ ἀτελὴς ὢν καθ' ἑαυτόν, καὶ τοῦ σώματος εἰς τελείωσιν προσδεόμενος. Ἐπεὶ πῶς εἷς, ἢ πῶς μία ὑπόστασις καὶ ἓν πρόσωπον; ἐπεὶ πάλιν, εἰ μία ὑπόστασις τοῦ Λόγου καὶ τῆς σαρκός, πῶς δὲ Υἱὸς αὕτη τοῦ Θεοῦ; Ὁμοούσιος ἄρα ἔσται καὶ ἡ σὰρξ τῷ Θεῷ, ὅπερ ἐστὶν ἀσεβές. Εἰ δὲ τοῦτο, οὐδὲ ὁ Λόγος Υἱὸς ἔσται ὁμοούσιος τοῦ Θεοῦ, ὅπερ ἐστὶν ἄτοπον· ὁ Λόγος γὰρ τέλειος καὶ ὁμοούσιος, καὶ ἰδίαν καθ' ἑαυτὸν ἔχων ὑπόστασιν ἀεί, καὶ μηδενὸς προσδεόμενος. Οἱ ταῦτα κατηγοροῦντες τὴν ἑαυτῶν γνώμην φανερὰν καθιστῶσιν, ὅτι δύο ὑποστάσεις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡμᾶς συκοφαντοῦσι, καὶ πειρῶνται ἅμα πανταχόθεν εἰς ἓν ἀτόπων περιάγειν τοὺς ἡμετέρους λόγους, συμπληρωτικὸν εἰπεῖν τῆς ὑποστάσεως τοῦ Λόγου τὸ σῶμα, ἢ ὁμοούσιον τῷ Θεῷ, ἢ ξένον καὶ ἀλλότριον παντάπασι τῆς ὑποστάσεως τοῦ Υἱοῦ, ὅπερ αὐτοὶ λέγουσιν, ἄλλην ὑπόστασιν εἰσάγοντες τῆς σαρκός, ἤτοι τοῦ ἀναληφθέντος ἀνθρώπου, ὡς αὐτοί φασι, καὶ ἄλλην τοῦ ἀναλαβόντος Θεοῦ, ἄλλο πρόσωπον τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ ἄλλο πρόσωπον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, τοῦ ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα. Ὥστε μήτε τὸν Υἱὸν τοῦ Θεοῦ εἶναι Υἱὸν ἀνθρώπου ἑτερούσιον ὄντα τοῦ Δαυίδ· μήτε τὸν

1. Ματθ. 16, 17. 2. Ματθ. 16, 18. 3. Ἰω. 16, 33.

κατὰ σάρκα γεννηθέντα εἶναι Υἱὸν τοῦ Θεοῦ, ἑτερούσιον ὄντα τοῦ Θεοῦ. Ἡμεῖς δὲ ἕνα καὶ τὸν αὐτὸν λέγομεν Θεόν, ἀδελφοί, προφήταις καὶ ἀποστόλοις πειθόμενοι, καὶ τῷ Εὐαγγελίῳ πιστεύοντες μᾶλλον ἢ σοφίᾳ Ἑλληνικῇ προσέχοντες, καὶ λογισμοῖς ἀνθρωπίνοις ταραττόμενοι, καὶ περὶ τῆς ἰδίας διακρινόμενοι σωτηρίας, Θεὸν ἕνα ὁμολογοῦμεν τὸ συναμφότερον, μίαν ὑπόστασιν καὶ ἓν πρόσωπον, οὐχ ἵνα συμπληρωτικὸν τῆς ὑποστάσεως τὸ σῶμα γένηται· ἀσεβὲς γάρ· ἐπειδὴ τέλειον τὸ Θεῖον· ἀνεπίδεκτον ἐλαττώσεως, ἁπλοῦν, καὶ μονοειδές, καὶ ἀσύνθετον, εἰς μέρη οὐ διαιρεῖται, τουτέστι, καθὸ Θεὸς Λόγος ἐστὶ καὶ μονοειδής, εἰς διαφορὰν μελῶν καὶ πραγμάτων οὐ πίπτει, εἴς τε σῶμα καὶ ἀσώματον· ὁ Λόγος γάρ ἐστι τέλειος καὶ διόλου ἀσώματος· οὐ γὰρ Θεὸς γέγονε σαρκωθείς, οὐδὲ Υἱὸς Θεοῦ, ἀνθρώπινον σῶμα λαβών, οὐδὲ Κύριος τῆς δόξης, τὴν τοῦ δούλου μορφὴν φορέσας· ἀλλ' ἄνθρωπος καὶ υἱὸς ἀνθρώπου ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ δοῦλος κατὰ τὴν μορφὴν ὁ τῇ φύσει Κύριος. Οὐ τὸ σῶμα οὖν συμπληρωτικὸν γέγονε τῆς θεϊκῆς ὑποστάσεως· ἀλλ' ὁ ἀληθῶς τέλειος, τὸ ἀτελὲς ἐτελείωσεν, ὁ ἀπροσδεὴς τῇ προσδεομένῃ συνῆλθε καὶ συνηνώθη σαρκί, ὁ μηδενὸς χρείαν ἔχων ἑαυτὸν ἔδωκε τῷ χρείαν ἔχοντι σώματι. Οὐδεὶς γὰρ τῶν εὖ φρονούντων, ἢ νήφειν ὅλως καὶ νοεῖν δυναμένων, εἴποι ἄν, ὅτι, ὥσπερ ὁ Λόγος τέλειος ὢν καὶ ἐνυπόστατος, οὐ προσεδεῖτο σαρκός, ἵνα Θεὸς τέλειος γένηται, οὕτως οὐδὲ τὸ σῶμα τοῦ Λόγου ἔχρηζεν, ἵνα τέλειος καὶ ἐνυπόστατος ἄνθρωπος γένηται· ἀλλ' οὐρανίου τοῦ Σωτῆρος ἐδεόμεθα, οὐρανίου ἐλευθερωτοῦ, ἀφαιρέσει τῆς ἐπιγενομένης ἁμαρτίας, ἀνακαινοῦντος ἡμᾶς ἐκ τῆς κακώσεως, καὶ τὰ ταύτης ἀφαιροῦντος δεινά.

5. Εὐθὺς οὖν ἀπὸ γενέσεως ἡ καινότης ἐδείκνυτο, καὶ τὸ οὐράνιον τοῦ γεγεννημένου διὰ τῆς γεννήσεως ἐξεφαίνετο, οὐ κατὰ γέννησιν ἀνθρώπου παλαιοῦ ἐξ ἀνδρὸς καὶ γυναικὸς εἶχε τὴν γέννησιν. Καὶ γὰρ ἀδύνατον ἄνευ ἀνδρὸς κυῆσαι γυναῖκα, ὅτι τὴν οὐσίαν τῶν γεννωμένων ἐν τοῖς πατράσι κατεβάλλετο ὁ Θεός· ὡς καὶ τὸν Λευΐ φησιν ἡ Γραφὴ ἐν τῇ ὀσφύϊ τοῦ Πατρὸς εἶναι Ἀβραάμ. Ὁ δὲ Λυτρωτὴς οὐ τοῦ Ἀδὰμ τὸ εἶναι λαβών, ἀλλ' ἐκ τοῦ Ἀδὰμ τὸ σχῆμα προλαβών, τὴν σάρκα λέγω τὴν μετὰ ψυχῆς ἀνθρωπίνης, καὶ γενόμενος ἄνθρωπος κατὰ τὸ ὁρατόν, εἰσήγαγε εἰς τὸν κόσμον τὴν καινότητα κατὰ τὸ ἀόρατον· καθ' ἧς οὐχ ὅρος θανάτου, οὐ τυραννὶς διαβόλου, ἀλλὰ κοινωνία μὲν τοῦ Λόγου πρὸς τοὺς θνητοὺς καὶ τυραννουμένους, διαφορὰ δὲ πολλὴ κατὰ τὸ ἀθάνατον, κατὰ τὸ ἐλεύθερον καὶ ἀτυράννητον. Ἐθαύμαζε καὶ ἡ Παρθένος Μαρία εὐαγγελισθεῖσα τὴν γέννησιν τοῦ Σωτῆρος τὴν ἐξ αὐτῆς. «Πῶς γὰρ ἔσται μοι τοῦτο», φησίν, «ἐπεὶ ἄνδρα οὐ γινώσκω;[1]» Εὐηγγελίσθη δὲ θείαν οὐσίαν τοῦ γεννηθέντος ἐξ αὐτῆς ἐν μορφώσει σαρκίνῃ. Καὶ ἦν οὐράνιον τὸ δῶρον,

1. Λουκ. 1, 34.

καὶ γήϊνον τὸ βλάστημα· ἣν εἰρηνοποίησις τῆς γῆς, καὶ πρὸς οὐρανοὺς ὁμοίωσις, κατὰ τὴν τῶν ἀγγέλων χαρὰν τῶν βοώντων· «Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἀνθρώποις·[1]» Χαίροντές οὖν ἐπὶ τῇ Χριστοῦ γεννήσει, οὐκ ἀνθρωπίνην χαρὰν χαίροντες, οἷον ἐπὶ γεννωμένῳ παιδίῳ χαίρουσιν ἄνθρωποι, καὶ γενεσίων ἐπιτελοῦσιν ἑορτήν· ἀλλ' ἐπιφανείᾳ Χριστοῦ χαίρωμεν, καὶ φωτὸς ἐπιλάμψει θεϊκοῦ, οὐ κοινωνὸν ἔχοντες τῆς αἰχμαλωσίας, ἀλλὰ λυτρωτὴν κατὰ τὸν Ἀπόστολον. Τί δὲ ἦν ἐπὶ τούτοις; Ἡ χρίσις, καθ' ἣν γεννώμενος θειότερον ἢ κατ' ἀνθρώπους, καὶ τραφεὶς θειοτέρως ἢ καθ' ἡμᾶς Χριστός. Τὸ μὲν οὖν σχῆμα κατὰ τὴν σάρκα ἐν ὕδατι βαπτίζεται μετὰ Ἰουδαίων. Καὶ Ἰωάννης ὁ βαπτίζων, καὶ ποταμὸς Ἰορδάνης ὁ λούων σῶμα τὸ θεῖον, καὶ Πνεύματος ἔφοδος ἐξ οὐρανοῦ εἰς τὸ καθαρὸν σῶμα τοῦ Χριστοῦ, ἐξ οὗ καὶ εἰς ἡμᾶς διαβαίνει καθ' ὁμοίωσιν ἡ κάθαρσις, ἵνα καὶ ἡμεῖς ἀκολουθήσωμεν αὐτῷ πληροῦντες πᾶσαν δικαιοσύνην, καὶ καθαιρόμενοι ἐν αὐτῷ τῷ Κυρίῳ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

1. Λουκ. 2, 14.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

Α Θ Α Ν Α Σ Ι Ο Υ

ΔΙΑΛΟΓΟΣ ΕΝ ΤΗ͂Ι ΚΑΤΑ ΝΙΚΑΙΑΝ ΣΥΝΟΔΩ͂Ι ΠΡΟΣ ΑΡΕΙΟΝ.*

1. Τῇ τοῦ Θεοῦ προνοίᾳ ἀπήειν προσεληλυθὼς σὺν τοῖς φιλτάτοις μου ἀδελφοῖς πρὸς τοὺς ἐμοὶ ποθουμένους τοῦ Θεοῦ δούλους. Ἠρέμα δέ πως βαδίζοντα διὰ τὴν τοῦ σώματος ἀσθένειαν ἅμα τοῖς προειρημένοις τοῦ Θεοῦ δούλοις, ἤρετό μέ τις τῶν συμπορευομένων μοι ἀνδρῶν περὶ τοῦ Κυριακοῦ ῥητοῦ τοῦ φάσκοντος· «Ὁ Πατὴρ ὁ πέμψας με μείζων μου ἐστί.[1]» Κἀγώ φημι πρὸς τὴν πεῦσιν, ἣν προσαγήοχεν· «Ἐπὶ τοῦ παρόντος ἐπίσχες τὴν περὶ τούτου ζήτησιν, γλυκύτατε ἀδελφῶν· ἐπὰν δέ, Θεοῦ ἐπιτρέποντος, ἐν τοῖς οἰκείοις ἐπαναζεύξωμεν, τὴν ἐξέτασιν τοῦ κεφαλαίου ἀσφαλεστάτην ποιησόμεθα.» Κἀμοῦ τοῦτο εἰρηκότος, αἰφνίδιός τις κατοχὴ τῆς εὐσεβείας γίνεται ἐν τῇ καρδίᾳ μου, ἔλεγον δὲ ἐν ἐμαυτῷ· Οὐκ ἀσκόπως ὁ μακάριος Παῦλος ἐπιστέλλων τῷ ἑαυτοῦ μαθητῇ Τιμοθέῳ ἔφασκε· «Γύμναζε σεαυτὸν πρὸς εὐσέβειαν.[2]» Ἀληθῶς γὰρ θεῖος θησαυρὸς ἀρρήτων καὶ ἀνεικάστων ἀγαθῶν πεπληρωμένη τυγχάνει ἡ εἰς τὸ Θεῖον εὐσέβεια. Ἔλεγον δὲ ἐν ἐμαυτῷ κατὰ διάνοιαν, ὅτι μεγαλοπρεπὴς καὶ ἐπίδοξός ἐστιν ἡ εὐσέβεια, καὶ δυναμένη σῶσαι τὸν προσπελάσαντα τῇ ἑαυτῆς εὐπρεπείᾳ. Ὑπεισῄει δέ με καὶ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ παραβολὴ περὶ τῆς μακαρίας εὐσεβείας, ὡς μεγίστη τις καὶ πάντων ἀμβροσίων πλούτων πεπληρωμένη τυγχάνει, καὶ σπανίως εὑρίσκεται ἐν τοῖς ἀνθρώποις, εἰ μὴ ἄρα ἀπὸ τῶν πολλῶν ὀλίγοι μόλις φιλαλήθει γνώμῃ κατατύχωσι τοῦ ἀφθάρτου κάλλους αὐτῆς. Καὶ οὗτοι δὲ οὐκ ἰδίᾳ δυνάμει κατειλήφασι τὴν ἐπέραστον ταύτης ὄψιν· ἀλλὰ τὴν πρὸς Θεὸν φιλίαν στειλάμενοι, συχναῖς λιταῖς χρησάμενοι, εἰλήφασι τοῦτο παρὰ τοῦ Θεοῦ δῶρον, ὅπως ἀΐδιον χαρὰν ἐνστερνίσωνται οἱ κατοπτριζόμενοι τὸ ὡραιότατον ταύτης ἀξίωμα.

2. Φησὶν ὁ Κύριος· «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἐχάρη, εἶτα ὑπάγει καὶ πωλεῖ πάντα, ὅσα ἔχει, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.[3]» Εἶτα ὥσπερ ἑστὼς ἐν τῇ καρδίᾳ μου, προσωμίλει μου προσηνῶς, καί φησιν· Ἄνθρωπε, εἰ καὶ πολλαί σου εἰσὶν αἱ ἁμαρτίαι, κράτει ἰσχυ-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σελ. 440-501.

1. Ἰω. 12, 49. 14, 28. 2. Α' Τιμ. 4, 7. 3. Ματθ. 13, 44.

ρῶς τὴν εἰς τὸ Θεῖον εὐσέβειαν. Διὰ γὰρ ταύτην, καὶ ἡ ἄφεσις τῶν ἁμαρτιῶν παρὰ Θεοῦ δίδοται, καὶ θάνατος νικᾶται, καὶ εἰς βασιλείαν οὐρανῶν ἄνθρωπος εἰσελάσαι ἄριστα δυνήσεται. Πρὸς δὲ τούτοις εἰς ὑπόμνησιν εἴληφα καὶ τό, «Οἶδεν ὁ Θεὸς εὐσεβεῖς ῥύεσθαι, ἀνόμους δὲ τηρεῖν εἰς ἡμέραν κρίσεως κολαζομένους αἰωνίῳ πυρί.» Καὶ γὰρ ὁ ἄνομος οὗτος τυγχάνει καὶ ἀσεβής· ἐκ δὲ τῆς ἀσεβείας ἁμαρτία γίνεται. Μήτηρ οὖν πάντων τῶν κακῶν ἡ ἀσέβεια, τιθηνὸς δὲ ψεκτῶν ἁπάντων ἡ ἄνοια τυγχάνει. Μακάριος οὖν ὁ τῆς εὐσεβείας υἱός, ὅτι οὗτος υἱὸς Χριστοῦ κληθήσεται.

3. Ἀθρόως δὲ ἐπέστημεν τῷ τόπῳ ἔνθα ἦμεν τὴν ὁρμὴν πεποιημένοι, καὶ περιτυγχάνοντες τοῖς γνησίοις, ἀσμένως διετελοῦμεν ἅπαντες ἡμεῖς τε, ὅτι ἠξιώθημεν τοὺς ἁγίους θεάσασθαι, ἐκεῖνοι δέ, ὅτι ἀδελφοὺς ἑωράκασι. Κοινολογούντων δὲ ἡμῶν ἐπὶ πολὺ τῶν ἀνηκόντων τῇ σεβασμιωτάτῃ θρησκείᾳ μετὰ πολλῆς εὐταξίας καὶ φειδοῦς, αἰφνιδίως ἀπὸ τῆς ῥίζης τοῦ χριστομάχου Ἀρείου θηρίον ἀνθρωπόμορφον εἰσεπήδησε πρὸς ἡμᾶς, καὶ πρὸς βραχὺ ἐπακροασάμενος τῶν εὐσεβείας ῥημάτων, μὴ δυνάμενος φέρειν, ἔλεξε τοιάδε· «Διδάξατέ με τὴν ὑμετέραν δόξαν, ἢ διδάξω ὑμᾶς τὸ ἐμὸν φρόνημα.» Ἐγὼ δὲ ἀπεκρινόμην πρὸς αὐτόν· «Μὴ πάντας προσκαλοῦ εἰς ζήτησιν· μεγάλοι γάρ εἰσιν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. Εἰ δὲ βούλει ἐπὶ τοῦ παρόντος πρός με τὸν σμικρότατον μόνον συνεξετάσαι, ἥδιστα ἐγώ σοι τοῦτο παρέξω περὶ τοῦ ζητήματος. Προσάγαγε πρῶτος τὴν πρότασιν· μόνον φιλαλήθως ποιήσωμεν τὴν συνεξέτασιν, καὶ μὴ φιλονεικότερον πρὸς τὰ προσφερόμενα ὑπὸ τοῦ πλησίον θεόπνευστα ῥήματα διατεθῶμεν.»

4. ΑΡΕΙΟΣ εἶπεν· Ἐμοὶ δοκεῖ προηγουμένως ὁρισθῆναι ὑφ' ἑκατέρων ἐμοῦ τε καὶ σοῦ εἰς τὰ ζητούμενα, ἕκαστόν τε ἡμῶν ἐκθεῖναι, ἃ φρονεῖ περὶ Θεοῦ καὶ Χριστοῦ, καὶ Πνεύματος ἁγίου, ἐν ἐπιτομῇ, ὅπως κατὰ σκοπὸν πέμπωμεν τοὺς λόγους, καὶ μὴ εἰς κενὸν ποιησώμεθα ἅμιλλαν λόγων, φανερά τε ᾖ ἡ ἐπικρατοῦσα δόξα ὁμοίως τε καὶ ἡ καθαιρουμένη. Περὶ γὰρ πίστεως βούλομαι ζητῆσαι πρὸς σέ, ἐπειδὴ μάλιστα ἀκήκοα ὀρθῶς μή, ὁμιλούντων ὑμῶν περὶ τῆς εἰς τὸ Θεῖον πίστεως καὶ εὐσεβείας.

5. ΑΘΑΝΑΣΙΟΣ εἶπεν· Θεοπρεπῶς πάντα σοι εὐτρέπισται· ἐγὼ δὲ ὃ φρονῶ, φημὶ ἐν ἐπιτομῇ. Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ἀεὶ ὄντα Θεὸν Πατέρα, καὶ εἰς τὸν Θεὸν Λόγον, τὸν Μονογενῆ Υἱὸν τοῦ Θεοῦ, ὅτι συνυπάρχει τῷ ἰδίῳ Πατρί, καὶ ὅτι ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱός, καὶ ὅτι ἴσος ὁ Υἱὸς τοῦ Πατρὸς τυγχάνει, καὶ ὅτι ἰσότιμός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ὅτι σὺν τῷ Πατρὶ αὐτοῦ πάρεστι πανταχοῦ τῇ θεότητι, καὶ ὅτι πάντα περιέχει τῇ οὐσίᾳ αὐτοῦ, καὶ ὅτι οὐ περιέχεται ὑπ' οὐδενὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Θεὸς ὁ Πατὴρ αὐτοῦ· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι τῆς τοῦ Πατρός ἐστιν οὐσίας, καὶ συναΐδιον

τῷ Πατρὶ καὶ τῷ Υἱῷ τυγχάνει τὸ ἅγιον Πνεῦμα. Τὸν Λόγον φημὶ ἐν σαρκὶ γεγονέναι.

6. Ἄρ. εἶπεν· Πιστεύω κἀγὼ εἰς ἕνα Θεὸν ἀΐδιον, καὶ εἰς τὸν Υἱὸν αὐτοῦ, ὃν πρὸ τῶν αἰώνων ἔκτισεν ὁ Θεός, καὶ Υἱὸν ἐποίησε. Καὶ πάντα, ὅσα ἔχει ὁ Υἱός, μὴ ἔχων ἔλαβε παρὰ τοῦ Θεοῦ· καὶ ὅτι οὐκ ἴσος ἐστὶν ὁ Υἱός, οὐδὲ ἰσότιμος τῷ Πατρί, ἀλλὰ πολὺ λείπεται τῆς τοῦ Θεοῦ δόξης, ὡς ποίημα, λείπεται τῆς τοῦ Θεοῦ δυνάμεως· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ὑπὸ τοῦ Υἱοῦ γεγονός. Ἰδοὺ κἀγὼ ταῦτα φρονῶ.

7. Ἀθ. εἶπεν· Λοιπὸν μετὰ πάσης ἐπιστήμης ἄρχου τῆς ζητήσεως· ὁρῶ γάρ σε ἐν μεγάλοις κακοῖς ἐνεχόμενον, εἰ καὶ τὰ μάλιστα σὺ παρελθὼν ὑπὸ αἰτίαν ἡμᾶς ἐποίησας, ὡς μὴ ὀρθῶς φρονούντων ἡμῶν περὶ Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Ἄρ. εἶπεν· Πῶς φῂς τὸν Θεὸν ἀεὶ Πατέρα, ὃς μόνος Θεὸς ὤν, ἰδίᾳ βουλήσει ἔκτισεν τὸν Υἱὸν αὐτοῦ, καθὼς γέγραπται. Ἀθ. εἶπεν· Ποῦ γέγραπται, ὅτι μόνος ἐστὶν ὁ Πατήρ; Ἄρ. εἶπεν. Παρὰ Παύλῳ τῷ ἀποστόλῳ· φησὶ γάρ· «Ἡμῖν δὲ εἷς Θεὸς ἐξ οὗ τὰ πάντα.[1]» Ἀθανάσ. εἶπεν· Τὰ ἑπόμενα ἀνάγνωθι τοῦ Ἀποστόλου ῥητά, ἔφη γάρ· «Καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα.[2]» Ἄρειος εἶπεν· Ὁρᾷς, ὅτι ὑπουργός ἐστι, καὶ οὐχὶ αὐτουργὸς ὁ Υἱὸς καθὼς αὐτὸς περὶ ἑαυτοῦ ἔλεξεν· «Ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ὁ Πατὴρ ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ποιεῖ.[3]» Πρόσεχε πῶς ὑπουργὸς καὶ οὐ δημιουργός ἐστιν ὁ Υἱός. Ἀθ. εἶπεν· Ὅρα· μὴ μάχου πρὸς τὴν ἀλήθειαν. Ὅπερ γὰρ τοῦ Παύλου ῥητὸν δοκεῖς κρατεῖν περὶ Θεοῦ Πατρός, τοῦτο καὶ περὶ τοῦ Υἱοῦ εὑρήσεις παρ' αὐτῷ τῷ Ἀποστόλῳ λεγόμενον· φησὶ γάρ· «Καὶ αὐτὸς ἔθετο ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν λαῶν, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης, ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλή, ὁ Χριστός· ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας[4]», καὶ τὰ ἑξῆς. Ὁρᾷς, ὅτι ἡ φωνὴ κοινῶς κατηγορεῖται Πατρὸς καὶ Υἱοῦ, καὶ σὺ μονομερῶς περὶ Πατρὸς ἐξείληφας;

8. Ἄρ. εἶπεν· Καλῶς ἐμνημόνευσας περὶ τούτου ὅλην τὴν περικοπὴν τοῦ Ἀποστόλου· ἀλλ' ἐγὼ ἀξιοπιστότερον ἡγοῦμαι τυγχά-

1. Α' Κορ. 8, 6. 2. Α' Κορ. 8, 6. 3. Ἰω. 5, 19. 4. Ἐφ. 4, 11-16.

νειν τοῦ ἀποστολικοῦ ῥητοῦ τὸ προειρημένον Κυριακὸν ὑπ' ἐμοῦ λόγιον. Ἔφη γὰρ ὁ Κύριος, μὴ δύνασθαι ἀφ' ἑαυτοῦ ποιεῖν οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα.[1] Ἀθ. εἶπεν· Τί ἐποίησεν ὁ Θεὸς ἐν ἀρχῇ; Ἀρ. εἶπεν· Οὐρανόν, γῆν, θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, καθὼς γέγραπται. Ἀθ. εἶπεν· Οὐκοῦν λοιπόν ἐστιν ἀποδειχθῆναι παρὰ σοῦ, ποίους οὐρανούς, καὶ γῆν, καὶ θάλασσαν, καὶ τὰ ἐν αὐτοῖς ἐποίησεν ὁ Θεὸς ἐν πρώτοις, εἶθ' οὕτως ὁ Υἱὸς αὐτοῦ ἑωρακὼς ἐποίησεν ὁμοίως τῷ Πατρὶ αὐτοῦ. Ἄρ. εἶπεν· Ἀθέμιτον ἡγοῦμαι τυγχάνειν τὸ εἰπεῖν, πρῶτον κόσμον ὑπό τοῦ Θεοῦ δεδημιουργῆσθαι, ἕτερον δὲ ὑπὸ τοῦ Υἱοῦ, δευτέρου μὴ δυναμένου ἀποδειχθῆναι,καταδήλου ὄντος τοῦ πράγματος παρὰ πᾶσιν, ὅτι εἷς τυγχάνει ὁ ὁρώμενος κόσμος. Ἀθ. εἶπεν· Οὐκοῦν ἀφ' ἑαυτοῦ δημιουργεῖ ὁ Υἱὸς τὸ πᾶν. Ἄρ. εἶπεν· Παρακαλῶ, εἰπέ μοι, πῶς ἀφ' ἑαυτοῦ; Οὐκ ἔστι δὲ ὃς λέξει τοῦτο. Ἀθ. εἶπεν· Ὁ σοφὸς τὴν βουλὴν αὐτοῦ ποῦ εὑρίσκει; Ἄρ. εἶπεν· Ἐν τῇ σοφίᾳ αὐτοῦ. Ἀθ. εἶπεν· Χριστὸς δὲ Θεοῦ δύναμις καὶ σοφία τυγχάνει κατὰ τὸν μακάριον Παῦλον, ναὶ ἢ οὔ; Ἄρ. εἶπεν· Ὁμολογουμένως Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.[2] Ἀθ. εἶπεν· Ἡ σοφία οὖν μὴ ἀλλαχόθεν σοφίζεται; Ἄρ. εἶπεν· Μὴ γένοιτο! Ἀθ. εἶπεν· Οὐκοῦν ἀφ' ἑαυτῆς πάντα ὡς σοφία πράττει; Ἄρ. εἶπεν· Οὕτως ἔχει. Οὐκοῦν ὁ Πατὴρ οὐδὲν ἐδημιούργησεν; Ἀθ. εἶπεν· Ἄκουε, καὶ μὴ προπετῶς λάλει, ἃ μὴ θέμις μήτε λέγειν, μήτε ἀκούειν, ὡς μὴ δυναμένου τινὸς μετατρέψαι τὰ τοιαῦτα. Πλὴν ἐπὶ τοῦ παρόντος δός μοι λόγον περὶ οὗ ἐπερωτῶ. Ὁ δυνατὸς πῶς αὐτουργεῖ; Ἄρ. εἶπεν· Ἐν τῇ δυνάμει αὐτοῦ τὸ πᾶν πράττει. Ἀθ. εἶπεν· Χριστὸς δὲ ἀραρότως Θεοῦ δύναμις ὑπάρχει; Ἄρ. εἶπεν· Ὡμολόγηται. Ἀθ. εἶπεν· Οὐκοῦν Χριστοῦ δυνάμεως ὄντος τοῦ Θεοῦ, ἅπερ δημιουργεῖ ἡ δύναμις, τουτέστιν ὁ Χριστός, ταῦτα ποιεῖ ὁ Πατήρ.

9. Ἄρ. εἶπεν· Πῶς ἅπερ δημιουργεῖ ὁ Χριστός, ταῦτα δημιουργεῖ ὁ Θεός; Ἀθ. εἶπεν· Ἡ δύναμις ἀπὸ τοῦ δυνατοῦ κεχώρισται; Ἄρ. εἶπεν· Μὴ γένοιτο! Τίς γάρ ποτε ἑώρακεν ἀγωνιστὴν πάλῃ ἰδίως ἀνδριζόμενον, καταμόνας δὲ τὴν δύναμιν αὐτοῦ; Εἰ γὰρ ἦν τοῦτο, ἐπ' ἀμφοτέρους ἂν ἐκομίσθη τὰ βραβεῖα, ἤτοι οἱ στέφανοι. Ἀθ. εἶπεν· Ὀρθῶς ἔφης. Εἰ οὖν ἐπ' ἀνθρώπου τοῦτο ἔδωκας, μήτε δύναμιν κεχωρισμένως τι πράττειν, μήτε μὴν τὸ σῶμα ἑτέρως ἐνεργεῖν τι, οὐκοῦν ὁ Χριστός, δύναμις ὢν πατρική, ἀχωρίστως πάντα, ἃ πράττει ὁ Πατήρ, πράττει ταῦτα καὶ αὐτός. Ἄρ. εἶπεν· Ἔστω οὕτω, τὸ ἀχωρίστως δημιουργεῖν τὸν Υἱὸν σὺν τῷ Θεῷ τὸ πᾶν· μήτι δύναται καὶ ἴσος εἶναι τῷ Θεῷ, καθὼς σὺ ἤκουσας τοῦ Σωτῆρος λέγοντος· «Ὁ Πατήρ μου, ὁ πέμψας με, μείζων μου ἐστίν;» Ἀθ. εἶπεν· Ἐρωτήσω σε· σὺ δὲ ἀποκρίθητί μοι· Ὁ Σωτήρ μου μὴ ἐναντία ἐφθέγξατο ἑαυτῷ; Ἄρ. εἶπεν· Μὴ γένοιτο! πανταχοῦ γὰρ σύμφωνος ἑαυ-

1. Πρβλ. Ἰω. 5, 19. 2. Πρβλ. Α' Κορ. 1, 24.

τῷ τυγχάνει ὁ Υἱὸς τοῦ Θεοῦ. Ἀθ. εἶπεν· Πῶς οὖν ὁ Κύριος ἐν ἄλλῳ τόπῳ φάσκει, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν;[1]» Ἄρ. εἶπεν· Σὺ Σαβέλλιος εἶ. Ἀθ. εἶπεν· Διὰ τί εἰμι Σαβέλλιος; Ἄρ. εἶπεν· Ἐπειδὴ εἶπας, Ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἕν ἐστιν. Ἀθ. εἶπεν· Μὴ καταψεύδου μου· οὐ γὰρ οὕτω φημί, ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἕν ἐστιν, ἀλλ' ὅτι ὁ Κύριος ἔφη· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.» Ἄρ. εἶπεν· Αὕτη ἡ αἵρεσις Σαβελλίου ἐστίν. Ἀθ. εἶπεν· Οὐκοῦν ὁ Κύριος ὁ εἰρηκώς, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν», Σαβέλλιος ἦν; Οὐ πάντες οἱ Χριστιανοὶ Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ οἴδαμεν; σὺ δὲ Σαβέλλιον καὶ διδάσκαλον αἱρέσεως αὐτὸν φῄς; Ἄρ. εἶπε· Μὴ γένοιτό μοι τοῦτο φρονῆσαι! ὁ γὰρ Σωτὴρ εἶπε περὶ συμφωνίας, ὅτι «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.» Ἀθ. εἶπεν· ἕνεκεν τίνος ἔλεξε τοιάδε ὁ Κύριος; τί θέλων παραστῆσαι; τὴν συμφωνίαν κατὰ σέ, ἢ τὴν θεότητα κατὰ τὸν ὀρθὸν λόγον; Εἰ μὲν γὰρ τὴν συμφωνίαν κατὰ σέ, ἄρα μάρτυρας κατεσκεύαζε κατὰ τοῦ Πατρός, μὴ ἄρα ἀθέτησις αὐτῷ γένηται ὑπὸ τοῦ Πατρός· εἰ δὲ τοῦθ' οὕτως ἔχει, ὁ Υἱὸς κατηγορεῖ τοῦ Πατρὸς κατὰ σέ, ὡς ἀγνώμονος, καὶ μὴ μένοντος ἐν ταῖς συνθήκαις τῆς συμφωνίας τοῦ Πατρός. Εἰ δὲ καὶ τοῦθ' οὕτως ἔχει, λοιπὸν νόησον ποῦ σε ἀπάγει τὸ σὸν φρόνημα.

10. Ἄρ. εἶπεν· Ἀλλὰ τί θέλεις ἵνα εἴπωμεν, ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἕν ἐστιν; Ἀθ. εἶπεν· Ὁ Κύριος Ἰησοῦς οὐκ εἶπεν, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν εἰμι·» ἀλλ' ἔφησεν, «ἕν ἐσμεν», καὶ τὴν δυάδα τελείαν παρέστησεν ἐν τῷ λέξαι, «ἕν ἐσμεν.» Τὸ δέ, «ἕν», τὸ τῆς οὐσίας ἐσήμανε· σὺ δέ, μὴ νοήσας, εἰς ἀτοπίας ἐχώρησας. Ἄρ. εἶπεν· Ὁ Κύριος οὐκ εἶπεν. «Ὁ Πατήρ, ὁ πέμψας με, μείζων μου ἐστίν;» Ἀθ. εἶπεν· Σωτὴρ οὐκ εἶπεν· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν», καὶ πάλιν· «Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα;[2]» Ἀλλὰ μὴν καὶ ὁ Ἀπόστολος τὴν ἰσότητα τοῦ Υἱοῦ, ἣν ἔχει πρὸς τὸν ἑαυτοῦ Πατέρα, σαφῶς ἐδήλωσε, λέγων· «Ὅς, ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσεν.[3]» Ὁρᾷς, ὅτι ἴσος ἐστὶν ὁ Υἱὸς τοῦ ἰδίου Πατρός, καὶ οὐ μικρότερος; Ἄρ. εἶπεν· Ἀσυμφωνία πολλή μοι καταφαίνεται τῶν Γραφῶν ἐπὶ τοῦ παρόντος· Ἀθ. εἶπεν· Μή γένοιτο ἵνα ἄνθρωπος κατείπῃ τῶν θείων καὶ θεοπνεύστων Γραφῶν, ὡς οὐ μετὰ συμφωνίας ταῦτα πάντα φθεγγομένων! Ζυγὸς γὰρ ὥσπερ δίκαιος, οὕτω συμφωνοῦσι πρὸς ἑαυτὰς πᾶσαι αἱ Γραφαί. Ἄρ. εἶπεν· Πῶς συμφωνοῦσιν; Ὁ Σωτὴρ ἔφη· «Ὁ Πατὴρ ὁ πέμψας με, μείζων μου ἐστί·» πάλιν ὁ αὐτὸς λέγει· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·» καὶ ἑτέρως· «Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα·» δι' οὗ σημαίνει τὴν ἀπαράλλακτον αὐτοῦ ἰδέαν, ἣν ἔχει πρὸς τὸν ἑαυτοῦ Πατέρα· ὡς καὶ ὁ Παῦλός φησι ἴσον τὸν Υἱὸν τοῦ ἰδίου Πατρὸς τυγχάνειν. Ἀθ. εἶπεν· Ἄνθρωπε, ἄκουε καὶ σύνες, ὅτι οὐκ ἀπέζευ-

1. Ἰω. 10, 30. 2. Ἰω. 14, 9. 3. Φιλιπ. 2, 7.

κται ἐκεῖνο τὸ κεφάλαιον, τὸ φάσκον· «Ὁ Πατήρ μου, ὁ πέμψας με, μείζων μου ἐστί», τῶν λοιπῶν κεφαλαίων. Ἄρ. εἶπεν· Ἐὰν τοῦτο ἀποδείξῃς, ὅπερ ἀνεγχώρητόν ἐστι, τάχα κἀμὲ ποιήσεις τῷ σῷ φρονήματι ἐπακολουθῆσαι.

11. Ἀθ. εἶπεν· Ὁ τοῦ Θεοῦ Υἱὸς Θεός ἐστιν, ἢ οὔ; Ἄρ. εἶπεν· Θεὸς κτισθεὶς ὑπὸ Θεοῦ. Ἀθ. εἶπεν· Ὡς θέλεις, ἀποκρίθητί μου περὶ οὗ ἐρωτῶ. Ὁ τοῦ Θεοῦ Υἱὸς πάντα ἐποίησεν, ναί, ἢ οὔ; Ἄρ. εἶπεν· Προαποδέδοται, ὅτι πάντα ἐποίησεν, ὡς δύναμις καὶ σοφία τυγχάνων Θεοῦ. Ἀθ. εἶπεν· Οὐκοῦν πάντα περιέχει τὰ ὑπ' αὐτοῦ ποιηθέντα, ἤτοι ὁρατὰ ἤτοι ἀόρατα ὁ τοῦ Θεοῦ Υἱός. Ἄρ. ἔφη· Οὕτως ἔχει. Ἀθ. εἶπεν· Πανταχοῦ οὖν πάρεστι τῇ οὐσίᾳ τῆς μεγαλοσύνης αὐτοῦ. Ἐὰν εἴπῃς, ὅτι οὐ πάρεστι πανταχοῦ, ἄρα μείζονα ἐρεῖς τὰ γενόμενα τοῦ δημιουργοῦ. Ἄρ. εἶπεν· Πάρεστι πανταχοῦ· Ἀθ. εἶπεν· Εἰ οὖν παρὼν τυγχάνει πανταχοῦ ὁ τοῦ Θεοῦ Λόγος, πῶς λέγεις τό, «Ὁ Πατήρ μου ὁ πέμψας με, μείζων μου ἐστίν», ἀπόδος μοι τὸν λόγον. Ἄρ. εἶπεν· Ἀπορῶ περὶ τούτου, ἀλλ' ἀξιῶ, φράσον μοι, τίνι λόγῳ εἶπεν ὁ Σωτὴρ μείζονα ἑαυτοῦ τὸν Πατέρα; Ἀθ. εἶπεν· Ἐὰν μὴ πρότερόν μοι εἴπῃς, ὃ ἐπερωτῶ, οὐ μή σοι εἴπω, ὅπερ θέλεις. Ἄρ. εἶπεν· Λέγε, ὃ βούλει. Ἀθ. εἶπεν· Οἱ ἄγγελοι ἀσώματοι τυγχάνουσιν, ἢ ἄνθρωποι; Ἄρ. εἶπεν· Ἄνθρωποι ἐν σώματι τυγχάνουσιν, ἄγγελοι δὲ πνεύματα ὄντες, ἀσώματοί εἰσιν. Ἀθ. εἶπεν· Τίνες οὖν κοπιῶσιν ἄνθρωποι, ἢ ἄγγελοι; Ἄρ. εἶπεν· Ἄγγελοι ἀσώματοι τυγχάνουσι, πρὸς τὸ διακονοῦντας αὐτῷ καμάτου πεῖραν μὴ λαβεῖν· ἀνθρώπῳ δὲ τῷ κάμνειν ἴδιον, διὰ τὴν τοῦ σώματος βαρεῖαν ὁλκήν. Ἀθ. εἶπεν· Ὁ οὖν Κύριος πῶς ἐκοπίασε; γέγραπται γάρ, «Ἰησοῦς δὲ κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέζετο.[1]» Ἄρ. εἶπεν· Συνήγαγές με, ὡς ἠθέλησας ἐκ τοῦ παραδείγματος τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων, οὐχ ὡς Θεὸς Λόγος ἐκοπίασεν, ἀλλ' ἵνα φανῇ, ὅτι σάρκα, ἣν οὐκ εἶχε πρότερον ὁ Λόγος καὶ Θεός, ταύτην ἀνέλαβε· διὰ τοῦτο τῇ σαρκὶ συνεχώρησε πάσχειν τὰ ἴδια, ἵνα φανῇ ὅτι σάρξ ἐστιν.

12. Ἀθ. εἶπεν· Μέμνησο, ὅτι προωμολόγηται, ὅτι πανταχοῦ πάρεστιν ὁ Λόγος, καὶ Θεός. Ἄρ. εἶπεν· Ἀραρότως. Ἀθ. εἶπεν· Εἰ οὖν πανταχοῦ πάρεστιν, τίνος ἕνεκεν ἔφασκεν, «Ὁ Πατήρ μου ὁ πέμψας με, μείζων μου ἐστίν;» Ἄρ. εἶπεν· Παρακαλῶ σε, μὴ ὀκνήσῃς ἀποκαλῦψαι τὸ κάλυμμα ἀπὸ τοῦ γράμματος ἐν τάχει. Λίαν γὰρ ἀνιῶμαι. Ἀθ. εἶπεν· Τίς ἐστιν ὁ κεκοπιακώς, ἄνθρωπος, ἢ ὁ Θεὸς Λόγος; Ἄρ. εἶπεν· Ἄνθρωπος. Ἀθ. εἶπεν· Οὐκοῦν σόν ἐστι τὸ νοῆσαι λοιπόν. Ἄρ. εἶπεν· Κατελαβόμην σου τὸν νοῦν ἐν τῷ λόγῳ τούτῳ, ὅτι τοῦ Θεοῦ Λόγου πανταχοῦ παρόντος, δῆλον ὅτι διὰ τὴν σάρκα εἶπεν, «Ὁ πατήρ μου, ὁ πέμψας με, μείζων μου ἐστίν», τὴν βαδί-

1. Ἰω. 4, 6.

ζουσαν καὶ κοπιῶσαν, καὶ ἀπὸ τόπου εἰς τόπον ἕτερον πορευομένην. ᾿Αληθῶς ὀρθῶς ἔχει τοῦτο.

13. ᾿Αθ. εἶπεν· Λοιπὸν λάβε μοι ἐν νῷ τὸ ῥητόν, ὅπερ ἔφης, ὅτι ὁ Θεὸς Λόγος ἐκτίσθη. Πόθεν λάβωμεν τὴν ἀρχήν; Οὐ τολμῶ οὕτως ἀφόβως φθέγγεσθαι κατὰ τῆς ἀιδίου θεότητος τοῦ Υἱοῦ αὐτοῦ. Ἄρ. εἶπεν· ᾿Εγὼ μὲν ἀπὸ τῶν Γραφῶν τοῦτο λέγω· σὺ δὲ πόθεν ἀίδιον λέγεις τὸν Υἱόν; ᾿Αθ. εἶπεν· ᾿Απὸ τῶν θεοπνεύστων Γραφῶν ἔμαθον, ὅτι ἀίδιός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ. Ἄρ. εἶπεν· Ποῖαί εἰσιν αἱ Γραφαί, αἱ φάσκουσαι ἀίδιον τὸν Υἱόν; ᾿Αθ. εἶπεν· ᾿Ελθὼν ὁ ἀοίδιμος Παῦλος μαρτυρήσει τῇ ἀληθείᾳ· «Τὰ γὰρ ἀόρατα αὐτοῦ», φησίν, «ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀίδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους, διότι γνόντες τὸν Θεόν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἢ ηὐχαρίστησαν.[1]» Ἄρ. εἶπεν· Περὶ τοῦ Πατρὸς λέγει τοῦτο ἡ Γραφή. ᾿Αθ. εἶπεν· Οὐκοῦν ὁ μακάριος ἀπόστολος Παῦλος αἰτιᾶται τοὺς τὸν διὰ σώματος ἐπιφανέντα Θεὸν Υἱὸν Θεοῦ μὴ ἐπεγνωκότας ἀίδιον θεότητα αὐτοῦ, τοῦ τὸ πᾶν διακοσμήσαντος; «ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως[2]» δεῖ τὸν δημιουργὸν γνωρισθέντα εὐχαριστηθῆναι. Φανερὸν δέ ἐστιν ὅτι πάντα διὰ τοῦ Λόγου τὰ γεγενημένα γέγονε, καὶ χωρὶς αὐτοῦ γέγονεν οὐδὲ ἕν· ἔδει οὖν καὶ σὲ ἐκ τῆς τῶν στοιχείων ἐναρέτου συμπήξεως ἀναλογίσασθαι τὸν δημιουργὸν ἀναλόγως, καὶ σαυτοῦ ἐπιγνώμονα γενέσθαι, ὅτι ἀιδίου Θεοῦ τυγχάνει ἔργον ὁ κόσμος, οὐ κτιστῆς δὲ φύσεως, μὴ δυναμένης ἐπαρκέσαι τοσαῦτα δρᾶν.

14. Ἄρ. εἶπεν· Ἔστω ἀίδιος ὁ Υἱός, ἀλλὰ καὶ ἀιδίως κτισθεὶς ἔχει τὸ ἀίδιον. ᾿Αθ. εἶπεν· Εἰ ἀίδιός ἐστιν ὁ Υἱός, οὐκ ἦν κτίσμα· εἰ δὲ κτίσμα τυγχάνει, οὐκ ἦν ἀίδιος. Ἄρ. εἶπεν· Μὴ γὰρ ἐγὼ ἐξ οἰκείας αὐθεντίας ταῦτά φημι· ὁ Υἱὸς εἶπεν, ὅτι πρῶτον πάντων ἔκτισεν αὐτὸν ὁ Θεός. ᾿Αθ. εἶπεν· Τοῦτό σοι μόνῳ ἀπεκαλύφθη, ἢ καὶ ἄλλοις τὸ περὶ τοῦ Υἱοῦ Θεοῦ μυστήριον; Ἄρ. εἶπεν· «Οὐ πάντων ἡ πίστις·[3]» πλὴν οὐκ ἐμοὶ μόνῳ, ἀλλὰ καὶ ἑτέροις πολλοῖς ἐγνωρίσθη ἡ πίστις αὕτη. ᾿Αθ. εἶπεν· Πόθεν ὑμῖν ἀπεκαλύφθη, ἐκ Θεοῦ, ἢ ἐξ ἀνθρώπων; Ἄρ. εἶπεν· ᾿Εκ Θεοῦ. ᾿Αθ. εἶπεν· Σὺ αὐτήκοος γέγονας, ἢ ἄλλοι σοι ὑφηγήσαντο περὶ τούτου; Ἄρ. εἶπεν· Οὐκ ἐμοὶ ὑφηγήσαντο, ἀλλὰ πολλοὶ ἅγιοι, ἐν Πνεύματι Θεοῦ λαλοῦντες, ἔφησαν ὅτι ἐκτίσθη ὁ Υἱός. ᾿Αθ. εἶπε· Τίνες εἰσὶν οὗτοι; Οὐ δυνάμεθα γνῶναι καὶ ἡμεῖς; Ἄρ. εἶπεν· Οἶσθα καὶ αὐτός, ὅτι καὶ οἱ προφῆται, καὶ οἱ ἀπόστολοι ἐλάλησαν πολλαχοῦ τὸν Υἱὸν κτίσμα εἶναι. ᾿Αθ. εἶπεν· Ἤκουσά σου λέγοντος πρὸ βραχείας ὥρας, ὅτι ὁ Υἱὸς εἶπεν. Ἄρτι μετέβης εἰς τοὺς προφήτας καὶ ἀποστόλους. Πλὴν ὑφήγησαι ποῖος προφήτης ἔλεξε τοιάδε περὶ τούτου; Ἄρ. εἶπε· Καὶ νῦν φημι τὸν Υἱὸν λέγειν διὰ τῶν ἁγίων προφητῶν καὶ ἀποστόλων ὥσπερ καὶ διὰ

1. Ῥωμ. 1, 20. 2. Σοφ. Σολ. 13, 5. 3. Α' Θεσσ. 3, 2.

τοῦ Σολομὼν ἔφη· «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.[1]» Ὁρᾷς, ὅτι πρὸ πάντων ἔκτισεν αὐτὸν ὁ Θεὸς διὰ τὰ δι' αὐτοῦ μέλλοντα γίνεσθαι ἔργα. Ἀθ. εἶπεν· Οὐκοῦν ἡ τῶν κτισμάτων πρόφασις αἰτία γέγονε τοῦ κτισθῆναι τὸν Υἱὸν κατὰ σέ. Ἄρ. εἶπεν· Οὕτως ἔχει. Ἀθ. εἶπεν· Ἄρα οὖν τοῦ Θεοῦ ἐντιμότερα τὰ κτιζόμενα παρ' αὐτοῦ; Πῶς χωρεῖ; Εἰ γὰρ ἐκεῖνος διὰ ταῦτα γέγονε, καὶ οὐκ ἐκεῖνα διὰ τοῦτον, κατὰ σέ, ἀραρότως ἐντιμότερα ταῦτα ἐκείνου· ἀλλὰ μὴ γένοιτο οὕτως ἡμᾶς φρονῆσαι! Διὰ γὰρ τὸν Υἱὸν τὰ πάντα, καθὼς γέγραπται· «Ἔπρεπε γάρ», φησὶν ὁ Ἀπόστολος, «δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.[2]»

15. Ἄρ. εἶπε· Σύγγνωθί μοι εἰρηκότι, ὅτι διὰ τὰ ἔργα ἐκτίσθη ὁ Υἱός, πλὴν ὅτι ἐκτίσθη πρὸ πάντων. Ἀθ. εἶπε· Τίς ἐκτίσθη πρὸ πάντων τῶν δημιουργημάτων; Ἄρ. εἶπεν· Ὁ Υἱός, διὰ τοῦτο καὶ πρωτότοκος ἀναγέγραπται. Ἀθ. εἶπεν· Εἴ τις τὸν Σατανᾶν προσκυνεῖ, καλῶς ἢ κακῶς πράττει; Ἄρ. εἶπεν· Ἀσεβὴς καὶ ἄθεος, καὶ μηδὲ τὰς κοινὰς φρένας σῴζων τυγχάνει ὁ τοιοῦτος, ὃν οὐκ ἄξιον καλεῖν ἄνθρωπον, ἀλλ' ἀπάνθρωπον. Ἀθ. εἶπεν· Ὁ Θεὸς τῷ Ἰὼβ χρηματίζων, οὕτως ἔφη περὶ τοῦ Σατανᾶ, τουτέστιν· «Ἀρχὴ πλάσματος Κυρίου πεποιημένη ἐμπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων μου.[3]» Σὺ οὖν τὸ πρῶτον ποίημα προσκυνῶν, τὸν Σατανᾶν προσκυνεῖς, καθὼς παρέστησεν ὁ λόγος. Ἐὰν δὲ σοφίσασθαι θελήσειας, ὅτι τοῦ Υἱοῦ πρότερον ποίημά ἐστιν ὁ Σατανᾶς, ἄρα πρεσβύτερον αὐτὸν φῂς τοῦ ἁγίου Πνεύματος; οὕτω γὰρ ὡρίσω, τὸν μὲν Υἱὸν ὑπὸ τοῦ Θεοῦ ἐκτίσθαι· τὸ δὲ Πνεῦμα ὑπὸ τοῦ Υἱοῦ γεγενῆσθαι διεβεβαιώσω. Ἄρ. εἶπεν. Ἡ ἀλήθειά με περιγράφει, καὶ οὐ σύ. Πλὴν ἐπειδὴ συνήγαγές με ἐν τούτῳ, κἀγώ σε περικλείσω ἐν ταῖς πολλαῖς μαρτυρίαις, ταῖς φασκούσαις ὅτι κτίσμα ἐστὶν ὁ Υἱός. Ἀθ. εἶπε· Πρόφερε ἐκ τοῦ θησαυροῦ τὰ ἀποτεθησαυρισμένα ὑπὸ τοῦ πατρός σου. Ἄρ. εἶπεν· Ἐμὸς πατήρ ἐστιν, ὃν προσκυνῶ Θεόν· πλὴν σὺ ἀποκρίθητί μοι περὶ τοῦ, «Κύπιος ἔκτισέ με», τοῦ Κυρίου ὁμολογήσαντος ἑαυτὸν ἐκτίσθαι ὑπὸ τοῦ ἰδίου Πατρός. Ἀθ. εἶπε· Τὸ ῥητὸν ἄλλην δύναμιν ἔχει πνευματικὴν ἔνδον, καὶ θεῖον θησαυρὸν ἐναποτεθειμένον κέκτηται. Ἄρ. εἶπεν· Οὐκ ἐπὶ τοῦ ῥητοῦ μόνον ἵστημι τὴν φωνὴν τοῦ Σολομῶντος· οὐ γὰρ ἀσύνετός εἰμι, ἀλλὰ συνίημι, ὅτι πνευματικὸν νόημα θεωρεῖται ἀπὸ τῶν ἐπιστημόνων· Ὅθεν κἀγὼ οὐκ ἄμοιρος ὢν τῆς μυήσεως, οὕτω φημί, τὸ μέν, «Κύριος ἔκτισέ με» κατὰ τὸ ῥητόν, τὴν δὲ ἐν αὐτῷ δύναμιν, μειζοτέραν ὁρῶ ἣν ἔχει, ἣν σὺ μὴ νοήσας, ἀγνοίᾳ κατεχόμενος, πλανᾶσαι, ἀνδρὸς δὲ κακοῦ ἴδιον τὸ φθονεῖν τοῖς κρείττοσιν. Ἀθ. εἶπεν· Ἃ οὖν φρονεῖς, φράσον κἀμοὶ ἀφθόνως, ὅπερ δοκεῖ σοι καλὸν φαίνεσθαι.

---

1. Παρμ. 8, 22. 2. Ἑβρ. 2, 10. 3. Ἰὼβ 40, 19.

16. Ἄρ. εἶπε. Τὸ γάρ, «Κύριος ἔκτισέ με», ἐπὶ τοῦ «ἐγέννησέ με», καταλαμβάνω. Ἀθ. εἶπεν· Εἰ οὖν ἐγεννήθη ὁ Υἱός, δηλαδὴ οὐκ ἐκτίσθη· εἰ δὲ ἐκτίσθη, οὐκ ἐγεννήθη. Ἄρ. εἶπε· Σὺ οὐ νοεῖς τὴν δύναμιν ταύτην. Ἀθ. εἶπε· Μὴ ὀκνήσῃς ἀνέχεσθαί μου, ἕως νοήσω, παρακαλῶ. Ἄρ. εἶπεν· Ἵνα μὴ πάθος νοηθείη, εἶπεν, «Ἔκτισέ με Κύριος·» ἐπὶ Θεοῦ οὖν τὸ κτίζειν τῷ γεννᾶν ταὐτόν ἐστιν. Ἀθ. εἶπεν· Εἰ οὖν ἐπὶ Θεοῦ τὸ κτίζειν καὶ γεννᾶν ταὐτόν ἐστιν, οὐκοῦν πάντα τὰ κτίσματα γεννήματα τοῦ Θεοῦ ὑπάρχουσιν. Εἰ δὲ ταῦτα οὕτως ἔχει, ἄρα πάντων ἀδελφὸς τυγχάνει ὁ Κύριος, κατὰ σέ, τῶν δι' αὐτοῦ γεγονότων. Ποῦ οὖν ὁ Μονογενὴς τοῦ Θεοῦ; Ἄρ. εἶπε· Τὸ μονογενὲς τάττεται ἐπὶ ἐξαιρέτῳ καὶ ἐξοχωτάτῳ καὶ μεγίστῳ πράγματι. Ἀθ. εἶπεν· Οὐ δοκεῖ σοι μέγιστος εἶναι ὁ οὐρανός; Ἄρ. εἶπε· Καὶ πάνυ. Ἀθ. εἶπεν· Οὐκοῦν ὁ Υἱός ἐστι κατὰ σέ, καὶ ἡ γῆ δὲ καὶ ἡ θάλασσα θυγατέρες κατὰ σέ. Ἄρ. εἶπε· Μὴ γένοιτο! ἕνα ἐποίσεν ὁ Θεὸς Υἱὸν μόνον. Ἀθ. εἶπε· Δοκεῖ σοι πάντα τῷ αὐτῷ ὅρῳ τῆς γεννήσεως μονογενῆ τυγχάνειν, ναὶ ἢ οὔ; Ἄρ. εἶπεν· Οὕτως ἔχει. Ἀθ. εἶπεν· Οὐκοῦν εἰ ἐποιήθη ὡς καὶ τὰ λοιπὰ δημιουργήματα ὁ Υἱός, πῶς Υἱός ἐστι τοῦ Θεοῦ; Ἄρ. εἶπε· Παρακαλῶ σε, σὺ πῶς νοεῖς τό, «Κύριος ἔκτισέ με;»

17. Ἀθ. εἶπε· Πέπεισο οὐκ ἄν σοι ἀπεκρινάμην· ἀλλὰ διὰ τοὺς ἀκροωμένους ἐρῶ. Σολομών, δίκαιος ὤν, καὶ σοφίας πληρωθείς, κατηξιώθη ἐν παραβολῇ προσημᾶναι τὴν κτίσιν τοῦ ναοῦ, τουτέστι τοῦ σώματος τοῦ Κυρίου Ἰησοῦ, ὡς αὐτὸς ὁ Κύριός φησι τοῖς Ἰουδαίοις· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.[1]» Τοῦτο δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ», ὥς φησιν ὁ Ἰωάννης. Ἀλλὰ μὴν καὶ Σολομὼν παρρησιέστερον ἔφη περὶ αὐτῶν τούτων διαλαβὼν οὕτως· «Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν· ἀπέστειλε τοὺς ἑαυτῆς δούλους συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα· «Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός μέ», καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπε· «Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν· ἀπολίπετε ἀφροσύνην, ἵνα ζήσητε.[2]» Ἀραρότως ἡ σοφία Θεὸς Λόγος τυγχάνει, ὁ διὰ τὴν ἄρρητον αὐτοῦ καὶ τοῦ Πατρὸς αὐτοῦ φιλανθρωπίαν πτωχεύσας πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν, ἐν μορφῇ Θεοῦ ὑπάρχων, ἐν μορφῇ δούλου γέγονεν, ἴσος δὲ ὢν τοῦ ἰδίου Πατρός, ὡς δοῦλος καὶ σύνδουλος συνανεστράφη ἡμῖν, τέλειος ὢν ἐν θεότητι, καὶ τέλειος ἐν ἀνθρωπότητι. Οὗτος οὖν ὁ Λόγος καὶ Θεός, σοφία καὶ δύναμις πατρικὴ ὑπάρχων, ἀσώματος ὤν, ὥσπερ ὁ Θεὸς καὶ Πατὴρ αὐτοῦ, διὰ τὴν ἡμετέραν σωτηρίαν ᾠκοδόμησε τὸ σῶμα ἐν τῇ γαστρὶ Μαρίας τῆς Θεοτόκου, ἄνευ

1. Ἰω. 2, 19. 2. Παρμ. 9, 1-6.

κοινωνίας ἀνδρός, καὶ γέγονεν, ὡς ἔφην, ἄνθρωπος, καὶ ἑαυτὸν ἐποίησεν ὑπόδειγμα πάσης ἀρετῆς· ἵνα οἱ βουλόμενοι ἐξακολουθεῖν ὡς διὰ τρίβου ἔχωσι θείας ἐκτύπωμα, πρὸς ὃ ὁμοιούμενοι, γίνονται θείας φύσεως κοινωνοί, ὥς φησι τὸ Σκεῦος τῆς ἐκλογῆς· «Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Ἰησοῦ Χριστοῦ.[1]» Μετὰ οὖν τὸ πάθος αὐτοῦ καὶ τὴν ἀνάστασιν ἀπέστειλεν ἡ σοφία, ἡ δύναμις, ὁ Λόγος καὶ Θεός, τοὺς ἀποστόλους πρὸς πάντας τοὺς ἄφρονας, τοὺς ἀσυνέτους ἐθνικούς, τοὺς μὴ εἰδότας Θεόν, προτεθεικὼς τράπεζαν, τουτέστι τὸ ἅγιον θυσιαστήριον, καὶ ἐπ' αὐτῷ ἄρτον οὐράνιον καὶ ἄφθαρτον, καὶ πᾶσι ζωὴν χαριζόμενον τοῖς μεταλαμβάνουσιν ἐξ αὐτοῦ, τὸ ἅγιον καὶ πανάγιον αὐτοῦ σῶμα, οἶνόν τε εὐφραίνοντα καρδίαν, καὶ νῆψιν ἐμποιοῦντα ἐν τῇ ἑκάστου ψυχῇ τῶν ἀπογευομένων ἐξ αὐτοῦ, ὡς ἐπὶ κρατῆρα κεράσας τὸ ἑαυτοῦ αἷμα, καλέσας τοὺς κλητούς τε καὶ ἐκλεκτοὺς διὰ τῶν ἀποστλων αὐτοῦ, πᾶσαν μὲν ἀφροσύνην ἀπολιμπάνοντας, βασιλείας δὲ οὐρανῶν πολίτας ἀναδεικνυμένους, τοὺς ὑπακούοντας τῆς φωνῆς αὐτοῦ.

18. Ἄρ. εἶπεν· Ἐπειδὴ εἰς τὸ σῶμα συνήγαγες τὸ «Κύριος ἔκτισέ με», καλῶς, κἀγὼ συντίθεμαί σοι διὰ τῆς ἐγγράφου μαρτυρίας. Λοιπὸν καὶ σὺ ὀρθοπόδησον πρὸς τὴν ἀλήθειαν, καὶ μὴ ἄλλως ποίει. Ἀθ. εἶπε· Τί θέλεις ποιήσω; Ὅπερ ἐστὶ τῇ ἀληθείᾳ φίλον, κἀγὼ συντίθεμαι. Ἄρ. εἶπε· Μαρτυρίαν σοι παρέξω, ἣν οὐ δυνήσῃ ἀλληγορῆσαι· φανερὰ γάρ ἐστιν, ὅτι περὶ οὐσιώσεως τοῦ Λόγου φάσκει, ὡς ἐποιήθη ὑπὸ τοῦ Πατρός. Ἀθ. εἶπεν· Ἐάν μοι δῷς ἐκ τῶν θεοπνεύστων Γραφῶν μαρτυρίαν περὶ ὧν διαβεβαιοῦσαι, οὐκ ἀμνημονῶ· μόνον πρόσεχε, μὴ ἐγράψατε ἄρτι ὑμεῖς πρὸς τὸ ὑμέτερον βούλημα, καὶ οὐκ ἀνέχομαι τὰ ὑφ' ὑμῶν λεγόμενα. Ἄρ. εἶπε· Μὴ κατάλεγε ἡμῶν ὡς μὴ φοβούμενον τὸν Θεόν. Ἀποστόλου ἐστὶ φωνή, ἣν εἶπον προσφέρειν. Ἀθ. εἶπε· Λέξον ἐξ αὐτῆς. Ἄρ. εἶπεν· Ὁ ἐπιφανέστατος τῶν ἀποστόλων Πέτρος, διαμαρτυρόμενος περὶ τοῦ προκειμένου τῷ Ἰσραήλ, οὕτως ἔφη· «Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς ὁ οἶκος Ἰσραὴλ ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε.[2]» Μήτιγε ἡμεῖς διεχαράξαμεν τὴν φωνὴν ταύτην; Ἀθ. εἶπεν· Οὐχ ὑμεῖς ἐχαράξατε αὐτήν, ἀλλὰ παρεχαράξατε. Ἄρ. εἶπεν· Ἐθεώρησας περιγραφόμενον σεαυτόν, καὶ εἰς ὕβρεις ἐτράπης. Μᾶλλον δέ, εἰ δύνασαι, λέγε πρὸς ταῦτα, ἢ αὐτομόλησον πρὸς τὴν ἀλήθειαν. Ἀθ. εἶπεν· Ἀνάγνωθι τὸ κεφάλαιον ὅλον. Ἄρ. εἶπεν· «Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ἐποίησεν ὁ Θεός.» Ἀθ. εἶπε· Μὴ ἀκρωτηρίαζε τὰ ῥήματα τῆς Γραφῆς. Καὶ γὰρ τὸ σῶμα ὡς παρὰ τὴν ἀρχὴν ἐπλάσθη, ἐὰν μείνῃ, εὔμορφον τυγχάνει· ἐὰν δὲ παρὰ μέλος γένηται, τουτέστι χεῖρα, ἢ πόδα, ἢ δάκτυλον ἄσχημον δείκνυται. Εἶπον οὖν καὶ τὰ ἑπόμενα τῶν Γρα-

1. Α' Κορ. 11, 1. 2. Πράξ. 2, 36.

φῶν. Ἄρ. εἶπε· Τουτέστι, «Τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε.»

19. Ἀθ. εἶπε· Τίς ἐστιν ὁ σταυρωθείς, ὁ Λόγος Θεός, ἢ τὸ σῶμα ὅπερ ὁ Λόγος Θεὸς ἐκ Μαρίας τῆς παρθένου ἔλαβεν; Ἄρ. εἶπε· Σὺ τὸν Λόγον οὐχ ὁμολογεῖς ἐσταυρῶσθαι; Ἀθ. εἶπεν· Ἐγὼ τὸν Θεὸν Λόγον ὁμολογῶ, ἄνθρωπον γενόμενον, ἐσταυρῶσθαι σαρκί. Ἄρ. εἶπε· Τί ἐστι σαρκί; οὐχ ὁ Λόγος ἔπαθεν; Ἀθ. εἶπε· Σὺ τί φρονεῖς ὁμολόγησον ἐν πρώτοις. Ἄρ. εἶπε· Κἂν μὴ σὺ λέγῃς, ἐγώ φημι, ὁ Λόγος συγκαθηλώθη, καὶ συνέπαθε τῇ σαρκί. Ἀθ. εἶπε· Διὰ παραβολῆς χρὴ παραστῆσαι τὴν ἀπόδειξιν, εἰ πέπονθεν ὁ Λόγος καὶ Θεός. Ἄρ. εἶπε· Λέγε ὃ βούλει. Ἀθαν. εἶπε· Σταυρῷ προσηλωμένον ἐθεάσω ποτέ; Ἄρειος εἶπε· Ναί. Ἀθαν. εἶπεν· Ἆρα ἕως ὅτε τὸ σῶμα κεκράτητο ὑπὸ τῶν ἥλων ἐπὶ τοῦ σταυροῦ καὶ ἡ ψυχὴ κατείχετο μὴ δυναμένη ἀναχωρῆσαι ἀπὸ τοῦ σώματος; Ἄρ. εἶπεν· Ἀναχωρεῖ, ἐπειδὴ πνεῦμα τυγχάνει ἡ ψυχή. Ἀθαν. εἶπε· Εἰ ἀναχωρεῖ, δῆλόν ἐστιν, ὅτι οὐ κρατεῖται ἐπὶ τοῦ σταυροῦ, τοῦτ' ἔστιν ἐπὶ τοῦ ξύλου καὶ τῶν ἥλων, καὶ οὕτως ἔχει. Τοῦ γὰρ σώματος κατεχομένου, ἡ ψυχὴ τὸ ἐλεύθερον ἔχουσα καὶ τὸ ἀκράτητον καταλείψασα τὸ σῶμα, πορεύεται εἰς τὸν ἑαυτῆς τόπον· Ἄρ. εἶπεν· Οὕτως ἐστὶ καὶ τοῦτο. Ἀθαν. εἶπεν· Εἰ οὖν ἐπὶ ἀνθρώπου καταδίκου ἔδωκας μὴ πάσχειν τὴν ψυχὴν ἐν τῇ παρούσῃ σωματικῇ καταδίκῃ, πῶς τὸν Λόγον καὶ Θεὸν ἔφης συμπεπῆχθαι τῷ σώματι; Ἄρ. εἶπε· Δεδόσθω μὴ συμπεπονθέναι τὸν Θεὸν Λόγον τῷ σώματι. Ἀθ. εἶπεν· Οὐκοῦν ὁ ἀπόστολος Πέτρος ἠσφαλίσατο τὸν λόγον, μὴ βουλόμενός τινας ὑπὸ ἀγνοίας ἀπολέσθαι. Νομιζόντων γὰρ τῶν υἱῶν Ἰσραὴλ ἄνθρωπον εἶναι τὸν καθ' ἡμᾶς Χριστόν, ἐσήμανε διὰ τῆς μαρτυρίας, ὅτι οὗτός ἐστιν ὁ ἐκλεκτὸς τοῦ Θεοῦ· καί φησιν. Εἰ καὶ ὑμεῖς ὡς ἄνθρωπον ἐκρεμάσατε τὸν δίκαιον, μὴ ἀγνοήσητε, ὅτι τοῦτον Χριστὸν καὶ Κύριον ἐποίησεν ὁ Θεός. Ἄρ. εἶπεν· Ἰδοὺ οὖν, Χριστὸς καὶ Κύριος γέγονεν ὑπὸ τοῦ Θεοῦ. Ἀθ. εἶπεν· Ὁ Θεὸς Λόγος, ὁ τοῦ Θεοῦ Υἱός, πρὸ τοῦ πάθους Κύριος ἦν, ναὶ ἢ οὔ; Ἄρ. εἶπε· Ναί, Κύριος ἦν. Ἀθ. εἶπεν· Ὁ Πέτρος ἔφη, ὃν οἱ Ἰουδαῖοι ἐσταύρωσαν, γεγενῆσθαι Κύριον. Ἄρ. εἶπε· Τί ἐστι, τό, Ἐσταύρωσαν Χριστὸν καὶ Κύριον γεγονότα; Ἤθελον γνῶναι τί λέγεις.

20. Ἀθαν. εἶπεν· Ὁ Θεὸς Λόγος Κύριός ἐστι τῶν ἁπάντων ἀεὶ Κύριος ὤν. Ἐπειδὴ δὲ ἐκ τῆς ὑπὸ ἁμαρτίας βεβασιλευμένης σαρκὸς ἔλαβε τὴν σάρκα, καθὼς γέγραπται· «Ὁ Λόγος σὰρξ ἐγένετο·[1]» σάρκα δέ φημι ἄνθρωπον τέλειον, οἷοι καὶ ἡμεῖς τυγχάνομεν, κατὰ τὸ εἶναι ἡμᾶς ἀνθρώπους μόνον· αὐτὸς γὰρ ἄνευ ἁμαρτίας γέγονεν ἄνθρωπος· τοῦτον οὖν Χριστὸν καὶ Κύριον ὁ Θεὸς ἐποίησε, τὸν ἐκ σπέρματος Δαυὶδ ἄνθρωπον, ὑποτάξας αὐτῷ ἀρχὰς καὶ ἐξουσίας καὶ κυριότητας, καὶ ἀνθρώπους, καὶ ἀγγέλους, καὶ πάντων ἁπλῶς

1. Ἰω. 1, 14.

ὑποταγέντων γέγονε Χριστὸς καὶ Κύριος· Χριστὸς μὲν διὰ τὴν τοῦ ἁγίου Πνεύματος, δίκην ἐλαίου, ἐπ' αὐτῷ γενομένην οὐρανόθεν ἔγχυσιν· Κύριος δὲ διὰ τὸ κατὰ πάντων εἰληφέναι τὸ κῦρος. Ἄρ. εἶπεν· Ἰδίως οὖν Υἱὸς καὶ Κύριός ἐστιν ὁ Λόγος, καὶ Θεός, καὶ ἰδίως ἄνθρωπος; Ἀθ. εἶπε. Μὴ γένοιτο! Ἄρ. εἶπεν· Εἰπὲ οὖν, πῶς. Ἔφης γὰρ Κύριον τὸν Θεὸν Λόγον, καὶ τὸν ναὸν αὐτοῦ Κύριον, τουτέστι τὸν ἄνθρωπον. Ἐγὼ δὲ νομίζω, ὅτι δύο Κύριοί εἰσιν. Ἀθ. εἶπεν· Οὐκ εἰσὶ δύο· μὴ γένοιτο! Εἷς γάρ ἐστιν ὁ τοῦ Θεοῦ Υἱός, ὁ γενόμενος δι' ἡμᾶς ἄνθρωπος. Ὁ γὰρ ἐπίγειος βασιλεύς, εἰπέ μοι, ἰδίως ὁ ἄνθρωπος βασιλεύει, καὶ ἰδίως ἡ πορφυρίς, ναὶ ἢ οὔ; Ἄρ· εἶπεν· Πῶς ἐγχωρεῖ, ἢ τὸν ἄνθρωπον ἐκτὸς βασιλεύειν, ἢ τὴν πορφυρίδα ἰδίως ἄρξαι; Πλὴν ἔγνων τί θέλεις παραστῆσαι ἐκ τοῦ παραδείγματος. Ἀθ. εἶπεν· Εἰ οὖν ἀνεγχώρητον δύο βασιλεῖς φῆσαι ἐπὶ βασιλέως ἑνός, λέγω δὴ ἀνθρώπου καὶ πορφύρας, πῶς ἐγχωρεῖ ἰδίως μὲν τοῦ Λόγου καὶ Θεοῦ κυριότητα φάσκειν, κεχωρισμένην δὲ τὴν δίκην πορφύρας ἔνδυμα γεγονυίας, ἁγίας καὶ τιμίας σαρκός, ἀρχὴν καταγγέλλειν, ἥτις ἐστὶν ἔνδυμα τοῦ βασιλέως Λόγου Θεοῦ γεγενημένη; Ἀλλὰ μὴν καὶ ὁ ἀπόστολος Παῦλος, τὴν ἑνότητα τῆς κυριότητος, ἣν ἔχει ὁ Κυριακὸς ἄνθρωπος σὺν τῷ Θεῷ Λόγῳ, ἀκραιφνέστατα ἐσήμανε, τῷ φῆσαι αὐτόν· «Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εἰς τοὺς αἰῶνας, ἀμήν.[1]» Ὁρᾷς, ὅτι καὶ Θεὸν ἐπὶ πάντων οἶδε τὸν ἐκ σπέρματος Δαυίδ, ὁ Ἀπόστολος;

21. Ἄρ. εἶπεν· Οὐ φοβῇ ἐπὶ πάντων Θεὸν λέγειν τὸν ἄνθρωπον; Ἀθ. εἶπε· Παῦλος οὐκ ἐφοβήθη, οὔτε ἐγὼ φοβοῦμαι, ὅτι βλέπω ἐκ μέρους τὴν τοῦ Θεοῦ οἰκονομίαν. Ἄρ. εἶπε· Ποίαν οἰκονομίαν; Ἀθ. εἶπε· Περὶ τῆς τοῦ πάντων Θεοῦ ἐνανθρωπήσεως. Ἄρ. εἶπε· Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου κἀγὼ ὁμολογῶ· περὶ δὲ τοῦ εἶναι ἐπὶ πάντων Θεὸν τὸν σταυρωθέντα φοβοῦμαι λέγειν. Ἀθ. εἶπεν· Ἄκουε, καὶ περισσότερον θαύμαζε, ὅτι καὶ Θεὸν ἐπὶ πάντων ὁμολογῶ, καὶ μὴ δυνάμενον ἕτερον λογισθῆναι· τὸν πρὸς τὸν γενόμενον ἄνθρωπον καὶ σταυρωθέντα δι' ἡμᾶς Θεὸν ἀεὶ ὄντα. Ἄρ. εἶπε· Ποῦ γέγραπται τοῦτο τὸ καινότερον; Ἀθ. εἶπε· Παρὰ Ἱερεμίᾳ τῷ προφήτῃ· φησὶ γάρ· «Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη.[2]» Ὁ οὖν ὀφθεὶς οὗτος ἦν Θεός, καὶ ἔστιν, ᾧ οὐ προσλογισθήσεται ἕτερος Θεός, ναὶ ἢ οὔ; Ἄρ. εἶπε· Καθὼς ὁ προφήτης λέγει, αὐτός ἐστιν ὁ Θεός. Ἀθέμιτον γάρ ἐστι περὶ τοῦ Πατρὸς λέγειν, ὅτι ὤφθη, ἢ ὅτι ἄνθρωπος γεγονὼς συνεπολιτεύσατο τοῖς ἀνθρώποις, φανεροῦ ὄντος τοῦ πράγματος, ὅτι ὁ Λόγος Θεὸς ἐνηνθρώπησεν. Ἀθ. εἶπεν· Οὐκοῦν εἷς ὁ Υἱός, ὁ πρὸ

1. Ῥωμ. 9, 5. 2. Βαρ. 3, 36-38.

πάντων αἰώνων συνυπάρχων τῷ Πατρὶ αὐτοῦ, Θεὸς ὢν ἀόρατος, ἄνθρωπος γέγονεν ὁρατός. Ἄρ. εἶπεν· Ὅτι εἷς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὡμολόγηται· οὐ συνυπάρχει δὲ τῷ Πατρὶ ἀπεράντως. ᾿Αθ. εἶπεν· Ἡ σοφία καὶ ἡ δύναμις συνυπάρχει τῷ Πατρὶ καὶ τῷ Πνεύματι τῷ ἁγίῳ; Ἄρ. εἶπεν· Οὕτως ἔχει. ᾿Αθ. εἶπεν· Εἷς οὖν ὢν ὁ ἀόρατος Υἱὸς τοῦ Θεοῦ, ὁ καὶ ὁραθείς, ἀσώματος καὶ σῶμα λαβών, ἀθάνατος καὶ θανάτου πεῖραν λαβὼν σαρκί, ὁ ἀψηλάφητος καὶ ψηλαφηθείς. Ἄρ. εἶπε· Σύμφημι ἅπερ εἶπας. ᾿Αθ. εἶπεν· Οὗτος οὖν καὶ Κύριος καὶ Θεός, διὰ τὸ συναφθῆναι τὴν σάρκα τῷ Λόγῳ· καὶ οὐ διῃρημένως, καὶ κυριότητες μὲν λέγονται· ὁ δὲ τοῦ Θεοῦ Υἱὸς ᾿Ιησοῦς Χριστός, ὁ Λόγος καὶ Θεός, εἷς τυγχάνει.

22. Ἄρ. εἶπε· Δοκεῖ μοί πως ὀρθότατα καταφαίνεσθαι ὁ περὶ τῆς σαρκώσεως ὅρος· μέντοιγε οὐκ ἀληθινὸς Θεός ἐστιν ὁ Υἱός, ὥσπερ ὁ Πατήρ. ᾿Αθ. εἶπε· Πόθεν τοῦτο εἰληφὼς ἐκόμισας ἡμῖν; Ἄρ. εἶπεν· Οὐδέποτε ἀνέγνως τὸ Εὐαγγέλιον, ὥς φησιν ὁ Κύριος πρὸς τὸν ἑαυτοῦ Πατέρα· «Αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας ᾿Ιησοῦν Χριστόν; [1]» Ὁρᾷς, ὅτι μόνον ἀληθινὸν Θεὸν ἔφη τὸν Πατέρα, ὡς αὐτοῦ μὴ ὄντος ἀληθινοῦ Θεοῦ; ᾿Αθ. εἶπε. Τοῦτο σύνδεσμός ἐστι, τῶν προειρημένων ῥημάτων καὶ τῶν ἐπαχθέντων οὐ διαίρεσιν ἐμποιῶν. ᾿Αραρότως δὲ παρὰ τοῖς εὐφρονοῦσιν ὡμολόγηται σύνδεσμος τὸ ἐπὶ τῆς Κυριακῆς φωνῆς. Πλὴν ἄκουε μετὰ μακροθυμίας ὅ φημι. Εἴ τις τῷ πλησίον ἐντέλλεται περὶ Κωνσταντίνου λέγων· ᾿Ασφαλῶς γίνωσκε τὸν μόνον Αὔγουστον καὶ αὐτοκράτορα γῆς καὶ θαλάσσης βασιλέα Κωνσταντῖνον καὶ Κωνστάντιον τὸν υἱὸν αὐτοῦ, συνωμολόγησε τὸν υἱὸν τῷ πατρί, ναὶ ἢ οὔ; Ἄρ. εἶπεν· Οὐ μικρὸς κίνδυνος τὸ εἰπεῖν ὅτι οὐ συμβασιλεύει Κωνστάντιος Κωνσταντίνῳ τῷ πατρὶ αὐτοῦ, ἐκ τοῦ ὑπαριθμηθῆναι αὐτῷ. ᾿Αθ. εἶπεν· ᾿Επὶ μὲν Κωνσταντίνου καὶ Κωνσταντίου κίνδυνον μέγιστον ὁρᾷς, ἐπὶ δὲ ᾿Ιησοῦ Χριστοῦ καὶ τοῦ Πατρὸς αὐτοῦ οὐ φοβῇ τοιαῦτα φθεγγόμενος; Δεῖ σε τοιαύτην ἔχειν εὐσέβειαν εἰς τὸν Κύριον, οἵαν καὶ εἰς Κωνσταντῖνον ῥηθέντα. Οὐκ ἀφῄρησας ἀπὸ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου, τουτέστιν αὐτὸν Αὔγουστον, καὶ πάντα ὅσα εἰς τὸν πατέρα αὐτοῦ προερρήθη, οὐκ ἄλλοθεν τὴν ἑνότητα τῆς ἀξίας ἐπιγνοὺς ἢ δι' αὐτοῦ. Ἄρ. εἶπεν· ᾿Εκκλίνας ἀπὸ τῶν συλλογισμῶν, ἔγγραφόν μοι δὸς ἀπόδειξιν, εἰ ἀληθινὸς Θεός ἐστιν ὁ Υἱός, ὥσπερ κἀγώ σοι φωνὴν παρεθέμην εὐαγγελικήν. ᾿Αθ. εἶπεν· Ἄκουε καὶ περὶ τούτου ἔγγραφον τὴν ἀπόδειξιν, καὶ μὴ πλανῶ. ᾿Ιωάννης ὁ ἀπόστολος οὕτως ἔφη· «Καὶ οἴδαμεν, ὅτι ὁ τοῦ Θεοῦ Υἱὸς ἥκει, καὶ ἔδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν· καί ἐσμεν ἐν τῷ ἀληθινῷ Υἱῷ αὐτοῦ ᾿Ιησοῦ Χριστῷ. Οὗτός ἐστι ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνιος.[2]» Ὁρᾷς, ὅτι αὗται αἱ φωναὶ φέρονται περὶ τοῦ Υἱοῦ

---

1. ᾿Ιω. 17, 3. 2. Α' ᾿Ιω. 5, 20.

καὶ Πατρός, θεολογοῦσαι ἴσον τὸν Υἱὸν τῷ Πατρί. Ὥσπερ γὰρ ἐπὶ τοῦ Πατρὸς ἔφη· «Αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν», καὶ ἐνταῦθα περὶ τοῦ Υἱοῦ φησιν· «Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος.» Τὸ οὖν, «Καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν», σύνδεσμος τυγχάνει, ἀντὶ τοῦ λέγειν, «Σὲ μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν», ἵνα γινώσκωσι τὸν Υἱὸν ἀληθινὸν Θεὸν ὥσπερ καὶ σὲ τὸν Πατέρα· καθάπερ καὶ ἐν ἄλλῳ τόπῳ ἔλεξεν ὁ Κύριος· «Ἐγώ εἰμι ἡ ἀλήθεια.[1]» Ἀλήθεια δὲ οὐκ ἂν ψεῦδος ἐγένετό ποτε.

23. Ἄρ. εἶπεν· Ὁμολογῶ κἀγὼ ὅτι ἀληθινὸς Θεός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· μή γε δύνασαι φάναι, ἅμα Θεός, ἅμα Υἱός; Ἀθ. εἶπε· Τί λέγεις ἅμα Θεός, ἅμα Υἱός; Ὅτι ὁ Υἱὸς ἅμα Υἱὸς Θεοῦ ἐστι; Ναί. Ὁ γὰρ Θεοῦ Λόγος Θεὸς τυγχάνει, Υἱὸς τοῦ Πατρὸς ὤν. Ἄρ. εἶπεν· Οὐχ οὕτως φημί, ἀλλ' ὅτι μὴ δύνασαι φῆσαι, ἅμα Θεὸς Πατήρ, ἅμα Υἱὸς σὺν Πατρί. Ἀθ. εἶπε· Διὰ τί οὐ δύναμαι τοῦτο εἰπεῖν; Ἄρ. εἶπεν· Ὅτι ὁ Θεὸς Πατὴρ ἀγέννητος τυγχάνει, ὁ δὲ Υἱὸς γεννητός ἐστιν. Ἀθ. εἶπεν· Ἡ ἀγέννητος φωνὴ ἐπὶ τοῦ Θεοῦ μόνον τάττεται, ἢ καὶ ἐπὶ ἄλλων τινῶν; Ἄρ. εἶπεν· Ἄλλο τι μὴ γένοιτο φῆσαι ἀγέννητον· ὃ γὰρ ἀγέννητον, τοῦτο καὶ ἄναρχον τυγχάνει. Ἀθ. εἶπεν· Ἡ φωνή, ἡ ἀγέννητος, οὐσία ἐστίν, ἢ οὐσίας σημαντική; Ἄρ. εἶπεν· Οὐσία τυγχάνει. Ἀθ. εἶπεν· Ψεύδῃ· οὐκ ἔστιν οὐσία, ἀλλ' οὐσίας σημαντική. Ἄρ. εἶπε· Τί σημαίνειν θέλεις; Ἀθ. εἶπεν· Ὅτι οὐ γέγονεν, οὔτε μὴν ἐγεννήθη ἡ τοῦ Θεοῦ οὐσία· ὅθεν προσφόρως λέγομεν ἀγέννητον τὴν οὐσίαν τοῦ Θεοῦ. Εἶτα εἰπέ μοι· Ἀδὰμ ἐγεννήθη, ναὶ ἢ οὔ; Ἄρ. εἶπεν· Οὐκ ἐγεννήθη, ἀλλ' ἐπλάσθη. Ἀθ. εἶπε· Περὶ τοῦ ἐγεννήθη ἐπηρώτησα, οὐ περὶ τοῦ ἐπλάσθη. Ἄρ. εἶπεν· Οὐκ ἐγεννήθη. Ἀθ. εἶπεν· Οὐκοῦν ἔσται ἄναρχος κατὰ σέ. Ἀλλὰ καὶ ἡ Εὔα οὐκ ἐγεννήθη, ἀλλ' ἐδημιουργήθη. Τί δὲ φῂς καὶ περὶ τοῦ μηδέπω γεννηθέντος, γεννητὸν ἢ ἀγέννητον; Ἄρ. εἶπεν· Ὀρθῶς ἔχειν τὴν ἀγέννητος φωνήν. Ἔσται οὖν ὁ μὲν Πατὴρ ἀγέννητος, ὁ δὲ Υἱὸς γεννητός. Ἀθ. εἶπε· Τί οὖν θέλεις συναγαγεῖν ἐκ τούτου; Ἄρ. εἶπεν· Ὁ Υἱὸς ἐγεννήθη, ναὶ ἢ οὔ; Ἀθ. εἶπεν· Ἐγεννήθη. Ἄρ. εἶπεν· Ὁρᾷς, ὅτι, πρὶν ἢ γεννηθῆναι οὐκ ἦν· εἰ δὲ ἦν, ἀγέννητος ἔσται κατὰ σέ. Εἰ δὲ τοῦθ' οὕτως ἔχει, οὐκ ἔσται γεννητὸς ὁ Υἱός. Ἀθ. εἶπεν· Ὁ Θεὸς ἅμα Πατήρ ἐστι, ναὶ ἢ οὔ; Ἄρ. εἶπε· Δυνάμει μὲν ἀεὶ Πατήρ, ἐνεργείᾳ δὲ οὐκ ἀεί.

24. Ἀθ. εἶπεν· Δυνάμει ἦν ὁ κόσμος παρὰ Θεῷ ἀπεράντως, ναὶ ἢ οὔ; Ἄρ. εἶπεν· Οὕτως ἔχει. Ἀθ. εἶπεν· Οὐκοῦν ὥσπερ βουλήσει τὸν κόσμον ἐτεκτήνατο ὁ Θεός, οὕτως καὶ τὸν Υἱὸν ἐτεκτήνατο κατὰ σέ. Ἄρ. εἶπεν· Οὐχ ὡς τὸν κόσμον· μέμνημαι γὰρ τῶν προαποδεδειγμένων. Ἀλλὰ πρὸ τῶν αἰώνων φημὶ βουλήσει ἐσχηκέναι τὸν Υἱόν·

1. Ἰω. 14, 6.

βραχὺ δὲ δίδωμι διάστημα τῆς γεννήσεως τοῦ Υἱοῦ, ἵνα ᾖ γεννητός. Ἀθ. εἶπε· Τὸ Πατέρα εἶναι τὸν Θεὸν καλὸν τυγχάνει, ἢ ψόγος αὐτῷ ἔσται; Ἄρ. εἶπε· Μὴ γένοιτο ψόγον προσάψαι τῷ Θεῷ! ἀλλὰ πάνυ γε καλὸν τὸ εἶναι τὸν Θεὸν Πατέρα. Ἀθ. εἶπεν· Οὐκ ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα προέκοψεν ὁ Θεὸς κατὰ σέ. Εἰ γάρ, μὴ ὢν Πατήρ, γέγονεν αὖθις Πατήρ, ἄρα ἐτράπη ἀπὸ τῶν ἡττόνων ἐπὶ τὰ μέγιστα. Εἰ δὲ ἐρεῖς πρότερον, πρὸ τοῦ Πατέρα αὐτὸν γενέσθαι, τιμιώτερον εἶναι αὐτόν, ἄρα ἀπὸ τῶν τιμιωτέρων ἐπὶ τὰ χείρονα ἔφθασε. Εἰ δὲ τοῦθ' οὕτως ἔχει, πῶς ἐροῦμεν ἄτρεπτον τὸ Θεῖον, αὐτοτελές, μήτε προκόπτον ἐπὶ τὰ κρείττονα, μήτε μὴν λῆγον εἰς χείρονα ἀπὸ τῶν ἀρίστων; Φθαρτῶν γὰρ ἴδιον τὸ τρέπεσθαι, πῇ μὲν ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χείρονα, πῇ δὲ ἀπὸ τῶν ἡττόνων ἐπὶ τὰ εντιμότερα. Ἄρ. εἶπε· Ῥιπὴν ὀφθαλμοῦ οὐ θέλεις δοῦναι, ὅτε οὐκ ἦν πρὶν γεννηθῆναι τὸν Υἱόν; Ἀθ. εἶπε· Τὸ μὴ ὂν οὐ δίδωμι. Ἄρ. εἶπε· Διὰ τί; Ἀθ. εἶπεν· Ὅτι γέγραπται· «Οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος.[1]» Βραχὺ δὲ ἐὰν δῶ, ὅτι ἦν ποτε καιρός, ὅτε οὐκ ἦν, ἔσται πρόσφατος ὁ παρ' ἐμοῦ ὁμολογούμενος· ὅπερ μὴ γένοιτο οὕτως φρονῆσαι ἄνθρωπον Χριστιανόν, ὁμολογοῦντα ἐναντία ταῖς θείαις Γραφαῖς! Ἄρ. εἶπε· Ποία ἐναντιότης, ἐὰν εἴπωμεν ὀφθαλμοῦ ῥιπὴν πρὸ τοῦ γεννηθῆναι μὴ εἶναι, ἵνα μὴ ἀγέννητον νοήσωμεν; Ἀθ. εἶπε· Πολλή μοι ἐναντιότης δείκνυται πρὸς τὴν τῶν θείων Γραφῶν εὐσέβειαν, πανταχοῦ μαρτυρουσῶν, ὅτι Υἱὸς ἀεὶ ἦν, καὶ οὐδέποτε ἦν καιρός, ὅτε οὐκ ἦν. Ἢ οὐ δοκεῖ σοι, ἐὰν εἴπωμεν, ἐναντία φρονεῖν ταῖς θεοπνεύστοις Γραφαῖς;

25. Ἄρ. εἶπε· Δός μοι τὰς μαρτυρίας. Ἀθ. εἶπε· Ἄκουε Ἰωάννου λέγοντος· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν·[2]» Τίς ἔλεξε τοιάδε τῶν ἁγίων προφητῶν καὶ ἀποστόλων, οἷα καὶ σύ; Εἰπέ μοι, εἰ δυνατὸν καὶ εἰς ἔννοιαν λαβεῖν, ὅτι ὁ Λόγος Θεός, ἦν ποτε καιρός, ὅτε οὐκ ἦν; Εἰ δὲ τοῦτο οὕτω νοηθείη, ἦν ποτε καιρός, ὅτε οὐκ ἦν; Εἰ δὲ τοῦτο οὕτω νοηθείη, ἦν ποτε καιρός, ὅτε ἄλογος ἦν ὁ Θεὸς Πατήρ. Ἄρ. εἶπε· Προφορικὸν οὖν φῂς τὸν Υἱὸν Λόγον; Ἀθ. εἶπε· Μὴ γένοιτο! Τὸν γὰρ Λόγον ἐγώ φημι ἐνούσιον, καὶ οὐ ῥῆμα διαλυόμενον, οὔτε μὴν προεληλυθότα ἐκ τοῦ Θεοῦ, καὶ πάλιν εἰς τὸν Πατέρα ἀναλυθέντα κατὰ Σαβέλλιον· ἀλλὰ γεννηθέντα ἀρρήτως, συνυπάρχειν φημὶ τὸν Υἱὸν τῷ Πατρί. Ὡς γὰρ οὐκ ἔστι ψυχὴν ἄνευ λόγου ἐννοῆσαι, οὕτως οὐδὲ Θεὸν τὸν Πατέρα ἄνευ Υἱοῦ πιστεῦσαι. Ὥσπερ γὰρ ὁ Πατὴρ ἄναρχός ἐστιν, οὕτω καὶ ὁ Λόγος καὶ ὁ Θεὸς Υἱὸς Θεοῦ. Ἄρ. εἶπε· Πῶς ἄναρχός ἐστιν ὁ Υἱός, ὃς ἀγνοεῖν ὁμολογεῖ τὴν ἡμέραν τῆς συντελείας; Ἀθ. εἶπε· Λέγε μοι, ἄνθρωπε, ὅπερ ἐπερωτῶ· Ἀρχιτέκτων, λαβὼν κάλαμον, μέτρα τίθησιν· εἶτα διαγράφει ἀνώγεα καὶ κατώγεα, διόροφά φημι καὶ τριόροφα. Ἐὰν φθάσῃ περὶ τὴν πρώτην

1. Ψαλμ. 80, 10. 2. Ἰω. 1, 1-2.

ὀροφήν, γινώσκει, ὅτι περὶ τὴν δευτέραν ἀσχολεῖσθαι δεῖ· ἐπὰν δὲ τὴν δευτέραν στέγην συντελέσῃ, νοεῖ, ὅτι ἐγγύς ἐστι πρὸς συμπλήρωσιν τοῦ κτίσματος. Ἡνίκα δ' ἂν προστοιβασθῆναι γένηται τὴν τρίτην ὀροφήν, ὡς πρὸς δύο ἢ τριῶν δόμων, ἀσφαλῶς ἐπίσταται, ὅτι ἤγγικε τὸ συμπέρασμα τῆς οἰκοδομῆς. Ταῦθ' οὕτως ἔχει, καὶ ἢ οὔ; Ἄρ. εἶπε· Σύμφημι ταῦθ' οὕτως ἔχειν. Ἀθ. εἶπεν· Οὐκοῦν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ποιήσας, καὶ συναρμόσας τὸ στοιχεῖον τοῦτο, ὁ προνοούμενος καὶ οἰκονομῶν τὸν κόσμον ἕως ἄρτι, καθὼς αὐτὸς ὁ Κύριος ἔφη· «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι [1]», οὐ γινώσκει πότε περαιοῖ ὅπερ αὐτὸς δημιουργεῖ; Ἔτι μὴν δοκίμασον, φημί· πορευθεὶς ἐπερώτησον περὶ συμπληρώσεως τοῦ μηνὸς ἄνδρα ἄπειρον, ὃς οὐκ ἐπίσταται, ὅτι τριάκοντα ἡμερῶν ὁ μὴν τυγχάνει, εἰ δώσει σοι ἀπόκρισιν περὶ οὗ πυνθάνῃ. Ἐὰν δὲ προσαγάγῃς τὴν πεῦσιν τῷ ἔχοντι τὴν γνῶσιν, εὐθέως ἐρεῖ σοι, ἐὰν μὲν ᾖ πέντε καὶ δεκάτην ἔχων ὁ μήν, ὅτι μέσος ἐστίν· ἐὰν δὲ περὶ εἰκοστὴν ἑβδόμην, λέξει σοι, ὅτι περὶ συμπλήρωσιν τυγχάνει ὁ μήν. Ὁ αὐτὸς δὲ ὅρος καὶ περὶ σελήνης, ὁμοίως δὲ καὶ περὶ τοῦ ἐνιαυτοῦ· ἐὰν ἐπερωτήσῃς ἐπιστήμονα ἄνδρα, ὅτι πότε συμπληροῦται, κατὰ τὴν σύνεσιν τὴν προσοῦσαν αὐτῷ δοκιμάσας, ὅτι ἑνδέκατος μὴν πεπλήρωται, καὶ ἤρξατο ὁ δωδέκατος, ἐρεῖ σοι, ὅτι περὶ τὸ συντελεσθῆναι ἔχει.

26. Ἄρ. εἶπεν· Οὕτως ἔχει τὸ εἰρημένον. Ἀθ. εἶπεν· Εἰ οὖν ἀρχιτέκτων ἐπίσταται, πότε συντελεῖ τὴν οἰκοδομήν, καὶ ὁ ἐπιστήμων ἀνὴρ ἐκ τοῦ ἀριθμοῦ πότε συντελεῖται ὁ μήν, ἐκ δὲ τῆς ἐμπειρίας τοῦ κυκλικοῦ δρόμου, πότε μὲν πληροῦται ἡ σελήνη, πότε δὲ μειουμένη ἀπολήγει, ποίῳ δὲ καιρῷ συντελεῖται πληρούμενος ὁ ἐνιαυτὸς οἶδε, πῶς οὖν ἂν εἴποιμεν ἡμεῖς, ὅτι ὁ Κύριος Ἰησοῦς, ὁ ποιήσας τὸν κόσμον, καὶ ὁ μέλλων αὐτὸν συντελεῖν, ἐπίσταται τὴν ἡμέραν; Εἰ γὰρ ἠγνόει, πῶς ἐπερωτηθεὶς περὶ τῆς συντελείας τοῦ αἰῶνος τούτου, καὶ τῆς παρουσίας αὐτοῦ τῆς δευτέρας, ἠδύνατο ἀποκριθεὶς φῆσαι τὴν ἀλήθειαν; Τῶν γὰρ ἀκραιφνῶς ἐχόντων τὴν περὶ τῶν ὧδε ὄντων ἢ γινομένων γνῶσιν, ἴδιόν ἐστι τὴν ἀλήθειαν ἀφηγεῖσθαι. Ὅθεν καὶ ὁ Σωτὴρ γινώσκων ἐσήμανε τὴν ἀλήθειαν ἐπερωτηθείς. Πυθομένων γὰρ τῶν μαθητῶν, τί τὸ σημεῖον τῆς παρουσίας τοῦ Κυρίου Ἰησοῦ, καὶ τῆς συντελείας τοῦ αἰῶνος τούτου, ἀποκριθεὶς ἔφη οὕτω· «Βλέπετε, μή τις ὑμᾶς πλανήσῃ. Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι. Μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων. Ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ ταῦτα γενέσθαι, ἀλλ' οὔπω τὸ τέλος. Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοί, καὶ λοιμοί, καὶ σεισμοὶ κατὰ τόπους. Ταῦτα δὲ πάντα ἀρχὴ ὠδίνων. Τότε παραδώσουσιν ὑμᾶς εἰς θλίψεις, καὶ ἀποκτενοῦσιν ὑμᾶς· καὶ ἔσεσθε

1. Ἰω. 5, 17.

μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ τότε σκανδαλισθήσονται πολλοί, καὶ ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους. Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς. Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Καὶ κηρυχθήσεται τὸ Εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῳ τῷ κόσμῳ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, καὶ τότε ἥξει τὸ τέλος.[1]» Καὶ μετ' ὀλίγα φησίν· «Ἔσται γὰρ θλίψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐ μὴ γένηται. Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. Τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἰδοὺ ὧδε ὁ Χριστός, ἰδοὺ ἐκεῖ· μὴ πιστεύσητε·[2]» καὶ μεθ' ἕτερα· «Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὅπου δὲ ἂν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. Εὐθέως δὲ μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ πεσοῦνται, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται· καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ.[3]» Καὶ μετ' ὀλίγα φησίν· «Ἀμήν, λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα ταῦτα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. Περὶ δὲ τῆς ἡμέρας ἢ τῆς ὥρας οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατὴρ μόνος.[4]» Λοιπὸν πάντως τῶν εὐφρονούντων ἐστὶν ἐπιγνῶναι ἐκ τῶν προσημανθέντων ἐκ τοῦ Σωτῆρος περὶ τῆς ἡμέρας καὶ ὥρας· ὅτι γινώσκει ἀσφαλέστατα πότε μέλλει ἔρχεσθαι καὶ ἀποκαθιστάνειν ἅπαντα, καθὼς προώρισται, πρὸς τὴν ἀδιάζευκτον αὐτοῦ βουλὴν καὶ τοῦ Πατρὸς αὐτοῦ. Λαβὼν γὰρ τὸ Εὐαγγέλιον ἐν χερσίν, ἀνάγνωθι τὴν περικοπὴν τοῦ Ματθαίου περὶ τοῦ ζητουμένου, καὶ ἔσται σοι πάντα κατάδηλα, ὡς οὐκ ἀγνοεῖ ὁ Κύριος περὶ τῆς ἡμέρας. Εἰ δὲ ἠγνόει, πῶς ἠδύνατο τὰ μηδέπω ὄντα, μήτε μὴν γενόμενα σημεῖά τε καὶ πειρατήρια, ἅπερ προτρέχουσι πρὸ τῆς ἡμέρας, προλέγειν; ἕως γὰρ τῆς συντελείας καὶ παρουσίας ἑαυτοῦ προεδήλωσε τὰ σημεῖα, καὶ τὰς ποιότητας αὐτῶν, ὡς δύνασθαι καὶ τοὺς σπουδαιοτέρους καὶ φιλοπόνους ἐπιγνῶναι τὸν καιρὸν ἐκ τῶν προμεμνημένων πρὸς τοῦ Κυρίου.

27. Ἄρ. εἶπεν· Εἰ ἀληθῶς ἐπίσταται τὴν ἡμέραν, διὰ τί αὐτὸς ἔφη· «Οὐδὲ ὁ Υἱὸς οἶδε τὴν ἡμέραν ἐκείνην;[5]» Ἀθ. εἶπεν· Οὐκ εἶπεν ὁ Κύριος, Οὐδὲ ἐγὼ οἶδα τὴν ἡμέραν ἐκείνην. Τοῦτο γὰρ ἀκόλουθον ἦν φάναι τὸν Κύριον, εἴπερ ἤθελε περὶ ἑαυτοῦ παραστῆσαι, ὡς μὴ ἔχων γνῶσιν τοῦ πράγματος. Καὶ ἐν μὲν τῷ Ματθαίῳ οὐ φέρεται, Οὐδὲ ὁ Υἱὸς οἶδε τὴν ἡμέραν ἐκείνην· οἱ δὲ λοιποὶ εὐαγγελισταὶ παρέλιπον τὴν περὶ τούτου διήγησιν· μονώτατος δὲ Μάρκος ἔφη· «Οὐδὲ ὁ

1. Ματθ. 24, 4-14. 2. Ματθ. 24, 21-23. 3. Ματθ. 24, 27-30.
4. Ματθ. 24, 34-36. 5. Μάρκ. 13, 32.

Υἱὸς» οἶδε τὴν ἡμέραν. Καὶ τὴν τοῦ Μάρκου ἀφήγησιν ἐν στέρνοις σου, γνῶθι, ὅτι οὐκ ἀγνοεῖ ὁ Κύριος τὴν ἡμέραν. Φησὶ γὰρ ὁ Κύριος Ἰησοῦς· «Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ.[1]» Γινώσκων γὰρ ἑαυτὸν μὴ διεστῶτα ἀπὸ τοῦ Πατρὸς κατ' οὐσίαν, ἀλλ' ἡνωμένον τῇ θεότητι τῷ Θεῷ Πατρὶ αὐτοῦ, τὴν ἑαυτοῦ πρόγνωσιν ἐν τῇ τοῦ Πατρὸς προγνώσει ἐσήμανεν, ὥς φησιν ὁ Κύριος· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·» καὶ πάλιν· «Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν.» Οὐχ ἕνεκεν κτιστῶν πραγμάτων τοῦτο ἔφη ὁ Σωτὴρ τό, Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν· ἀλλ' ὅσα ἀνῆκε τῇ θεότητι τοῦ Πατρός, αὐτὰ ἴδια ἔφη ὁ Κύριος, οἷον τὸ ἀθάνατον, τὸ ἄφθαρτον, τὸ ἀχείρωτον, τὸ ἄτρεπτον, τὸ ἀκατάληπτον, τὸ δυνατόν, τὸ προγνωστικόν, καὶ ὅσα ἐστὶν ὁ Πατὴρ ἔχων, ταῦτα ἴδια τοῦ Υἱοῦ τυγχάνει. Ἀγνοεῖν δὲ ἔφη, ὡς προείρηται, ἀγγέλους καὶ τὸν Υἱόν.

28. Ἄρ. εἶπε· Μὴ ἄλλος ἐστὶν ὁ Υἱός; Ἀθ. εἶπεν· Υἱὸς μὲν ἀληθινὸς τοῦ Θεοῦ εἷς τυγχάνει ὁ Λόγος καὶ Θεός. Ἔστι δὲ καὶ ὡς ἄλλος Υἱὸς υἱοποιηθεὶς διὰ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὥς φησιν ὁ θεῖος Ἀπόστολος· «Οὐ γὰρ ἐλάβομεν πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβομεν πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ, ὁ Πατήρ.[2]» Ὁ δὲ Χριστὸς διαρρήδην πρὸς τοὺς ἀποστόλους ἔφη· «Τεκνία μου, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι[3]», «καὶ πορεύομαι πρὸς τὸν πέμψαντά με·» καὶ πρὸς Ἰουδαίους δέ φησιν ἐν παραβολαῖς οὕτως· «Ἄνθρωπός τις ἔχων δύο υἱούς, πρεσελθὼν τῷ πρεσβυτέρῳ, εἶπε· Πορεύου, ἐργάζου εἰς τὸν ἀμπελῶνά μου. Ὁ δέ, ἀποκριθείς, ἔφη· Ἐγώ, κύριε, καὶ οὐκ ἀπῆλθεν. Εἶτα προσελθὼν τῷ ἑτέρῳ, ἔφη· Πορεύου, ἐργάζου εἰς τὸν ἀμπελῶνά μου. Ὁ δέ φησιν· Οὐ θέλω. Ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθεν.[4]» Ἐρωτᾷ δὲ ὁ Κύριος· Τίς ἐποίησεν τὸ θέλημα τοῦ πατρὸς αὐτοῦ; ἀποκριθέντες δὲ οἱ Ἰουδαῖοί φασιν· «Ὁ ἔσχατος υἱός.» Ὁμολογουμένως δέ, ὁ μὲν πατὴρ ὁ τῶν ὅλων Θεὸς τυγχάνει, ὁ δὲ ἀμπελὼν αἱ τρίβοι τῆς δικαιοσύνης, ἐν αἷς προσέταττε τὸν πρεσβύτερον υἱὸν ἐργάζεσθαι. Ὁ δὲ μικρῷ τῷ διαστήματι χαίρειν φράσας τῷ κελεύσματι κατεφρόνησε τοῦ προστάξαντος· οὗτος δὲ ὁ τῶν Ἰουδαίων λαὸς τυγχάνει, ὁ διὰ τὴν ἀπιστίαν ἀπόβλητος γεγονὼς τῆς υἱοθεσίας. Ὁ δὲ νεώτερος υἱὸς τοῦ πατρός, ὁ ἐξ ἐθνῶν λαός, ὁ παρὰ τὴν ἀρχὴν τῆς κλήσεως παρακούων τῇ ἀπιστίᾳ, τῇ εἰδωλολατρείᾳ κρατούμενος, ὕστερον δὲ μεταμεληθεὶς καὶ πιστεύσας, ὑπήκοος προστάγματος πατρικοῦ ἀνεδείχθη. Ἐκ δὲ τῆς ὑπακοῆς φίλος καὶ κληρονόμος, ὡς υἱὸς Πατρός, ἀνεφάνη, πάσης τιμῆς καὶ χάριτος ἠξιωμένος πρὸς τοῦ ἰδίου Πατρὸς ἄνευ τῆς ἡμέρας καὶ ὥρας ἐκείνης, λέγω δὴ τῆς συντελείας, ἢ μόνον σημεῖα λαβών,

1. Μάρκ. 13, 32. 2. Ῥωμ. 8, 15. 3. Ἰω. 13, 33. 4. Ματθ. 21, 28-30.

ἵνα μὴ ἀγνοῶν, ὅτι ἐγγύς ἐστι τὸ τέλος, πρὸς τὸ μὴ ἀπαρασκεύαστον ὄντα, αἰφνιδίως καταλάβῃ ἡ ἡμέρα.

29. Ἄρ. εἶπεν· Ὁμολογῶ ὀρθῶς εἰρῆσθαι τοῦτο τὸ περὶ τῆς ἡμέρας· τὸ δὲ τῇ οὐσίᾳ ἡνῶσθαι τὸν Υἱὸν τῷ Πατρὶ οὐκ ὀρθῶς ἔχειν φημί. Ἀθ. εἶπεν· Ἐπειδὴ σπουδὴ πρόσεστί σοι οὐ μικρά, ψέγειν τὰ καλὰ καὶ καλῶς ὁμολογούμενα πρὸς τῶν εὐσεβῶν, ἀπόδος λόγον, τί ποτε ἄρα ἐστὶν ἡ οὐσία; Ἄρ. εἶπεν· Πᾶν εἴ τί ἐστιν ἐν ὑποστάσει, τοῦτο οὐσία τυγχάνει. Ἀθ. εἶπεν· Ὀρθῶς ἔφης. Ἐπεὶ δὲ ἡμεῖς ἐπὶ τοῦ παρόντος περὶ Θεοῦ λόγον ἔχομεν, εἰπέ μοι ἡ τοῦ Θεοῦ οὐσία τί ἐστι, μήποτε νομισθῶμεν πρὸς τῶν ἰδιωτῶν, ὅτι τάχα περὶ χρημάτων λέγομεν. Ἄρ. εἶπεν· Ἡ τοῦ Θεοῦ οὐσία ἐστίν, εἴ τί ἐστιν ὁ Θεός, τοῦτο οὐσία τυγχάνει. Ἀθ. εἶπε· Καλῶς ἔφης· λοιπὸν ἄκουε. Ἄρ. εἶπε· Λέγε ὃ βούλει. Ἀθ. εἶπεν· Οἶσθα, ὅτι, σχηματιζόμενος καὶ συγκαταβαίνων τῇ ἡμετέρᾳ ἀσθενείᾳ διὰ τῶν θεοπνεύστων Γραφῶν ὁ Θεός, ἀνθρωπινώτερον ὁμιλεῖ πολλάκις πρὸς ἡμᾶς, πρὸς τὸ δύνασθαι νοεῖν τὴν ἀνθρωπίνην φύσιν ἐκ τῶν παραπλησίως εἰρημένων, ἐν οἷς ἡμεῖς ἐνεχόμεθα καὶ ἴσμεν, τὰ ἐπουράνια θεῖα μυστήρια. Ἄρ. εἶπεν· Οὕτως ἔχει. Ἀθ. εἶπεν· Οὐκοῦν ὁ Θεός, λέγων πρὸς τὸν ἴδιον Υἱὸν διὰ τοῦ προφήτου· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε [1]», σημαίνει τὴν ἐκ τῆς πατρικῆς οὐσίας γέννησιν τοῦ Υἱοῦ. Ἄρ. εἶπε· Γαστέρα οὖν ἔχει ὁ Θεός; Ἀθ. εἶπε· Προλαβὼν εἶπον πρὸς σέ, ὅτι διὰ τὴν ἡμετέραν ἀσθένειαν πολλάκις καὶ ἀνθρωπόσχημον τὸ Θεῖον αἱ θεῖαι Γραφαὶ καταγγέλλουσιν· οὐχ ὅτι ὁ Θεὸς τοιοῦτός ἐστιν, ἀλλ' ἵνα ἡμεῖς ἐκ τῶν σωματικῶν παραδειγμάτων τὰ θεῖα εὐσεβῶς νοῶμεν. Δι' οὐδὲν οὖν ἕτερον γαστέρα ὀνομάζει, ἢ ἵνα παραστήσῃ αὐτὸν τὸν Υἱὸν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας γεγεννῆσθαι. Ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, λέγε σύ, πῶς ὀφείλει νοηθῆναι τὸ ῥητόν. Ἄρ. εἶπεν· Ἡ Γραφὴ λέγει ἐκ προσώπου τοῦ Πατρός· «Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν.[2]» Ἄρα οὖν, Λόγον ἐξηρεύξατό φησι τὸν Υἱόν; Ἀθ. εἶπεν· Ἡ Γραφὴ καλῶς ἔφη σὺν τοῖς ἄλλοις ἅπασι καὶ τοῦτο, σὺ δέ, λαβὼν τὸ ῥητόν, διέστρεψας κακῶς. Ἄρ. εἶπε. Φράσον ἡμῖν σὺ τὴν ἀλήθειαν τοῦ ῥητοῦ· ἐπειδὴ ἐγὼ αὐτὸ διέστρεψα κατὰ σέ.

30. Ἀθ. εἶπεν· Ὁ Θεὸς πνεῦμά ἐστιν ἀπαθὲς ναὶ ἢ οὔ; Ἄρ. εἶπε· Ναί, οὕτως ἔχει. Ἀθ. εἶπεν· Ὅταν οὖν φάσκῃ ἡ Γραφὴ ἐκ γαστρὸς γεγεννῆσθαι τὸν Υἱόν, τὴν ἐκ τῆς θεϊκῆς ὑποστάσεως γνησιότητα τοῦ Υἱοῦ σημαίνει. Ἵνα οὖν μὴ τὸ τῶν ἀνθρώπων γένος, ἀσθενὲς ὑπάρχον, ἀνθρωπίνην τὴν γέννησιν τοῦ Χριστοῦ ὑπολάβοιεν, εἶπε τό, «Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν.» Εἰ δὲ πάλιν ἐπιχειρεῖν τολμήσει τις προφορικὸν Λόγον φάσκειν τὸν Υἱόν, μνημονεύσει τό, «Ἐκ γαστρός», καὶ παύσεται τῆς πονηρᾶς ἐννοίας. Περιέγραψε γὰρ πάντα νοῦν ἀνθρώπινον ἡ Γραφή, πρὸς τὸ μὴ ἔχειν αἱρετικὴν μανίαν κατὰ τῆς

1. Ψαλμ. 109, 8. 2. Ψαλμ. 44, 2.

ἀιδίου καὶ ἀκαταλήπτου γεννήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ. Εἰ γὰρ ἐκ γαστρὸς τυγχάνει, πῶς ἐκ καρδίας προῆλθεν; Εἰ δὲ ἀπὸ καρδίας ἐστί, πῶς ἐκ γαστρὸς τυγχάνει; Ἄρ. εἶπε· Τί οὖν ὀφείλομεν λέγειν καὶ νοεῖν; Ἀθ. εἶπεν· Οὐδὲν ἕτερον ἢ τὸν Υἱὸν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς γεννηθέντα ἐκ τῶν τοιούτων παραδειγμάτων μανθάνομεν. Ἄρ. εἶπεν. Εἰ ὁμοούσιος ἦν ὁ Υἱὸς τῷ Πατρί, πῶς οὐκ εἶπεν παρὼν τοῖς μαθηταῖς αὐτοῦ; Ἀθ. εἶπε· Ποῦ ἔστιν ὅπου οὐχ ὡμολόγησεν ἑαυτὸν ὁμοούσιον τῷ Πατρὶ ὁ Υἱός; Ἄρ. εἶπεν· Εἰ δύνασαι τοῦτο δεῖξαι, Ἐν τῶν ἀμηχάνων. Ἀθ. εἶπεν· Οὐκ ἐξ ἀπόρων πορίσασθαι ἐπιχειροῦμεν, ἀλλ' ἐκ τῶν ἐναργῶν πραγμάτων τὴν ἀλήθειαν δεῖξαι θέλομεν. Μέμνησο, ὅτι ἔφης, ὅ ἐστι Θεός, τοῦτο οὐσία τυγχάνει, τουτέστιν ὁ Υἱός. Ναὶ ἢ οὔ; Ἄρ. εἶπε· Μηδαμῶς. Ἀθ. ἔφη· Πῶς οὖν ὁ Κύριος ἔφη· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν;[1]» Εἰ μὴ ὁ αὐτός ἐστι τῇ θεότητι τῇ πατρικῇ ὁ Υἱός, πῶς φάσκει, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν;» Ἆρα ψευδὲς εἶπεν ἢ ἀληθές; Μὴ γένοιτο! Ἡ ἀλήθεια οὐκ ἂν ψεῦδός ποτε ἐγένετο. Ἀλλὰ καὶ τό, «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα[2]», οὐδὲν ἕτερον παριστᾷ ἢ τὴν ἁγίαν θεότητα. Εἰ γὰρ ἄλλος τυγχάνει τῇ οὐσίᾳ ὁ Υἱὸς παρὰ τὸν Πατέρα, πῶς δύναται θεωρεῖσθαι ὁ Πατὴρ ἐν τῷ Υἱῷ; Εἰ μὲν γὰρ οὐ δύναται ἄγαλμα ἀνδροείκελον κατεσκευασμένον ἐκ ξύλων γνωρισθῆναι ἐν λιθίνῳ, ἐν τῷ οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ ὄντι· εἰ δὲ ἀδύνατον λίθον ἐν ξύλῳ γνωρισθῆναι, καὶ ξύλον ἐν λίθῳ κατὰ τὸν τῆς οὐσίας λόγον, λείπεται λοιπὸν γνωρίζεσθαι τὸν παμβασιλέα Θεὸν ἐν τῷ ὁμοουσίῳ αὐτοῦ Υἱῷ. Τὰ γὰρ ὁμοειδῆ, ᾧ εἰσιν ὁμοούσια, ὁρώμενα, παριστάνουσι τὴν γνώμην καὶ τῶν μὴ ὁρωμένων.

31. Ἄρ. εἶπε· Πῶς οὖν ὁ Κύριος λέγει· «Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστι;» Μὴ δύναται ἄμπελος καὶ γεωργὸς εἶναι ὁμοούσια; Ἀθ. εἶπε· Μὴ ἀκρωτηρίαζε τὴν Κυριακὴν φωνήν, ἀλλ', ὡς κεῖται, ἀνάγνωθι. «Ἐγώ εἰμι», φησὶν ὁ Κύριος, «ἡ ἄμπελος ἡ ἀληθινή, ὑμεῖς τὰ κλήματα, ὁ Πατήρ μου ὁ γεωργός ἐστι.[3]» Εἰπέ μοι οὖν· εἰ ὁ Υἱὸς ὁμοούσιος τῷ Πατρὶ οὐκ ἔστιν ἐκ τοῦ παραδείγματος τῆς ἀμπέλου καὶ τοῦ γεωργοῦ, ἄρα τοῖς ἀνθρώποις ὁμοούσιον αὐτὸν φῄς; Ἄρ. εἶπε· Μὴ γένοιτο! Ἀθ. εἶπε· Πραέως ἄκουσον, καὶ πρὸς ταῦτα ἀπόδος μοι λόγον· Ἡ ἄμπελος καὶ τὰ κλήματα ὁμοούσια τυγχάνει, ναὶ ἢ οὔ; Ἄρ. εἶπεν· Ἀραρότως ταῦτα οὕτως ἔχει. Ἀξιῶ συντόμως καὶ τῇ τούτου κεφαλαίου σαφηνείᾳ ἐν τάχει πέρας ἐπιθεῖναι θέλησον, ὅπως κἀμὲ ποιήσῃς τοιοῦτον, οἷος καὶ σὺ τυγχάνεις. Ἀθ. εἶπεν· Ἐὰν μὴ πρότερον ὅνπερ ἐπερωτῶ ἀποδῷς μοι λόγον, οὐ μὴ λάβῃς τὸ αἴτημα. Ἄρ. εἶπεν· Ὃ θέλεις λέγε, καὶ εἴ τι ἐγχωρεῖ, κατὰ τὸ δυνατὸν ἀποκρίνομαι. Ἀθ. εἶπε· Δεξιὰ καὶ βραχίων περὶ Θεοῦ γέγραπται τίνος ἕνεκεν; Ἄρ. εἶπε· Τὰ τοιαῦτα πρὸς τὰς ἐπιβολὰς

---

1. Ἰω. 10, 30. 2. Ἰω. 14, 9. 3. Ἰω. 15, 1.

καὶ τὰς ἀκολουθίας νοοῦμεν. Ἐὰν λέγῃ κατὰ τό, «Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με [1]», γινώσκομεν τὸ δημιουργικὸν τοῦ Θεοῦ ἐνταῦθα. Ὁπότ' ἂν δὲ λέγῃ, «Ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; [2]» φανερόν, ὅτι περὶ Υἱοῦ φάσκει. Πρὸς δὲ τούτοις καὶ τό, «Δεξιὰ Κυρίου ἐποίησε δύναμιν [3]», ὁμολογουμένως περὶ Υἱοῦ σημαίνει, δι' οὗ τὰ πάντα γέγονεν. Ἀθ. εἶπε· Βραχίων, οὗ ἐστι βραχίων, ὁμοούσιος τυγχάνει, ναὶ ἢ οὔ; Ἄρ. εἶπεν· Οὕτως ἔχει. Ἀθ. εἶπε· Καὶ ἡ δεξιά, οὗ ἐστι δεξιά, ὁμοούσιός ἐστι, ναὶ ἢ οὔ; Ἄρ. εἶπεν· Οὕτως ἔχει. Σὺ δὲ τί φῄς με ἀίδιον συντίθεσθαι τὸ Θεῖον; Οὐκ ἐπηκροάσω ποτὲ Κλήμεντος τοῦ παρακολουθήσαντος Πέτρῳ τῷ ἀποστόλῳ, ὃς καθαιρεῖ τὴν τοιαύτην δόξαν; Ἀθ. εἶπε· Μέμνησο τῶν εἰρημένων, ὦ ἄνθρωπε, καὶ μὴ πλανῶ. Ἐγὼ γὰρ ἁπλοῦν, ἀσύνθετον, ἀπερίγραφον τὸ Θεῖον σέβομαι, μεμαθηκὼς ἐκ τῶν ἱερῶν καὶ θείων Γραφῶν, καὶ τῶν καθεξῆς διαδεξαμένων τὴν ἐπισκοπήν. Οὐδενὸς οὖν ἑτέρου ἕνεκεν ἡ Γραφὴ βραχίονα καὶ δεξιὰν καλεῖ τὸν Υἱόν, ἢ ἵνα εὐσεβῶς νοῶμεν ὁμοούσιον ὄντα τὸν Υἱὸν τῷ Πατρί, διὰ τὸ ἀνεγχώρητον ἐπ' ἀνθρώπου ἐκλαβεῖν τινα ἑτερούσιον τὸν βραχίονα, ἢ τὴν δεξιὰν καὶ τὸν δάκτυλον, ὡς ἕκαστον αὐτῶν διαφέρειν πέφυκεν. Ἄρ. εἶπε· Σύμφημι ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρί· ἀπόδος μοι λοιπὸν λόγον περὶ τῆς ἀμπέλου.

32. Ἀθ. εἶπε· Δύο γενεῶν ἀμπέλου εἴωθε μνημονεύειν ἡ θεία Γραφή, μίαν μὲν χρηστὴν καὶ εὐφραντικήν τε καὶ χαροποιοῦσαν καρδίαν ἀνθρώπου, τὸν Κύριον Ἰησοῦν Χριστόν· θατέραν δὲ τὸν διάβολον, λύσσαν καὶ ἰὸν ἀποστάζοντα, κατὰ τὸ γεγραμμένον·« Ἡ γὰρ ἄμπελος αὐτῶν ἐκ Σοδόμων, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας· ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας· ὁ οἶνος αὐτῶν θυμὸς ἀσπίδων ἀνίατος.[4]» Καὶ ὁ λαὸς δὲ ἄμπελος ὠνομάσθη, καὶ δίκαιοι πολλαχοῦ ἐκλήθησαν ἀμπελῶνες, ἁπλῶς μέντοι καὶ ἀπολελυμένως, χωρὶς τοῦ, «Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή.[5]» Ἵνα μὴ οὖν καὶ ὁ Σωτὴρ ἐκ τῆς ἐπωνυμίας προσλογισθῇ ταῖς προειρημέναις ἀμπέλοις, οὐ λέγω τῷ διαβόλῳ, ἀλλ' οἷον τῇ μετενεχθείσῃ ἐξ Αἰγύπτου καὶ φυτευθείσῃ, ἵνα ποιήσῃ καρπὸν σταφυλῆς, ἐποίησε δὲ ἀκάνθας, εἶπε μετὰ προσθήκης· «Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή», ἧς ὁ καρπὸς ζωή, χαρά, εἰρήνη, ἀγάπη, δικαιοσύνη, πίστις εἰλικρινεστάτη, γνῶσις, εὐσέβεια, ἁγνεία, σεμνότης, φιλανθρωπία, πραότης, ἐγκράτεια, καὶ τὰ παραπλήσια τούτοις. Ἐπειδὴ καὶ τὰ κλήματα, τῆς αὐτῆς εὐγενείας τῆς ἀληθινῆς ἀμπέλου τυγχάνοντα, δεῖ ὅμοιον καρπὸν προβάλλεσθαι, ἧς εἰσιν ἀμπέλου κλήματα. Τοὺς ἀποστόλους οὖν ἔφη, ἅμα παρασκευάζων αὐτοὺς ἐμμένειν ἐν τῇ πίστει, καὶ μὴ ἀποσκιρτήσαντας ἐκ τῆς ἀληθείας, ὥσπερ Ἰούδας, ἀκάρπους ἀπομεῖναι. Οἵτινες γὰρ ἐξολισθήσουσιν ἐκ τῆς τοῦ Κυρίου ἀγάπης καὶ πίστεως, δίκην κλημάτων ἀποτεμνόμενοι,

---

1. Ψαλμ. 118, 73. 2. Ἡσ. 53, 1. 3. Ψαλμ. 117, 16. 4. Δευτ. 32, 32-33. 5. Ἰω. 15, 1.

ῥίπτονται ἔξω τῶν θείων. Νηφαλίους οὖν καὶ προθύμους προτρέπει γίνεσθαι τοὺς μαθητὰς διὰ τοῦ φῆσαι· «Ὁ Πατήρ μου γεωργός ἐστιν», ὡσανεὶ ἔλεγεν· Εἰδέναι ὑμᾶς βούλομαι, ὅτι, εἴ τινα ὁ Πατὴρ ὁ ἐμὸς γεωργεῖ, ὁ τοιοῦτος τὸν ἐμὸν καρπὸν ἀποδίδωσι μὴ ἐῶντος καρπὸν ἀλλότριον ἐν τοῖς ἀληθινοῖς κλήμασι τῆς ἀμπέλου βλαστῆσαι. Ἐμπεριπατῶν γὰρ ἐν τῷ ἀμπελῶνι, τουτέστιν ἐν τοῖς τῆς ψυχῆς ταμείοις, πάντα τὰ σαθρὰ καὶ μανιώδη περιαιρεῖ, πρὸς τὰ μὴ ὑλομανοῦσαν διαφθείρειν ὅνπερ ὁ γεωργὸς ποθεῖ προβαλέσθαι καρπόν. Ἀλλ' ἐπειδὴ ὁ τῆς αἰσθητῆς ἀμπέλου λόγος δύναται συμβαλέσθαι ἡμῖν εἰς τὸ ζητούμενον, ἀρκτέον ἐντεῦθεν ἐκθέσθαι καὶ περὶ τούτου τὴν ἀφήγησιν.

33. Ἐπειδήπερ καταλειφθεῖσα πρὸ τοῦ χειμῶνος ἡ ἄμπελος εὐθαλής τε καὶ εὐκλήματος ἔστηκε καρτερῶς πρὸς τὰς ἐφόδους τοῦ χειμῶνος, ὁ δέ, τῇ ἀπηνεστάτῃ προσβολῇ τοῦ κρύους αὐτοῦ προσελυληθώς, ἀπομαραίνειν ἄρχεταί τινα τῶν φύλλων αὐτῆς, αὐτὰ δέ, διὰ τὴν σαθρότητα ἀτονοῦντα, ἐκπίπτουσιν ἀπὸ τῶν ὑψωμάτων, ἀπὸ τῶν ἀνωτέρω ἐπὶ τὰ βαθύτερα φερόμενα, εἶτα μένει ἡ ἄμπελος εὐκλήματος ἀντέχουσα τῇ φορᾷ τοῦ χειμῶνος. Εἰ δὲ τῇ παραμονῇ τῆς ἀκράτου ψυχρότητος κατέβαλέ τινα τῶν κλημάτων, ὅμως τῇ ἐνστάσει ἡ ἄμπελος σὺν τοῖς περιλειφθεῖσιν αὐτῇ ὑγιεινοῖς κλήμασιν ἐπεραίωσε τὸν χειμῶνα, καὶ ἐκ τοῦ χειμερινοῦ καμάτου ἐξέφυγε. Φθάσασα δὲ ἐπὶ τὸ ἔαρ, ὅπερ ἐστὶ νέον ἔτος, δοκεῖ διαναπαύεσθαι· αἰφνιδίως δὲ ὁ γεωργὸς ἐπιστὰς αὐτῇ, ξίφος ἐπιφερόμενος, πρῶτον μέν, ἀκριβῶς κατοπτρισάμενος ἅπαντα τὰ κλήματα, ἄρχεται τὰ βλαβέντα ἐκ τοῦ χειμῶνος ἐκτέμνειν, ἔπειτα καὶ τὰ ὑγιαίνοντα ἀπὸ τρίτου ἢ τετάρτου ὀφθαλμοῦ περιαιρεῖν. Ἡ δὲ ἄμπελος, γυμνωθεῖσα καὶ πληγεῖσα τῷ ξίφει, ἔστηκε μετέωρος εἰς τὸν οὐρανὸν ἀποβλέπουσα, ἅμα δακρύουσα ἄχρι τῆς τρίτης ἡμέρας. Παρακλήσεως δὲ τυγχάνουσα ἐκ τῆς τοῦ Θεοῦ προνοίας, παυσαμένη τῶν δακρύων, αἰφνιδίως πολὺν ἀριθμὸν καὶ ὄχλον κλημάτων βλαστήσασα, ἡ αὐτὴ ἀναφαίνεται οἵα ἦν καὶ πρότερον, μᾶλλον δὲ καὶ ἐνδοξοτέρα· Ἐκ δὲ τῶν προαποδεδομένων ἔσται σοι σαφέστερα καὶ τὰ ἑπόμενα περὶ τῆς ἀμπέλου τῆς ἀληθινῆς.

34. Ὁ οὖν Κύριος τρόπον ἀμπέλου εὐκληματου καὶ συσκίου ἐπέχων, διὰ τὸ πλῆθος τῶν μαθητῶν καὶ τῶν πέριξ ὄχλων ἐπιπορευομένων πρὸς αὐτὸν βοηθείας ἕνεκεν· ὡς εἶναι πλήθη ἀνείκαστα, πιστεύοντα εἰς αὐτόν· καὶ τῷ μὲν πόθῳ εἰς αὐτὸν ἀχωρίστως ἔχειν αὐτούς, τρόπον κλημάτων συνόντων αὐτῷ, τινῶν δὲ καὶ ὠφελείας χάριν πνευματικῆς μὴ βουλομένων ἐκτὸς αὐτοῦ τυγχάνειν, ἀλλὰ συνεῖναι αὐτῷ, ἑτέρων δὲ βουλομένων ἰάσεως τυχεῖν, ἄλλων δὲ ἀκηκοότων, ὅτι Χριστὸς ἥκει, καὶ συνεληλυθότων κατὰ τὸ αὐτό, βουλομένων θεάσασθαι τὸ καινότερον θέαμα, Θεὸν ἐν σώματι ἀνθρώποις συναναστρεφόμενον. Καὶ ἁπλῶς ἦν ἅπαντα χαρᾶς γέμοντα τῆς παρουσίας τοῦ Κυρίου γενομένης· οὗ δ' ἂν ἐβάδιζεν, ὥσπερ εὐστεφὴς ἄμπελος διὰ τὰς μυριάδας

τῶν συμπορευομένων αὐτῷ ὄχλων ἦν ὁρώμενος πόθῳ τῷ πρὸς αὐτόν, ἁπάντων συνηνωμένων αὐτῷ. Ἀρξαμένων δὲ χειμερινῶν πευμάτων ἐκ τῶν ἀκρωτηρίων καταφυσᾶν πρὸς δοκιμὴν τῶν συμπορευομένων αὐτῷ ὄχλων, ἀθρόως φύλλων δίκην μαραινομένων, ἀπέπιπτον οὐκ ὀλίγοι, ἧς εἴχοντο ἀμπέλου ζωτικῆς, καὶ τῶν μὲν διὰ φόβον τῶν ἀρχιερέων, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται, ἐξαρνουμένων τὴν ἑαυτῶν ζωήν, ὥσπερ καὶ νῦν ὁρῶμεν γινόμενα τὰ αὐτὰ πράγματα· ἠγάπησαν γάρ, ὡς οἱ τότε, καὶ νῦν τῆς ὑποκρίσεως ἄνθρωποι τὴν δόξαν τῶν διωκτῶν τῆς Ἐκκλησίας ὑπὲρ τὴν δόξαν τοῦ Θεοῦ εἵλοντο· ἑτέρων δὲ μὴ συναισθομένων τῶν θείων καὶ πνευματικῶν ῥημάτων τοῦ Κυρίου εἰς τὰ ὀπίσω ἐπιστραφέντων, αἰτίαν τῷ εὐεργέτῃ καὶ ψόγον προσαψάντων, καὶ λεγόντων, «Τίς δύναται αὐτοῦ ἀκούειν;[1]» Ὅπερ καὶ ἐπὶ τοῦ ἡμετέρου καιροῦ πράττουσιν οἱ μὴ βουλόμενοι συνοδεύειν τῇ ἀληθείᾳ, διὰ τὸ παρέπεσθαι θλίψεις καὶ πειρατήρια τῇ πίστει. Φασὶ γάρ, Τίς δύναται φυλάξαι τὴν παράδοσιν τῶν ἐντολῶν τοῦ Κυρίου καὶ τῆς πίστεως;

35. Ἔτι μὴν καὶ τὴν ἀπιστίαν τοῦ Ἰούδα ἡ σφοδρότης τοῦ χειμῶνος ἤλεγξεν, ὡς καὶ νῦν, φιλίᾳ κόσμου κρατηθέντες οἵ ποτε μαθηταὶ ὄντες καὶ φίλοι καὶ συνοδοιπόροι τοῦ Χριστοῦ, κατὰ τοῦ Ἰησοῦ συνόδους ἀθεμίτους συγκροτοῦσιν οἱ καὶ τὸ γαζοφυλάκιον πιστευθέντες. Οὐκ ἠγνόει αὐτῶν τὴν σαθρότητα, ἀλλ' ἵνα παρασκευάσῃ αὐτοὺς τὰ Δεσποτικὰ χρωμένους ἑτοιμοτάτους εἶναι ὑπὲρ τοῦ Δεσπότου ἀνδρίζεσθαι, ἢ κατὰ τοῦ βασιλέως αὐτῶν στρατεύεσθαι προφάσει φιλίας κοσμικῆς. Οἱ τοιοῦτοι, κλημάτων δίκην ἀγενεστάτων καὶ ἀκάρπων ἐπέχοντες, τεμνόμενοι δὲ πρὸς τοῦ γεωργοῦ, κατάβρωμα πυρὸς αἰωνίου γίνονται. Ὅμως τῶν χειμώνων ἐπὶ πολὺ προσπελασάντων τῇ ἀληθινῇ ἀμπέλῳ, λέγω δὴ τῷ Κυρίῳ Ἰησοῦ, πὴ μὲν βουλομένων λιθάσαι αὐτὸν Γραμματέων τε καὶ Φαρισαίων· φοβηθέντες δὲ μὴ ἀναιρεθῶσι πρὸς τῶν ὄχλων τῶν τὸν Κύριον φιλούντων, ἐπαύσαντο· πὴ δὲ βουλομένων συλλαβέσθαι αὐτόν, καὶ τοῦ Ἰησοῦ μὴ συγχωρήσαντος αὐτοὺς κρατῆσαι αὐτόν, ἕως ἡ προωρισμένη ὑπ' αὐτοῦ τοῦ Κυρίου πρὸ τῶν αἰώνων ὥρα καὶ ἡμέρα παραγένηται, ἐν ᾗ ἔδει αὐτὸν παθεῖν. Ἐν ἄλλῳ δὲ καιρῷ θελόντων τινῶν κατακρημνίσαι αὐτόν, καὶ αὐτοῦ ἐν εἰρήνῃ διὰ μέσου αὐτῶν διεξεληλυθότος[2], καὶ μυρία ἦν τὰ ἐπερχόμενα πειρατήρια, ἅ, προσβάλλοντα καὶ κωλυόμενα, εἰς τὸ μηδὲν ἐρχόμενα ἐχώρουν. Ἐκεῖ δὲ ἡ ἀρχὴ τοῦ νέου ἔτους, ᾧ καιρῷ ἔδει τὸ Πάσχα θύεσθαι κατὰ τὰ θεσπισθέντα ὑπὸ τοῦ Κυρίου, λύειν μὲν πάντα σύνδεσμον ἀδικίας, προστάγματος θείου φοιτήσαντος πρὸς αὐτούς, ἐλεημοσύναις δὲ ἐξιλασκομένους ἑαυτοὺς προσοικειοῦν τῷ Θεῷ, μὴ ἐχθραίνειν δὲ πρὸς τὸν πλησίον, μήτε μὴν ζητεῖν κατὰ κακά τινος ἀνθρώπου διὰ τὸ κοινὸν τοῦ γένους, ἀλλ' εἰρήνῃ καθαρωτάτους ὄντας κελεύει προσάγειν τὴν λατρείαν.

1. Ἰω. 6, 60. 2. Πρβλ. Λουκ. 4, 30.

36. Ὡς ἐν καιρῷ οὖν εἰρήνης καὶ ἑορτῆς ἥκει ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα σὺν τοῖς μαθηταῖς αὐτοῦ, οὐχ ὡς ἀγνοῶν τὰ μέλλοντα αὐτῷ συμβαίνειν, ἀλλὰ καί γε σφόδρα γινώσκων. Ἀμέλει γ' οὖν καὶ τοῖς μαθηταῖς προειρήκει τὰ ἑπόμενα· «Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται εἰς τὰς χεῖρας τῶν πρεσβυτέρων καὶ τῶν γραμματέων, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ.[1]» Ἵνα οὖν τὸ ἄδικον τοῦ παρανόμου συναθροίσματος τῶν Ἰουδαίων διαφανῇ, εἰσελήλυθεν ἡ εἰρήνη εἰς Ἱεροσόλυμα. Οἱ δὲ τῆς εἰρήνης ἀλλότριοι ἑωρακότες διεταράχθησαν· ἐχθρὸν γὰρ πολεμίοις καὶ ἀνδροφόνοις εἰρήνη. Χαίρειν γὰρ μᾶλλον πεφύκασι τοῖς κακοῖς ἤπερ τοῖς ἀγαθοῖς ἔργοις καὶ τῇ καρποφορίᾳ τῆς εἰρήνης. Οἱ δὲ ἐπιτηρησάμενοι, ἄφνω ἐπιστάντες ξιφήρεις τῷ τόπῳ, ἔνθα ἦν σὺν τοῖς μαθηταῖς ὁ Ἰησοῦς, κατοπτρισάμενοι ἅπαντες, ἐν πρώτοις ἐπιβάλλουσι τὰς μιαρὰς χεῖρας αὐτῶν ἐπ' αὐτόν, ἔτι τῶν μαθητῶν αὐτοῦ συνεστώτων αὐτῷ. Ὁ δέ φησιν εἰρηνικῶς τοῖς μιαιφόνοις· «Εἰ ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν.[2]» Τῶν δὲ μαθητῶν ἑωρακότων τὰ δύσφορα πειρατήρια, μὴ παρούσης αὐτοῖς τῆς δυνάμεως τοῦ ἁγίου Πνεύματος, καταλιπόντες αὐτὸν τὸν διδάσκαλον καὶ Κύριον φυγῇ ἐχρήσαντο. Οἱ δὲ οἰκεῖοι τοῦ Σατανᾶ, συλλαβόμενοι τὸν Ἰησοῦν, ἄγουσιν ἐπὶ τὸν Κρανίου τόπον, εἰς τὸ σταυρῶσαι αὐτὸν ἐκεῖ, ἅπαντα ἐκπληρώσαντες τὰ πρὶν ἐπ' αὐτῷ γεγραμμένα, καὶ ἀναρτήσαντες, κατέπηξαν αὐτόν, ὡς ἐπὶ χάρακι ἄμπελον, ἐπὶ τοῦ σταυροῦ. Ὁ δὲ καταλειφθεὶς μόνος ἐπὶ τοῦ σταυροῦ, ὥσπερ δικλήματος ἢ τρικλήματος ἐκπετάσας κατὰ μὲν τοῦ πλαγίου τὰς χεῖρας, κατὰ δὲ τοῦ ὀρθοῦ κεφαλὴν σὺν θώρακι ἅμα ποσί. Περιαιρεθείσης δὲ τῆς κόμης ἁπάσης τῶν λοιπῶν κλημάτων, πληγεὶς πρὸς τῶν ἥλων καὶ τῆς λόγχης, ἐδάκρυε τῷ ἁγίῳ αἵματι κρουνηδόν. Αἰφνιδίως δὲ ἀνέστη τριήμερος, μηδὲν μειωθείς, ὅπερ ἦν τὸ πρίν, μᾶλλον δὲ ἐνδοξότερος ἐκφανείς, πίστει πληροφορήσας τὰς καρδίας τῶν μαθητῶν εἶναι αὐτὸν τὴν ζωήν. Πολὺν δὲ ἀριθμὸν βλαστήσας, ὄχλον μαθητῶν μετὰ τὴν ἀνάστασιν, ἢ τὸ πρίν, οὐκ ἔτι ἐν Ἰουδαίᾳ μόνον, ἀλλ' «ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης· ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ.[3]» Αὕτη ἡ πραγματεία τῆς ἀληθινῆς ἀμπέλου κατὰ τὸ δυνατὸν εὐσεβῶς νενόηται.

37. Ἄρ. εἶπε· Σφόδρα ὀρθῶς ἔχειν φημί. Ἔτι δὲ ὑπολέλειπταί μοι περὶ τῆς ζητήσεως τοῦ ἁγίου Πνεύματος· περὶ γὰρ τοῦ Υἱοῦ συνομολογῶ κἀγὼ τὸ ἴσον αὐτὸν εἶναι τῷ Πατρὶ κατὰ πάντα, ἐκτὸς τοῦ παντοκράτορα αὐτὸν εἶναι. Ἀθ. εἶπεν· Οὐδὲν ὡμολογήσας τῶν τῇ εὐσεβείᾳ ἀνηκόντων. Ἄρ. εἶπε· Τίνος ἕνεκεν; Ἀθαν. εἶπεν· Ἴσος τυγχάνει τοῦ ἰδίου Πατρὸς ὁ Υἱὸς ἀραρότως, καὶ πάντων Κύριός ἐστιν, ὧν κυριεύει ὁ Πατὴρ αὐτοῦ. Ἄρ. εἶπεν· Ἐγὼ περὶ παντοκρατορίας

1. Ματθ. 20, 18. 2. Ἰω. 18, 8. 3. Ψαλμ. 79, 11.

ἔφην, οὐ περὶ τοῦ κυριεύειν τὸν Υἱὸν ἁπάντων, ὧν κυριεύει ὁ Πατὴρ αὐτοῦ. 'Αθ. εἶπε· Παντοκράτωρ τί ἐστιν; Ἄρ. εἶπεν· Ἐκ τοῦ πάντων κρατεῖν. 'Αθαν. εἶπεν· Ὁ Υἱὸς οὖν κατὰ σὲ πάντων οὐ κρατεῖ; Ἄρ. εἶπε. Καλῶς ἔφης σὺν τοῖς λοιποῖς καὶ τοῦτο· πάντων γὰρ κρατεῖ καὶ παντοκράτωρ ἐστὶν ὁ Υἱός, ὥσπερ καὶ ὁ Πατήρ. Ὁπότε μιᾶς οὔσης οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τῆς θεότητος, καὶ μία παντοκρατορία τυγχάνει. Λοιπὸν περὶ τοῦ ἁγίου Πνεύματος ζητήσωμεν· ἐπειδὴ μάλιστα ὡρίσω σὺ ἐν ἀρχῇ ὁμοούσιον αὐτὸ εἶναι Πατρὶ καὶ Υἱῷ, ἐγὼ δὲ ἀντιλέγω, ἔχων τὴν ἀπόδειξιν ἐκ τῶν ἁγίων Γραφῶν, ὅτι κτιστὸν τυγχάνει· καὶ διὰ συντόμου ἐρῶ τὴν περὶ τούτου παράστασιν, ἐν τῷ τὸν Ἰωάννην διισχυρίσασθαι φάσκοντα, πάντα διὰ τοῦ Υἱοῦ γεγενῆσθαι, μὴ συμπαραλαβόντα καὶ τὸ Πνεῦμα ἐν τούτῳ τῷ λόγῳ, ἔτι μὴν καὶ ἀποστελλόμενον πρὸς τοῦ Πατρὸς ἐκ τῶν οὐρανῶν πρὸς βοήθειαν τῶν ἀποστόλων· τὸ δὲ ἀπὸ τόπου εἰς ἕτερον τόπον μετιὸν μεταβατικῆς οὐσίας τυγχάνει. Ἐκ τούτου καταδήλου ὄντος κτιστῆς αὐτὸν φύσεως εἶναι, καὶ οὐκ ἀκτίστου, τῆς μακαρίας οὐσίας ἐκείνης Πατρὸς καὶ Υἱοῦ λεγομένης, καὶ περιεχούσης τὰ ὅλα, καὶ πανταχοῦ παρούσης κατ' οὐσίαν· καθὼς προαποδέδοται ὑπὸ σοῦ ἐν τοῖς ἔμπροσθεν εἰρημένοις, κἀμοῦ συνευδοκήσαντος οὐ σοί, ἀλλὰ τῇ ἀληθείᾳ· ἔτι δὲ καὶ τοῦ Θεοῦ λέγοντος διὰ τοῦ προφήτου· «Ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα [1]», οἷς ἐγὼ νομίζω μὴ δύνασθαί σε ἀντειπεῖν.

38. 'Αθ. εἶπε· Γέγραπται· «Γένεσθε ἅγιοι, ὅτι ἐγὼ ἅγιος ἁγιάζων ὑμᾶς.[2]» Καὶ πάλιν ὁ Σωτὴρ πρὸς τὸν ἑαυτοῦ Πατέρα ὑπὲρ τοῦ ἁγιασθῆναι τοὺς μαθητὰς ἔφη οὕτω· «Πάτερ, ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου·[3]» καὶ πάλιν περὶ ἑαυτοῦ ὁ Σωτήρ φησιν· «Ἐγώ εἰμι ἡ ἀλήθεια.[4]» Κατὰ ταῦτα ἡ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ θεότης ἐστὶν ἡ ἁγία καὶ ἁγιοποιός, ἡ ἁγιάζουσα πάντα τὰ λογικά, τὰ καταξιούμενα ἐξ αὐτεξουσίου γνώμης τε καὶ σπουδῆς τὴν ἁγίαν δέξασθαι καὶ μακαρίαν οὐσίαν εἰς κοινωνίαν ἁγιασμοῦ. Εἰ οὖν οὐκ ἔστι τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ οὐσίας τὸ ἅγιον Πνεῦμα τίνος ἕνεκεν συνηρίθμησεν αὐτὸ ὁ Υἱὸς τοῦ Θεοῦ ἐν τῷ συμβόλῳ τοῦ ἁγιασμοῦ; Φησὶ γὰρ ὁ Κύριος πρὸς τοὺς μαθητάς· «Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.[5]» Εἰ οὖν πάντα τὰ ἔθνη τὰ πιστεύοντα καὶ ἁγιαζόμενα ἁγιάζονται τῇ τρισμακαριωτάτῃ ὀνομασίᾳ, δῆλόν ἐστιν ὅτι ἐκ τοῦ ἅγιον αὐτὸ εἶναι κατ' οὐσίαν, καὶ ἁγίους ποιεῖν πάντας τοὺς προσβάλλοντας αὐτοῦ τῇ κοινωνίᾳ, καθώς φησιν ὁ Ἀπόστολος πρὸς οὓς ἔφη· «Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι αὐτοῦ τῷ ἁγίῳ.[6]» Εἰ δὲ οὐκ ἔστι τῆς τοῦ Θεοῦ καὶ Πατρὸς καὶ Υἱοῦ ὑποστάσεως, πάλιν

---

1. 'Αμ. 4, 18. 2. Λευϊτ. 11, 44. 'Ιεζ. 20, 12. 3. 'Ιω. 17, 17. 4. 'Ιω. 14, 6. 5. Ματθ. 28, 19. 6. Α' Κορ. 6, 11.

φημί, πῶς συνηριθμήθη Πατρὶ καὶ Υἱῷ· ὡς μὴ δυναμένης τῆς τοῦ Πατρὸς καὶ Υἱοῦ θεότητος ἐπαρκέσαι πρὸς ἁγιασμὸν τοῖς πιστοῖς, προσέλαβε τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας εἰς συμπλήρωσιν ἁγιασμοῦ, τὸν οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ ὄντα; Εἰ δὲ τοῦθ' οὕτω νομισθείη, πῶς φαμεν ἀπροσδεὲς τὸ Θεῖον; αὐτοτελές, μηδαμῶς χρῇζον παρ' ἑτέρου τινός τι τῶν ὁ προσδεόμενος τοῦ εὐεργετεῖν δυναμένου.

39. Ἄρ. εἶπεν· Εἰ τῆς ἀιδίου θεότητος ἦν τὸ Πνεῦμα ὁμοούσιον, πάντως οὖν πανταχοῦ κατ' οὐσίαν παρῆν, καὶ οὐκ ἀποστελλόμενον ἀπὸ τόπου εἰς ἕτερον τόπον ἐπορεύετο. Ἀθ. εἶπεν· Οἱ ἅγιοι ἄγγελοι τὸ Πνεῦμα ἔχουσι; ναὶ ἢ οὔ; Ἄρ. εἶπε· Καὶ πάνυ. Ἀθ. εἶπε· Διαπαντὸς συνὸν αὐτοῖς συγχάνει, ἢ πρὸς καιρὸν συνῆν καὶ τὸ ἅγιον Πνεῦμα ταῖς ἁγίαις δυνάμεσιν; ἄρα πὴ μὲν λέξεις τοὺς ἀγγέλους ἁγίους, πὴ δὲ οὐχ ἁγίους; Τῇ μὲν γὰρ παρουσίᾳ τοῦ ἁγίου Πνεύματος ἅγιοι τυγχάνουσιν, ἐν τῇ ἀπουσίᾳ δὲ αὐτοῦ δῆλόν ἐστι μὴ εἶναι ἁγίους αὐτοὺς κατὰ τὸ εἰρημένον πρὸς τοῦ Θεοῦ· «Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου μετὰ τῶν ἀνθρώπων τῆς γενεᾶς ταύτης, διὰ τὸ εἶναι αὐτοὺς σάρκας.[1]» Καὶ Παῦλος ὁ ἀπόστολός φησιν· «Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.[2]» Εἰ οὖν ἡ τῶν κακῶν πράξεων αἰτία γίνεται μὴ συνεῖναι τὸ Πνεῦμα τοῖς ἁμαρτάνουσιν, ἐκ τοῦ μὴ εἶναι καὶ ἐνοικεῖν ἔν τισι τὸ ἅγιον Πνεῦμα, δείκνυται μὴ εἶναι Χριστοῦ. Ἄρα οὖν ἅγιοι ἄγγελοι ἁμαρτίας διάκονοι, εἰ μὴ διαπαντὸς ἔχουσι τὸ Πνεῦμα τὸ ἅγιον. Πῶς οὖν ἀδιαλείπτως προσέχουσι τῇ δόξῃ τοῦ Θεοῦ, εἰ μὴ ἅγιοι καὶ κοινωνοὶ Πνεύματος ἁγίου εἶναι διαπαντός; Ἄρ. εἶπε· Διαπαντὸς ἔχουσιν αἱ ἅγιαι δυνάμεις τὸ Πνεῦμα. Ἀθ. εἶπεν· Οἱ ἅγιοι Πατέρες οἱ ἀπ' αἰῶνος εὐαρεστήσαντες τῷ Θεῷ συνὸν ἔσχον τὸ ἅγιον Πνεῦμα, καὶ νῦν ἔχουσιν αὐτό; ναὶ ἢ οὔ; Ἄρ. εἶπε· Καὶ ἔσχον καὶ ἔχουσι πάντες οἱ ἅγιοι τὸ ἅγιον Πνεῦμα ἀχωρίστως. Ἀθ. εἶπε· Τοῖς ἀποστόλοις συνῆν τὸ ἅγιον Πνεῦμα ἐν σαρκὶ οὖσι; ναὶ ἢ οὔ; Ἄρ. εἶπεν· Ἀθέμιτόν ἐστι φάναι μὴ συνεῖναι τὸ ἅγιον Πνεῦμα τοῖς ἀποστόλοις. Ἀθ. εἶπεν· Ἅμα πάντες ἐπορεύοντο κηρύττοντες τὴν βασιλείαν τῶν οὐρανῶν, ἢ διεσπάρησαν εἰς τὰ δώδεκα μέρη τοῦ κόσμου; Ἄρ. εἶπεν· Ἐχωρίσθησαν ἀπ' ἀλλήλων σαρκί, πρὸς τὸ μαθητεῦσαι πάντα τὰ ἔθνη εἰς τὴν ἐν Χριστῷ πίστιν. Ἀθ. εἶπεν· Εἰ οὖν ἀγγέλοις σύνεστι τὸ ἅγιον Πνεῦμα, καὶ ταῖς ἁγίαις ψυχαῖς τῶν Πατέρων τῶν εὐαρεστησάντων τῷ Θεῷ συνὸν τυγχάνει τὸ ἅγιον Πνεῦμα, καὶ τῶν ἀποστόλων διαστάντων μακραῖς διαστάσεσιν ἀπ' ἀλλήλων, πρὸς τὸ κηρύξαι τὴν βασιλείαν τῶν οὐρανῶν, παρῆν αὐτοῖς τὸ ἅγιον Πνεῦμα· ἄρα τὰ σύμπαντα πληροῖ πανταχοῦ παρὸν κατ' οὐσίαν, ὥσπερ ὁ Θεὸς ὁ Πατήρ, καὶ ὁ μονογενὴς Υἱὸς αὐτοῦ.

40. Ἄρ. εἶπε· Δεδόσθω κατ' οὐσίαν πανταχοῦ παρεῖναι τὸ ἅγιον Πνεῦμα· διὰ τί οὖν ὁ προφήτης ἐκ προσώπου τοῦ Θεοῦ ἔλεξεν· «Ἐγὼ

1. Γεν. 6, 3. 2. Ῥωμ. 8, 9.

Κύριος ὁ Θεὸς ὑμῶν, στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα[1]», εἰ μὴ ἦν κτιστὴ δύναμις; 'Αθ. εἶπεν· 'Αεὶ τὸ Πνεῦμα τὸ ἅγιον κτίζεται, ἢ ἅπαξ ἐκτίσθη κατὰ σέ; "Αρ. εἶπε· Μὴ παρὰ τὸν ὀρθὸν νοῦν πεύσεις πρόσαγε. Πρὸ πάντων τῶν αἰώνων φημὶ ἐκτίσθαι τὸ Πνεῦμα. 'Αθ. εἶπεν· 'Ο προφήτης εἶπε, «κτίζων» ὡς διαπαντὸς κτίζοντος τοῦ Θεοῦ ἡ τοῦ προφήτου δηλοῖ φωνή. "Αρα οὖν οὐ περὶ τοῦ ἁγίου Πνεύματος φάσκει τὸ «κτίζων», ἀλλὰ περὶ πνοῆς ἀνέμων πρὸς ἀνάκτησιν ἁπάσης τῆς κτίσεως. "Εσται δέ σοι σαφεστάτη ἡ περὶ τούτου γνῶσις, ἐάν, λαβὼν τὸν προφήτην, ἐντύχῃς ἐκ τῶν ἑπομένων. Εἰ γάρ, καθὼς ἔδωκας, πρὸ πάντων τῶν αἰώνων ἔκτισται τὸ Πνεῦμα, εἰρήκει ἄν, 'Εγὼ ὁ Θεὸς στερῶν βροντὴν καὶ κτίσας Πνεῦμα. Νῦν δὲ οὐχ οὕτως ἔφη. "Αρ. εἶπε· Παρατετηρημένως οὖν τοῦτο καλῶς ἔφης. Τὸ δέ· «Πάντα δι' αὐτοῦ ἐγένετο[2]», ἅπαντα περιγράφει· ὡς καὶ τοῦ Πνεύματος σὺν πᾶσι ταγέντος· εἰ καὶ μεγίστη δύναμις ὑπέστη πρὸς δημιουργίαν. 'Αθ. εἶπεν· 'Ο τῶν ὅλων Δεσπότης, ὁ Πατὴρ τοῦ Κυρίου ὑμῶν 'Ιησοῦ Χριστοῦ, ὑπὸ κτιστῆς οὖν φύσεως καταλαμβάνεται κατὰ σέ; "Αρ. εἶπε· Μὴ γένοιτο τοῦτο φῆσαί ποτε! Καὶ γὰρ ἀκούομεν τὸ παρὰ τοῦ Σωτῆρος λεχθέν, «Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱός.[3]» 'Αθ. εἶπεν· "Εστιν ἄνθρωπος, ὅστις ἐκτὸς ἢ ἔνδον γινώσκεται πρὸς τοῦ ἰδίου πνεύματος; ναὶ ἢ οὔ; "Αρ. εἶπεν· 'Αποστόλου φωνή ἐστιν ἡ φάσκουσα ἕτερον μὴ ἐπίστασθαι τὰ ἑτέρου, εἰ μὴ μόνον γινωσκόμενον ἕκαστον πρὸς τοῦ ἰδίου πνεύματος.[4] Καὶ πῶς ἐγχωρεῖ λέξαι μὴ οὕτως ἔχειν;

41. 'Αθ. εἶπε· Τοῦ Θεοῦ οὖν τὰ βάθη, τίς γινώσκει, κτιστὴ φύσις, ἢ ἄκτιστος οὐσία; "Η τὴν ἄκτιστον οὐσίαν πρὸς τῆς κτίσεως καταλαμβάνεσθαι λέξεις; Εἰ δὲ πρὸς ἀκτίστου λέξεις, λείπεται λοιπὸν ὁμοούσιον ὁμολογεῖσθαι ὑπὸ σοῦ τὸ ἅγιον Πνεῦμα Πατρὶ καὶ Υἱῷ. Πάντα γὰρ τὰ τοῦ Θεοῦ καὶ τὰ βάθη ἐπίσταται τὸ Πνεῦμα τὸ ἅγιον, κατὰ τὸν μακάριον Παῦλον φάσκοντα· «Οὐδεὶς ἀνθρώπων οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου, τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνω εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ.[5]» «Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ.[6]» "Αρ. εἶπε· Τὰ τοῦ Θεοῦ πάντα ἅπερ ἂν δόξῃ αὐτῷ, ταῦτα οἶδε τὸ Πνεῦμα, τουτέστι τὰς βουλάς, ἅπερ ἂν καταδήλους αὐτῷ ποιήσῃ ὁ Θεός. 'Αθ. εἶπεν· Οὐκοῦν οὐδὲν περισσὸν δίδως τῷ Πνεύματι παρὰ τὸ γένος τῶν ἀνθρώπων. «Εἰ ποιήσει γὰρ πρᾶγμα ὁ Θεός, ἐὰν μὴ ἀποκαλύψῃ τοῖς δούλοις αὐτοῦ τοῖς προφήταις.[7]» "Αρ. εἶπεν· Οὐ δοκεῖ σοι «τὰ τοῦ Θεοῦ πάντα» τὰς βουλὰς αὐτοῦ εἶναι; 'Αθ. εἶπε· «Τὰ τοῦ Θεοῦ» λέγονται «πάντα», καὶ αἱ ἐνέργειαι, καὶ τὰ ποιήματα αὐτοῦ, τὰ ὁρατὰ καὶ τὰ μὴ ὁρώμενα· λέγονται δὲ καὶ αἱ

---

1. 'Αμ. 4, 13. 2. 'Ιω. 1, 3. 3. Ματθ. 11, 27. 4. Πρβλ. Α' Κορ. 2, 11. 5. Α' Κορ. 2, 11. 6. Α' Κορ. 2, 10. 7. 'Αμ. 3, 7.

βουλαὶ αὐτοῦ, καὶ πολλά ἐστιν, ἅπερ ὀνομάζεται Θεοῦ. Εἰπέ μοι οὖν σὺ ἐπὶ τοῦ παρόντος· Τῷ πνεύματι τοῦ ἀνθρώπου ὁ ἄνθρωπος τὰ ἴδια ἀποκαλύπτει, ἢ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ πάντα ἐπίσταται ἀφ' ἑαυτοῦ τὰ πραττόμενα ὑπὸ τοῦ ἀνθρώπου, ὑπ' αὐτοῦ τοῦ πνεύματος δηλαδὴ κινουμένου τοῦ ἀνθρώπου πρὸς τὸ ἅπαντα δρᾶν. Ἄρ. εἶπεν· Ἀφ' ἑαυτοῦ ἐπίσταται τὸ πνεῦμα τοῦ ἀνθρώπου τὰ ἐν αὐτῷ. Ἀθ. εἶπε· Τῷ μὲν πνεύματι τοῦ ἀνθρώπου ἀποδέδωκας ἀφ' ἑαυτοῦ εἰδέναι πάντα, τῷ δὲ Πνεύματι τοῦ Θεοῦ οὐδὲ οὕτω παρεχώρησας ἔχειν τὴν γνῶσιν; Πρὸς δὲ τούτοις λέγε μοι, «βάθη Θεοῦ» τί νοεῖς; Ἄρ. εἶπε· Πρῶτον φιλαλήθως ὁμολογῆσαι δεῖ, ὅτι πάντα ἀφ' ἑαυτοῦ γινώσκει τὰ τοῦ Θεοῦ τὸ Πνεῦμα· ἔπειτα δὲ δεῖ φάναι «βάθη Θεοῦ» τὸ ἀπέραντον καὶ ἀκατάληπτον, ὅπερ ἐστί, καὶ ὥσπερ ἐστὶν ὁ Θεός· ταῦτα εἰδέναι φημί. Ἀθ. εἶπεν· Εἰ οὖν τὸ ἀπέραντον καὶ ἀκατάληπτον, καὶ ὅπερ ἐστὶ καὶ ὡς ἔστι ταῦτα φής, τὸν Θεὸν ὑπὸ κτιστῆς φύσεως καταλαμβάνεσθαι ἐρεῖς. Εἰ δὲ τοῦθ' οὕτως ἔχει, οὐκέτι ἀκατάληπτός ἐστι κατὰ σέ. Τὸ γὰρ πρὸς οἷας δήποτ' οὖν καταλαμβάνεσθαι κτιστῆς φύσεως τὸν Θεόν, οὐ δύναται λέγεσθαι ἀκατάληπτος. Ἄρ. εἶπε· Δός μοι μαρτυρίαν ἐκ τῶν ἁγίων Γραφῶν, ὡς περὶ τοῦ Υἱοῦ, ὅτι ὁμοούσιον τυγχάνει τὸ Πνεῦμα τοῦ Θεοῦ.

42. Ἀθ. εἶπε· Γέγραπται ἐν τῷ νόμῳ τοῦ Θεοῦ. «Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ Κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.[1]» Καὶ περὶ τοῦ Πνεύματος εὑρίσκομεν γεγραμμένον πρὸς τοῦ Σωτῆρος. Φησὶ γὰρ πρὸς τοὺς τοῦ Βεελζεβοὺλ υἱούς, τοὺς ἐνυβρίζειν θέλοντας αὐτόν· «Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν μερισθεῖσα ἐρημοῦται, καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτὴν πίπτει. Καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, καὶ ἐφ' ἑαυτὸν ἀνέστη καὶ μεμέρισται, πῶς οὖν σταθήσεται αὐτοῦ ἡ βασιλεία; Ἢ πῶς δύναταί τις τὰ σκεύη τοῦ ἰσχυροῦ διαρπάσαι, ἐὰν μὴ πρότερον, εἰσελθὼν ἐν τῇ οἰκίᾳ, δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει; Καὶ εἰ ἐγὼ ἐν Βελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι;» Καὶ μετ' ὀλίγα φησί· «Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται. Καὶ ὃς ἂν εἴπῃ λόγον εἰς τὸν Υἱὸν ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι.[2]» Ὁρᾷς, ὅτι καὶ ἐνταῦθα ἰσότιμον τοῦ Θεοῦ γνωρίζομεν τὸ Πνεῦμα καὶ ἐν τῷ μέλλοντι; Ὡς γὰρ ὁ εἰς τὸν Θεὸν Πατέρα βλασφημῶν οὐ καθαρισθήσεται τοῦ εἶναι αὐτὸν αἰωνίου κολάσεως ἔνοχον, οὕτω καὶ ὁ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημήσας ὑπεύθυνος γίνεται αἰωνίου ἁμαρτίας, μὴ συγχωρουμένου τοῦ πταίσματος. Εἰ γὰρ ἦν δοῦλον, οὐκ ἂν ὁ σφαλεὶς εἰς αὐτὸ

1. Ἔξ. 20, 7. 2. Ματθ. 12, 25-32.

αἰωνίῳ κολάσει ἐτιμωρεῖτο, ὥσπερ ὁ εἰς τὴν ἄκτιστον τοῦ Θεοῦ μεγαλειότητα βλασφημῶν. Ὅπερ δὲ ἐνταῦθα ὁ τοῦ Θεοῦ Υἱὸς φάσκει Πνεῦμα τοῦ Θεοῦ, περὶ αὐτοῦ τις διαλαβὼν τῶν μαθητῶν τοῦ Χριστοῦ, δάκτυλον Θεοῦ ἔφη. Ἀναλογίσασθαι θέλησον τὴν περὶ τοῦ Υἱοῦ συνοδοιπορήσασαν συνεξέτασιν, καὶ εὑρήσεις τὴν ἀΐδιον τοῦ ἁγίου Πνεύματος δύναμιν ὁμοούσιον τῷ Πατρί, ἐκ τοῦ δάκτυλον αὐτὸ εἰρῆσθαι. Ἀμέλει γοῦν τὴν ἀκαταμάχητον δύναμιν τοῦ ἁγίου Πνεύματος θεωρήσαντες οἱ μάγοι ἐν Αἰγύπτῳ, ἐβόων λέγοντες· «Τοῦτο δάκτυλος Θεοῦ ἐστιν.[1]» Οὐδὲν ἕτερον ἢ τὴν ὁμοούσιον τοῦ ἁγίου Πνεύματος δύναμιν ὡμολόγουν, ἣν ἔχει πρὸς τὸν Θεὸν Πατέρα διὰ τῆς τοῦ δακτύλου Θεοῦ φωνῆς, ἧς ἀντοφθαλμῆσαί τινα ἀδύνατον. Καὶ ἵνα μή τις σοφίσασθαι θέλων μὴ ὀρθῶς εἰρῆσθαι πρὸς τῶν μάγων, οἱ ἀπόστολοι, μᾶλλον δὲ ὁ ἐν αὐτοῖς Κύριος, ὡς ὀρθῶς εἰρημένων ὑπ' αὐτῶν, ἐβεβαίωσε τὰ λεχθέντα πρὸς αὐτῶν, διὰ τὸ καὶ αὐτὸν φάναι· «Εἰ ἐγὼ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια.[2]»

43. Ἄρ. εἶπε· Θεὸς ποῦ γέγραπται τὸ Πνεῦμα; Ἀθ. εἶπε· Πανταχοῦ ἀπαγγέλλουσιν αἱ θεῖαι Γραφαὶ ὅτι Θεός ἐστι τὸ ἅγιον Πνεῦμα, καὶ οὐ κεχώρισται τῆς τοῦ Θεοῦ, καὶ Πατρός, καὶ τῆς τοῦ Μονογενοῦς αὐτοῦ δόξης. Λέγει γὰρ Πέτρος ἐν ταῖς Πράξεσι πρὸς Ἀνανίαν· «Οὐχὶ μένον σοι ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.[3]» Ὁρᾷς πῶς ἐν τοῖς ἀνωτέροις ὅπερ ἔφη Πνεῦμα ἅγιον, ἐν τοῖς μεταγενεστέροις ἔφη Θεόν; Ἔτι μὴν καὶ τοῦ μακαρίου Παύλου λέγοντος ἐν τῇ πρὸς Θεσσαλονικεῖς δευτέρᾳ Ἐπιστολῇ οὕτως· «Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.[4]» Τί θέλεις ἐν τῇ Ἐπιστολῇ νοῆσαι; Τίνα Κύριον ὀνομαζόμενον; τὸν τῶν ἁπάντων δεσπότην Θεὸν Πατέρα, ἢ τὸ Πνεῦμα τὸ ἅγιον; Τὸν μὲν γὰρ Χριστὸν ὑπηρίθμησεν. Εἰ μὲν γὰρ τὸν Πατέρα προτάξειας, Θεός ἐστι τὸ Πνεῦμα· εἰ δὲ τὸ Πνεῦμα προομολογήσειας, Κύριος τυγχάνει· εἰ δὲ Κύριός ἐστι, καὶ Θεὸς ὑπάρχει· γέγραπται γάρ· «Ἐγώ εἰμι Κύριος ὁ Θεός σου.[5]» Ζήτησον δέ, καὶ εὑρήσεις ἁπανταχοῦ γεγραμμένον, ὅτι καὶ τῆς αὐτῆς ἐνεργείας τυγχάνει τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τῆς τοῦ Πατρὸς καὶ Υἱοῦ δόξης οὐκ ἀπέζευκται. Ἄρ. εἶπε· Διὰ τί οὖν ἡ Γραφὴ οὐδαμοῦ λέγει τιμᾶσθαι τὸ Πνεῦμα σὺν Πατρὶ καὶ Υἱῷ; Ἀθ. εἶπεν· Αἱ ἅγιαι Γραφαὶ πάντα σαφῆ διαλέγονται· εἰς ὃ δέ ἐσμεν τοῦ ἐπὶ παρόντος, αἱ ἅγιαι δυνάμεις πᾶσαι, αἱ ἐν τοῖς οὐρανοῖς, ἀπαύστως τιμῶσι τὸ ἅγιον Πνεῦμα, ὡς Ἡσαΐας λέγει, σὺν Πατρὶ καὶ Υἱῷ. Ἄρ. εἶπε· Σὺν Πατρὶ καὶ Υἱῷ οὐ γέγραπται οὐδαμοῦ τιμᾶσθαι τὸ ἅγιον Πνεῦμα.

---

1. Ἔξ. 8, 15. 2. Λουκ. 11, 20. 3. Πράξ. 5, 4. 4. Β' Θεσ. 3, 5. 5. Ἔξ 20, 2.

44. Ἀθ. εἶπε· Πεπλάνησαι. Ἡνίκα εἶδεν Ἡσαΐας τὴν δόξαν Κυρίου, καὶ τὰ στρατόπεδα τῶν ἁγίων δυνάμεων, τί ἔφη λέγειν βοώσας ἐν ταῖς θείαις ὑμνῳδίαις; Οὐχ, «Ἅγιος, ἅγιος, ἅγιος;[1]» Διὰ τί οὔτε ἀνωτέρω τοῦ ἀριθμοῦ τούτου ἐπανιόντα ὑμνοῦσιν, οὔτε μὴ κατωτέρω ὑποβαίνοντα μειοῦσι τὸν αἶνον; Πάντως τῷ μὴ ἐκτὸς τῆς Τριάδος θέμις τοιούτῳ γέρᾳ τιμηθῆναί τινα, μήτε ἐλαττῶσαί τινα τὸν ὕμνον, διὰ τὴν ἁγίαν καὶ μακαρίαν θεότητα τῆς Τριάδος, ἐν μονάδι οὖσαν αὐτάρκη. Ἔτι δὲ καὶ Μωσῆς τίνος ἕνεκεν τὸν λαὸν ἐδίδαξε, τρὶς κάμψαντα ἐπὶ γῆς τὸν αὐχένα καὶ τὰ γόνατα, προσκυνῆσαι; Οὐ διὰ τὴν τῆς Τριάδος προσκύνησιν τῆς ἐν μιᾷ θεότητι; Ἀλλὰ καὶ ὁ θεοφόρος Ἠλίας, τρίτῳ φυσήματι ἐγείρει τὸν υἱὸν τῆς χήρας;[2] οὐδὲν ἕτερον δεικνύς, ἢ μὴ δύνασθαί τινα τῆς αἰωνίου ζωῆς ἀξιωθῆναι, εἰ μὴ ἄρα πρῶτον ἀναλήψεται τὴν ἰσότιμον καὶ ὁμοούσιον καὶ ζωοποιὸν Τριάδα διὰ τῆς σεβασμιωτάτης πίστεως ἐν ψυχῇ, ἥτις πυρὸς δίκην ἀναλίσκει τὰ νεκρὰ πάντα πταίσματα, τὰ νεκροῦντα τὴν ψυχήν, καὶ ζωοποιεῖ τὴν κεκτημένην αὐτὴν ἀίδιον ζωήν; Ἀλλὰ μὴν καὶ τὸν χριστοφόρον Παῦλον μὴ ἄλλως δεδυνῆσθαι ἕως τρίτου οὐρανοῦ ἀνεληλυθέναι, εἰ μὴ ἐκέκτητο ἐν στέρνοις αὐτοῦ τὴν τῆς Τριάδος ἀνέκλειπτον καὶ ὁμοούσιον πίστιν· ὁ Θεὸς βουλόμενος δεικνύναι διὰ τοῦ τοιούτου πράγματος, μηδένα εἰσελάσαι δύνασθαι εἰς τὴν τῶν οὐρανῶν βασιλείαν τὸν ἐκ τῆς πίστεως τῆς ἐνοικησάσης ἐν Παύλῳ μὴ γεγονότα. Τί δὲ καὶ τὸ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν παρεκτικόν, καὶ ζωοποιόν, καὶ ἁγιαστικὸν λουτρόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὴν βασιλείαν τῶν οὐρανῶν, οὐκ ἐν τῇ τρισμακαρίᾳ ὀνομασίᾳ δίδοται τοῖς πιστοῖς; Πρὸς δὲ τούτοις πᾶσιν Ἰωάννης φάσκει· «Καὶ οἱ τρεῖς τὸ ἕν εἰσιν.[3]»

45. Ἄρ. εἶπεν· Ἀληθῶς μακάριοι πάντες οἱ ἔχοντες ταύτην τὴν πίστιν, καὶ ἕως θανάτου ὁμολογοῦντες αὐτήν, καὶ ἀξίως αὐτῆς πολιτευόμενοι· νῦν γὰρ ἐγὼ ἀνέζησα ἀναστὰς ἐκ νεκρῶν. Νεκρὰ γὰρ ἡ πλάνη, καὶ νεκροῦσα τὸν κεκτημένον αὐτήν, καὶ ῥυθμίζουσα τὴν ψυχὴν τοῦ συνοδοιποροῦντος αὐτῇ ἐν ἀσελγείαις φύρεσθαι, πρὸς τὸ παρ' ὀφθαλμοῖς ζωῆς αἰωνίου σύμβολα μὴ γνωρισθέντα πρὸς τοῦ ἀνθρώπου, καταλεῖψαί με τὸν θάνατον, καὶ τὴν αὐτοῦ θυγατέρα πλάνην, προσοικειῶσαι δὲ ἑαυτὸν τῇ ζωοποιῷ πίστει. Εἷς γὰρ ὢν ὁ ἄνθρωπος, μίαν ἔχειν ὀφείλει πίστιν τῆς αἰωνίου καὶ ὁμοουσίου Τριάδος. Ἐξ ἧς γὰρ ἐρρύσατό με ὁ Θεὸς ἀπιστίας, οὐ μία πίστις, ἀλλὰ τρεῖς ὁμολογοῦνται, ἑνὸς μὲν Πατρὸς αἰωνίου, ἑτέρου δὲ κτιστοῦ Υἱοῦ, καὶ Πνεύματος πεποιημένου. Ἐκ δὲ τούτων κατάδηλόν ἐστι μὴ εἶναι πίστιν ἐκεῖ ἐκ πολλῶν μηδὲ μίαν. Ἐγὼ οὖν εὐχαριστῶ τῇ ἁγίᾳ Τριάδι, προσκυνῶ Πατέρα, καὶ Υἱόν, καὶ ἅγιον Πνεῦμα. Λοιπόν, ἀγαπητέ, ἅμα εὐξώμεθα. Ἐγὼ γάρ, πάντα τὰ ἐνδύματα τῆς πλάνης ἀποδυσάμενος, ἀπέρριψα διὰ τοῦ ἐλεήμονος Θεοῦ.

1. Ἡσ. 6, 3. 2. Πρβλ. Γ' Βασ. 17, 21. 3. Α' Ἰω. 5, 8.

46. Ἀθ. εἶπεν· Ἀκμὴν ἔτι ἔνδυμα φορεῖς τῆς πλάνης· συνευγνωμονήσας ῥίψεις καὶ αὐτὸ πρὸς τοῖς λοιποῖς τῆς ἀποστασίας πράγμασι, καὶ δυνησόμεθα ἐπὶ τὸ αὐτὸ εὔξασθαι. Ἄρ. εἶπεν· Ἐὰν μή μοι φράσῃς ἀκραιφνεστάτως, οὐ συνεπίσταμαι ἐμαυτῷ ἔχειν τι τῆς μανιώδους αἱρέσεως ἐκείνης. Ἀθ. εἶπε· Τὴν τοῦ καλουμένου κλήρου ἀξίαν τὴν πρὸς τῆς αἱρέσεως δεδομένην σοι οὐ δοκεῖ σοι μόριον εἶναι τῆς ἀπάτης, ἔξωθεν μὲν δεικνύντα σχῆμα εὐσεβείας, ἔσωθεν δὲ μεστὸν τυγχάνοντα δυσφημίας, ὡς εἶναι τὸν ἄνθρωπον ὄργανον πνεύματος γιγαντιαίου πρὸς θεομαχίαν τῇ ἱεροσυλίᾳ ἕτοιμον; Ἄρ. εἶπεν· Ὁμολογῶ σοι ἐπὶ τοῦ παρόντος, οὐ συνεπιδίδωσί μου ἡ ψυχή, εἰ μὴ ἄρα καὶ εἰ σκέψει ἐξώσω καὶ ταύτην τὴν τυραννίδα τῆς κενοδοξίας ἐκ τῆς ψυχῆς μου. Ἀθ. εἶπεν· Εἰ οὖν οὐ συγκατατίθεται τὰ μέρη τῆς πλάνης εἰς τὴν ἀρετήν, πολὺ μᾶλλον οὐ συντρέχει τὰ μέρη τῆς ἀρετῆς καὶ τῆς ἀληθείας τοῖς μέρεσι τῆς πλάνης. Ἀντίκειται γὰρ τῇ ἀληθείᾳ τὸ ψεῦδος, καὶ τῷ ψεύδει ἀντίκειται ἡ ἀλήθεια· ἕκαστον γὰρ τούτων ἐκ τοῦ καρποῦ γινώσκεται, καθὼς ἔφη ἡ Ἀλήθεια.

Ἐπληρώθη σὺν Θεῷ ἡ τοῦ ἁγίου Ἀθανασίου κατὰ Ἀρείου ἀριστεία.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο΄.

ΠΙΝΑΞ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Ἐπισκόπου Ἀχαΐας Παντελεήμονος Καρανικόλα.)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.— γ) Ὅπου ἀπαντᾷ πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σ ἢ σ-ς, αἱ σελίδες δὲν ἔχουν τοὺς στίχους ἠριθμημένους.

Γενικὴ ἐπιστασία, σημειώσεις τῶν παραπομπῶν εἰς τὰ βιβλία τῆς Ἁγίας Γραφῆς καὶ καταρτισμὸς τοῦ πίνακος τῶν Ἁγιογραφικῶν χωρίων τοῦ Καθηγητοῦ τοῦ Πανεπιστημίου Βασ. Βέλλα.
Ὑπεύθυνος διὰ τὰς διορθώσεις τῶν δοκιμίων ὁ φιλόλογος Κ. Α. Παπαχρίστος.